τοῦ κερδᾶναι κοιλίᾳ τὰ βρώματα, * ῥιψοκίνδυνοι ἄνθρωποι πλέουσιν· * ἡ γαστὴρ γὰρ αὐτοὺς κατηνάγκασε, * ψυχὰς ἀνέμοις ἐμπιστεύσαντας, * τῆς τροφῆς χάριν καταφρονεῖν καὶ ζάλης· * ἀλλὰ ἡ γαλήνη ἀχείμαστος ὑμῖν, * ὡς λιμένα γὰρ εὕρετε εὐδιεινὸν, * τὸ ἀλληλούϊα.

undas et pericula audacter homines navibus obeunt. Venter enim vi illos adigit, ut animas ventis committentes, ob ciborum delicias etiam procellam spernant. Vobis vero serenum sine turbine est, velut enim littus tranquillum, repperistis canticum alleluia.

ζ'. Πειρατὰς καὶ χειμώνων τοὺς κλύδωνας * παρορῶσιν οἱ χρήματα στέργοντες· * τῶν κυμάτων τὸ γαῦρον θεώμενοι, * δειλιῶσιν, ἀλλ' ὅμως οὐ φεύγουσιν· * ἐλπὶς γὰρ πλούτου τούτους ἕλκουσα, * κἂν πνιγμὸς ἀπειλήσῃ, οὐ καταπλήττει· * ἀλλ' ἀναυάγητον τὸ σκάφος ὑμῶν, * ὡς γὰρ ἄγκυρά ἐστιν ὑμῖν ὁ ψαλμὸς * τὸ ἀλληλούϊα.

7. Inhiantes divitias affatim temnunt piratas et hiemis tempestates; fluctuum quidem æstus aspectantes, pavent, verum retro non fugiunt; lucri enim spe abreptos etiam si unda suffocare minetur, nullimodo eos deterret. Vestra autem cymba a naufragio tuta est, quibus uti anchora psalmus est alleluia.

η'. Ἐξιστάμενος βλέπω τὸ ὅραμα, * ὅτι ἄπνους ὁ χθές μοι συνόμιλος· * ἀπεπαύσθη φωνὴ ἀγορεύουσα, * ὀφθαλμὸς θεωρῶν ἀπελήλατο· * τὰ πάντα ὄργανα ἐσίγησαν· * ὁ Θεὸς γὰρ συνέκλεισε τούτους, ὡς γράφει, * καὶ οὐκέτι ἐπαναστρέψειαν λοιπόν· * ἔνθεν ᾄδωμεν πάντες μετ' ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

8. Stupens ego spectaculum illud intueor: ecce exanimis est, qui mecum heri versabatur; cessavit vox concionari; oculus, dum intuetur, deperiit; instrumenta omnia siluerunt. Dominus enim conclusit eos, uti scribit, ne amplius revertantur: quapropter Deo cum modulo canamus omnes alleluia.

θ'. Ἵνα δὲ συνελὼν εἴπω ἅπαντα, * τὰ ἐν κόσμῳ σὺν κόσμῳ παρέρχεται· * ὅταν πάντα γὰρ βίου κερδήσωμεν, * τότε τάφον οἱ πάντες οἰκήσομεν· * καθάπερ ἔφησεν ὁ πάνσοφος· * Ματαιότης ματαιοτήτων τὰ πάντα. * Εἰ γὰρ ἔστι θανεῖν, διὰ τί μοι καμεῖν; *

9. Resumam ut verbo omnia, mundana cum mundo transeunt; vix enim dum cuncta vitæ bona lucrati sumus, quum sepulcrum nobis omnibus habitandum est, quemadmodum ait sapientissimus: « Vanitas vanitatum « omnia, » si moriendum est, quid opus me

γλυκερὰ τῇ κοιλίᾳ τὰ βρώματα A, B, C, E. Quæ ἀσύστατα in alia vel per vim mutare cogimur.—ῥιψοκίνδυνοι, rara, sed nota vox ap. Xenoph. *Com.* 1. III, 9. ῥιψ. πλέουσιν ἄνθρ. A, B, E. — πολλοῖς ῥιψοκίνδυνον ἔμαθεν ἄνθρωπος D. — ἄνεσιν codd. miro consensu. — ἐμπιστεύουσιν D, ἐπιστρέψουσιν E. — ἐμπιστ. τροφῆς χάριν καὶ ζάλης καταφρονοῦσι A, B, C. — ὑπερφρονοῦσι D. — τῆς ζάλης ὑπερορῶσιν E. — ἀλλ' ὑμῶν ἡ γαλήνη A, B, E. — ἀλλ' ὑμῖν C. — ἡ ἀγάπη πλατύτερος (sic) A, B. Ultima in D, E, eadem fere sunt quam in fine seq. troparii — γὰρ ἴδιον ἔχετε A, B. — εὔδιον εὕρετε D. — εὐδιεινὸν ηὕρατε E.

7. πειρασμοὺς καὶ κινδύνους καὶ κλύδ. D. — πειρασμοὺς καὶ χειμῶνας καὶ κλύδ. ὑπερορῶσιν E. — προορῶσιν A, B. — τὸ γαῦρος D, E. — τὴν αὖραν A, B. — ἥλκυσεν D. — πνιγμὸν codd. ἀπειλῇ E. — καταπλώσει C. — ἀλλ' ὑμῶν οὖν A, B, E. — τὸ δὲ σκάφος ὑμῶν C. — Huc D, E finem trop. VI transtulerunt; sequens vero trop. totum om. C, D, E.

8. ἀπεπαύθη A, B. — f. θεωρ. ἀπολέλοιπε. — πάντα τὰ codd. — Θεὸς γὰρ ἀπέκλεισε κατ' αὐτούς A, B. Cf. Job III, 23, XVI, 22. — οὐκέτι λοιπὸν ἐπιστρέψειεν, ἔνθα A, B. — ἀνεπιστρ. C, D, E.

9. συνελῶ A, B. — παρέρχονται D. — ὅτε πάντα γὰρ A, B, C. — ὅταν γὰρ πάντα D, E. — τότε πάντες ἐν τάφῳ E. — τότε οὖν τάφον κληρονομήσομεν D. — τότε τάφον πάντες A, B. — καλῶς οὖν ἔφησεν A, B, D, E. — Epiphonema gnomicum, maxime in *Physiologo*. Eccl. I, 1. — μοι πλουτεῖν E. —

ἀγαθὸν οὖν ἡσύχως τὸ ψάλλειν Θεῷ * τὸ ἀλληλούϊα.

ι'. Νῦν εἰσιν ἐν ὑμῖν οἱ βοῶντές μοι, * κἂν μὴ στόματι, ἀλλὰ τῷ πνεύματι· * Πονηρὸς μὲν ὁ βίος, ὡς ἔφησας, * σὺ δὲ τούτῳ ἀκμὴν ἀπεσχόλασας. * Δοκὸς ἐπίκειται σοῖς ὄμμασι, * καὶ πῶς βλέπεις τὸ κάρφος τῶν ἄλλων ἆραι; * εἰ καλὸν ὃ λαλεῖς, διὰ τί μὴ ποιεῖς; * Ἀληθῶς κατακέκριμμαι, μὴ μελετῶν * τὸ ἀλληλούϊα.

ια'. Ὅμως μέντοι οὐ πάντες ἐχώρησαν, * ὡς ὁ Κύριος τότε προσέταξεν· * τῷ ἑνὶ γὰρ εἰπών, πᾶσιν ἔφησεν· * Πώλησόν σου τὰ πάντα, καὶ ἕπου μοι. * Οἱ μὲν οὖν ἤκουσαν, ὡς φρόνιμοι· * οἱ δὲ οὗτοι προσέσχον, ὡς ὅμοιοί μου· * ἐξ αὐτῶν γάρ εἰμι, κἂν μηδεὶς λέγῃ μοι· * διὰ τοῦτο ὑμᾶς ἐξαιτῶ τὴν ᾠδὴν * τὸ ἀλληλούϊα.

ιβ'. Ὑπὸ πόδας ὑμῶν νῦν καμπτόμενον * καθορῶντες, Κυρίου δεήθητε· * ἐν ὑμῖν τὸν μισθὸν ὅταν δίδωσι, * σὺν ὑμῖν καὶ ἡ μνήμη μου γένηται. * Ἀκούσατε οὖν τῶν ῥημάτων μου, * τῶν δὲ πράξεων πόῤῥω ἀποχωρεῖτε· * οἱ γὰρ λόγοι χρηστοὶ, οἱ δὲ τρόποι αἰσχροί· * διὰ τοῦτο αἰτοῦμαι συμψάλλειν ὑμῖν * τὸ ἀλληλούϊα.

ιγ'. Ῥύπον βίου καλῶς ἀπεφύγετε * καὶ πηγῇ καθαρᾷ προσεδράμετε, * τῶν ἀσάρκων τὸν βίον ζηλώσαντες· * τῆς σαρκὸς μὴ ποιεῖτε τὴν πρόνοιαν, * μὴ ἀγαπᾶτε ἃ ἀφή-

fatigari? Bonum est igitur in pace psallere Deo alleluia.

10. Oppido inter vos sunt qui me acriter compellant, haud ore fortassis, verum in mente: « Improba quidem vita est, ut dixisti; « cui tamen tu etiam nunc vacas. Trabs in« sidet oculis tuis, et quomodo festucam « vides cæteris tollendam? Si bonum quod « dicis, cur non facis? » Vere reprobus fui, haud recogitans alleluia.

11. Mortales tamen haud omnes processerunt, prout olim præcepit Christus; quod enim uni dixit, omnibus mandavit: « Vende « omnia quæ tua sunt, et sequere me. » Alii quidem audierunt probe; alii vero minime attenderunt, ut qui consimiles mihi sunt. Ex illis enim ego sum, id licet mihi nemo dicat; unde a vobis exposco canticum alleluia.

12. Ante pedes vestros nunc me pronum despicientes, orate Dominum. Quando inter vos mercedem dividet, vobiscum mea quoque memoria fiat. Auscultate igitur verba mea, a meis autem gestis longe discedite. Honesti quidem sermones, mores vero indecori. Idcirco id supplex oro, vobiscum psallere alleluia.

13. Nequitias vitæ probe effugistis, purumque ad fontem cursu properavistis, immortalium vitam æmulantes: nullam de carne curam habetote. Nolite amare quæ de-

ἀγαθὸν ἡσυχάζοντι μελετᾶν E. — ἀγαθὸν ἡσυχάζειν καὶ μελ. D. — τὸ λέγειν ψαλμὸν τὸ ἀλλ. A, B.

10. βοῶντες ἐμοὶ D. — οὐκ ἐν στόματι, ἀλλ' ἐν τῷ πνεύματι D, E. — σὺ δὲ ἐν τούτῳ A, B, D, E. — ἔφυσας C. — ἀπεσχόλησε A, B, E. — ἀπεσχολῆσαι C. — ἀλλ' ἀκμὴν σὺ δὲ ἐν τούτῳ δεσμεύησαι D. — τὰ κάρφη C. — τῶν ἀλλοτρίων D. Matth. VII, 3. — εἰ καλῶς ἃ λαλεῖς D, E. — μὴ om. A, B. κἂν μελετῶ D.

11. ὡς προσέτ. ὁ Κύριος A, B, C. — ἀκολούθει μοι D. — μοι, ὑμεῖς χωροῦντες ὑπακούσατε A, B, C. — οὔτε προσέσχον C. — οὐ προσ. D, E. — μη δέξεσθαί μοι D. — ὑμῖν D.

12. καμπτόμενος A, B. — καθορ. δυσωπῶ ἐν κυρίῳ, δεήθητε A, B. — ῥημάτων σου C. — πράξεών μου A, B, C. Longe alia D, E tam ab initio quam in fine troparii: Ὑπεκκαίω ὑμῶν [ὑπεκκαίων ὑμῖν D] τὴν προαίρεσιν πρὸς τὸ ψάλλειν καὶ τέρπειν τὸν Κύριον, ἵνα ὑμῖν ὁ μισθὸς ὅταν δίδωται, σὺν ὑμῖν... ἀποχωρεῖτε, ἀγαπᾶτε [ἀγαπῶ γὰρ D] τοὺς λόγους τῶν ἔργων ἐκτὸς, οὐ γὰρ ἔχω λαλεῖν ὑμῖν, ἄλλο τρ. πλὴν τὸ ἀλλ.

13. φρονίμως ἐφύγετε D, E. — καθ. προσεφύγετε A, B, D. — μὴ ποιεῖσθαι A, B. — τὸ φρόνημα D, E. μὴ ποιεῖσθε τὸ φρ. cum Rom. XIII, 14. — V. 5.

κατε· * οἷς ἐλύσατε, μὴ ἐποικοδομεῖτε, * ἵνα γέλως μὴ γενήσεσθε τῷ ἐχθρῷ, * ἀλλ' ἐπᾴδοντες νήψατε ἐν τῇ ᾠδῇ, * τῷ ἀλληλούϊα.

seruistis, neque super his quæ diruistis, ædificare, ne ab inimico in derisum vertamini. Hymnis vero attenti, vigilate in cantico alleluia.

ιδ'. Ὧν τὸν βίον καλῶς ἀπεφύγετε, * τούτων νῦν καὶ τὴν μνήμην μισήσατε· * ἀφιλόνεικον βίον καὶ ἥσυχον * ἀναλάβετε ἅπαξ, ὡς ἄγγελοι, * τιμῇ ἀλλήλοις προηγούμενοι, * μὴ λαλοῦντες· τοῦτο ἐμὸν ἢ ἐκεῖνο· * οὐ γὰρ ἔχει ὁ μονάζων τι ἴδιον, * ἀλλ' ἁπάντων τὸ πᾶν ἐστιν ἡ προσευχὴ * τὸ ἀλληλούϊα.

14. Improbam quorum vitam recte respuistis, etiam nunc memoriam aversemini; concordiæ studiosum et quietum vivendi genus suscipite prorsus, angelorum instar; vobis invicem honore prævenientes, nolite dicere: Hoc vel illud meum est; nihil enim proprium monachus habet, sed omnibus omnino est oratio alleluia.

ιε'. Μὴ ἀλλήλων ἁπλῶς κατεπαίρεσθε. * Τί γὰρ ἔχεις, φησὶν, ὃ οὐκ ἔλαβες; * ὁ νηστεύων μὴ κρίνῃ τὸν τρώγοντα, * καὶ ὁ τρώγων τιμάτω τὸν ἄσιτον· * ὁ μὲν γὰρ τρώγει δι' ἀσθένειαν· * ὁ δὲ πάλιν δι' ἐγκράτειαν νηστεύει· * ἄλλος κάμνει μοχθῶν, ἄλλος ψάλλει ποθῶν, * εἷς δέ ἐστιν μισθὸς ἀμφοτέροις ὑμῖν * τὸ ἀλληλούϊα.

15. Præ aliis alii ne extollamini. Quid enim habes, inquit, quod non acceperis? Qui jejunat, ne judicet comedentem; qui edit, honorem gerat abstinenti. Hic manducat enim ob infirmitatem, ille rursus jejunat propter temperantiam. Improbus labor alteri, alteri psalmus alacris, ambobus vero vobis merces una superest, alleluia.

ις'. Ἀλλ' ἐρεῖ τις· Ἐγὼ περισσότερον, * ὡς εἰδὼς τὰς γραφὰς, ἔχω καύχημα. * Τί οὖν ὁ ἁλιεὺς Πέτρος ἔμαθεν, * ὅτι δὴ τοῦ Μωσέως προτέτακται; * τῶν Αἰγυπτίων πᾶσαν φρόνησιν, * ὡς ἐξὸν ἦν, μεμάθηκεν ὁ προφήτης· * καὶ τοῦ Πέτρου λαλοῦντος, σιγάτω Μωσῆς. * Μὴ βδελύξῃ οὖν τὸν ἀμαθῆ ὁ μαθὼν * τὸ ἀλληλούϊα.

16. Sed dicet aliquis: « Ego qui scripturas « noverim, gloriari meum est. » At quidnam piscator ille Petrus didicit, unde vel Moysi præpositus sit? Omnem sane Ægyptiorum sapientiam, quoad licuit, propheta edidicit. Verum Petro loquente, sileat Moyses. Noli igitur spernere inscium, qui canere scit alleluia.

ιζ'. Νευρωθῶμεν τῇ πίστει σφιγγόμενοι, * οἱ τῷ σώματι ἀποταξάμενοι. * Οἱ μισοῦν-

17. Astricti fidei vinculis irroboremur, quicumque corpori nuntium dedimus. Qui ode-

om. A, B, et in ejusdem loco: εἰς ἀκαίρους φύσει καὶ βλαβερούς. — οὓς ἐλύσατε A, B, C. cf. Gal. 11, 18. — ἵνα μὴ γέλ. codd. — γένηται D. — γένεισαι E. cf. cant. VI, 15. — ἀλλὰ στήκοντες D, E. — ἀλλὰ ᾄδοντες A, B, C. — νήφετε E.

14. ὧν τὸν ὄχλον καλῶς ἀπεστράφητε D. — βίον καὶ ἄφθαρτον ἵνα μένητε D. — καὶ ἄφθονον E. — τῇ τιμῇ A, B. — τιμίᾳ C. cf. Rom. XII, 10 ubi ἀλλήλους. Utitur noster dat. ut vett. — μὴ ἐρίζοντες σὺν τούτῳ· ἐμὸν D, E. — μὴ ἐρίσητε A, B. — λέγοντες οὕτως ἔχειν A, B, C. — ἔχει om. B. — ἀλλὰ κἂν τῶν ἁπάντων E. — ἀλλὰ τὰ πάντα ἐστὶν ὁ ψαλμὸς τὸ ἀλληλ. D. — ἐστὶν ἡ ᾠδὴ E. — ἔστω A, B.

15. μετ' ἀλλήλων εἰκῇ ἀμφιβάλλετε C. Respicit I. Cor. IV, 7; Rom. XIV, 3. — ὁ μὲν τρώγει A, B, C. — ἄλλος πάλιν D, E. — καὶ εἷς ἐστιν E. — ἔστ. εἷς δέ D. — ἀμφοτέροις αὐτῶν D. — ἀμφοτ. αὐτοῖς E.

16. περισσότερος E. — ὡς μαθὼν D, E. — δὴ post ὅτι om. D. — δὲ E. — τούτων Αἰγυπτίων πᾶσαν παίδευσιν D, E. — ἐξ ὧν ἢ ἐξέμαθεν B. — ὥσπερ ἔπος D, E. — ἐκμαθόντος τοῦ προφήτου E. — σιγᾷ ὁ Μωσῆς C. — βδελύξει A, B.

17. οὖν ὅπως ἴδωσιν καὶ τί τὸ ὅπλον B, D, E. —

τες ἡμᾶς οὐ καθεύδουσι, * ὁπλισώμεθα οὖν, ἵνα φεύγωσι. * Ποῖον τὸ ὅπλον τοῦ μονάζοντος; * ὑποτάσσεσθαι πράως τῷ ἡγουμένῳ, * ἀγαπᾶν τὸν Θεὸν, καὶ φιλεῖν ἀδελφοὺς, * καὶ εὐπρόθυμον εἶναι αὐτῷ ἐν καιρῷ * τὸ ἀλληλούϊα.

runt nos, minime dormitant. Armis ergo instruamur, ut fugentur. Qualis vero armatura monachi? Obedire cum modestia præposito, amare Deum, et diligere fratres, promptumque esse, hora data, ad psallendum alleluia.

ιη΄. Ὅταν εἷς τοῦ ἑνὸς ὑπεραίρηται, * τότε ὑπὸ ἐχθροῦ παρεμπαίζεται· * τὸ γὰρ ἔργον αὐτοῦ ὑπεισέρχεσθαι, * καὶ φυσᾶν τὸν νοῦν τῶν σαθρῶν ἀδελφῶν· * τὸν μὲν ἐπαίρει ὡς καλλίφωνον, * τὸν δὲ ὡς τρανόλαλον φυσιοῖ πάλιν· * καὶ τυφώσας αὐτοὺς γελᾷ πρῶτος αὐτός. * Μὴ οὖν τις ἐξ ὑμῶν καταλείπῃ ποτὲ * τὸ ἀλληλούϊα.

18. Ludibrio toties hosti clam habetur, quoties alter in alterum extollitur; hosti quippe opus est irrepere et inflare mentes fratrum minus mundorum : hunc enim ob argutam vocem effert; illum autem ore rotundo concionantem tumefacit; et quos fastu implevit, ipse primus deridet. Nemo ergo vestrum unquam omittat alleluia.

ιθ΄. Ὑπεισῆλθε πολλάκις τῷ κάμνοντι * ἀδελφῷ, καί φησι· Τί μάτην μοχθεῖς; * ἴδε, ἄλλος μὴ κάμνων πρωτεύει σου, * σὺ δὲ πάντων τυγχάνεις περίψημα. * Κἀκεῖνος τούτοις ὡς ἁπλούστατος * πεισθεὶς, εἴασεν ὅθεν ἐδικαιοῦτο, * καὶ λιπὼν τὸ μοχθεῖν, μελετᾷ τὸ λαλεῖν· * μή ποτε ἔχωμεν λαλιὰν, παρεκτὸς * τοῦ ἀλληλούϊα.

19. Multoties is laboranti fratri se insinuat, et ait : « Tu frustra tereris : vide, « otiosus alter tibi præest, tu vero omnium « scopa jactaris. » Qui fortasse ad hæc, simplex nimium, credulus quum fuerit, id omisit, unde evadebat probus, relictoque laboris onere, totus colloquiis studet. Colloquium igitur nullum habeamus, præter canticum alleluia.

κ΄. Ψυχικῶς τὸν κανόνα ποθήσατε, * ὃν καλῶς καὶ φρονίμως ᾑρήσασθε· * μετ' ἀλλήλων ἐὰν ἀμφιβάλλητε, * χώραν τῷ πονηρῷ μὴ παρέχετε· * μηδεὶς ῥεπέτω πρὸς τὴν ἔξο-

20. Usurpate ex animo regulam, quam recte et sapienter elegistis. Si inter vos disceptetis, cavete ne maligno locum detis. Nemo promptior sit ad exeundum; vos enim, ut

ἵνα ἴδωσιν C. — ἀγαπ. τ. Χριστὸν C. — εἶναι αὐτὸν C, E. — ἐν τῷ καιρῷ codd.

18. Ὅταν εἷς καθ' ἑνὸς ὑπεραίρεσθαι καὶ τῷ τύφῳ ἐχθροῦ παρεμπαίζεσθαι, ἔργον ἔχει γὰρ A, B, C. — κατεμπαίζεται E. — ὑπὸ τοῦ ἀντιδίκου ἐμπαίζεται D. — καὶ φαντάζει E, C. — καὶ φυσιεύει A, B. — τὸν δὲ πάλιν codd. φυσιόω pro φυσιάω sacris scriptoribus tritum. — καὶ τὸν μὲν [οὖν E] αἴρει D, E. — ἐγγελᾷ πρὸς αὐτοὺς διὰ τοῦτο D, E. — πρῶτος αὐτοὺς A, B. — καταλείπει A, C. — καταλείποι C. — διὰ τοῦτο ὑμᾶς ἀπαιτῶ τὴν εὐχὴν D. — διὰ τοῦτο οὖν δράμωμεν πρὸς τὴν ᾠδὴν E.

19. τὸν κάμνοντα ἀδελφὸν D. — τί εἰς μάτην A, B, C, E. — ἰδοὺ codd. — μὴ κάμνων ἐξ ἴσης σοι, μήτε μὴν κοπιῶν προτετίμηται E. — μὴ om. B. περίψημα resp. I, Cor. IV, 13. Τυγχάνειν nude et sine socio participio etiam tersis scriptoribus probari docuerunt Erfurdt. ad Sophocl. Aj. 9 et Lobeck ad Phryn. p. 277. — ἀφορμὴν τοῦ λαλεῖν προτετίμηται ὡς ἁπλ. A, B. — λοιπὸν ἐκείνοις ὡς D, E. — τούτῳ ὡς C. — ἁπλούστερος C, D, E. — πεισθεὶς ὡς ἴχνασεν A, B. — καὶ λοιπὸν A, B, C. — λείπων D, E. — καὶ λοιπὸν τὸ καμεῖν E. — μὴ οὖν ἔχ. ποτε A, C. — V. 8. om. B. λοιπὸν ἀμελῶν τοῦ μοχθεῖν, ὡς τὸ πρὶν, ἀλλὰ πᾶσιν καλὸν ἀγωνίζεσθαι τὸν ψαλμὸν τὸ ἀλληλ. D.

20. τὸν ἀγῶνα D, E. — ποθήσωμεν καὶ καλῶς ἐπιτελέσωμεν, ὃν δικαίως καλῶς ἐρετίσασθε, πρῶτον τόπον καὶ προσπαραμείνατε, μηδεὶς D. — καὶ δικαίως ἐρετίσασθε, χώραν E. — ἀμφιβάλλ. ἀφορμὴν μηδὲ ἄλλοις συντεθεῖσαι E. Cf. Ephes. IV, 26, 27. — θηρ. ὑμᾶς ὁ παν. D. — ὑμᾶς om. A, B, C, E. — κυκλῶν

δον * ὡς γὰρ λέων, ὑμᾶς πανοῦργος θηρεύει· * καὶ τὴν μάνδραν κυκλοῖ, ἐκζητῶν τὸν ἀμνὸν * εἰς φαγεῖν· διὸ φύγωμεν πρὸς τὴν ᾠδὴν * τὸ ἀλληλούϊα.

leo, pessimus artifex venatur, et circum ovile oberrat, quærens quem devoret agnum. Ideo fuga feramur ad canticum alleluia.

κα΄. Ἂν ὁ νοῦς σού ποτε σκανδαλίσῃ σε, * ἐρεθίζων σε ἐπὶ τὴν ἔξοδον, * καί φησι· Τί ἐνταῦθα ἐγκέκλεισαι; * πόσοι ἔξωθεν ἐδικαιώθησαν! * εἰπὲ εὐθέως ἅπερ ἔμαθες, * ὅτι εἶδον τὴν πολλὴν ἀντιλογίαν * ἐν ταῖς πόλεσι, καὶ ἀνομίαν πολλήν· * ὅθεν μένε ἀεὶ κελαδῶν τῷ Θεῷ * τὸ ἀλληλούϊα.

21. Si animus tibi forte offendicula creaverit, teque moveat ad egrediendum, tibique dicat : « Cur illic inclusus es? Quam multi « foras justi evaserunt! » dicito confestim quæ bene noveris, vidisse te in urbibus dissensionem multam multamque improbitatem; ideoque mane semper Deo susurrans alleluia.

κϐ΄. Λέγει πάλιν πρὸς σέ· Οὐ γὰρ δύνασαι * τὸν κανόνα τελεῖν τοῦ μονάζοντος· * ὁ ζυγὸς γὰρ βαρὺς καὶ δυσϐάστακτος, * καὶ ὁ τοῦτον μὴ φέρων ἀχρήσιμος. * Ἐρεῖς εὐθέως πρὸς τὸν δόλιον· * Ὁ κανὼν κατὰ δύναμιν ἀπαιτεῖ με, * ἂν γὰρ τοῦτο μὴ τελῶ, τὸ ἄλλο κρατῶ· * ἂν μὴ κάμνειν ἰσχύω, μελετῶ ψαλμὸν * τὸ ἀλληλούϊα.

22. « Haud poteris, rursus tibi animus « suggerit, regulam implere monasticam; « jugum enim grave et intolerabile est, et « qui non sustinet, operam perdit. » Doloso repones illico : « Regula nihil a me ultra vi- « res exigit, hoc enim si minus assequor, « illud aliud valeo. Laborare si nequeo, « psallo meditabundus alleluia. »

κγ΄. Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν * ἔνδον τοῦ ἀμπελῶνος ὁ Κύριος, * τοῦ καμεῖν καὶ ὑμεῖς ἐσπουδάσατε· * τὸ σαθρὸν τῆς σαρκὸς ἀπωσάμενοι, * ἀγγέλων τάξιν ἀνελάϐετε· * εἰ εἰσέλθητε τὴν ἑνδεκάτην ὥραν * μετὰ τῶν ὑπενεγκάντων τὸν καύσωνα, * καὶ ὑμῖν ἴσος κλῆρος ἔσται τῆς ᾠδῆς * τὸ ἀλληλούϊα.

23. Inter operarios quos in vinetum Dominus invitavit, ad laborandum strenue vos quoque festinavistis. Fœda carnis sarcina rejecta, angelorum ordinem suscepistis. Quamvis intraveritis ad horam undecimam, etiam cum cæteris, qui æstum jam toleraverunt, participes facti eritis cantici alleluia.

κδ΄. Ὁ εἰπών· Ἐγὼ πέλω ἡ ἄμπελος, *

24. Cujus ea vox est : « Ego sum vitis, et

A, B, C. — ζητῶν βρῶσιν D. — εἰς βρῶσιν cæt. cf. I Petr. V, 8. — δι' οὗ φύγωμεν E. — διὰ τοῦτο καλὸν τὸ ἔχειν πρὸς τὴν ᾠδὴν D. — μήτις οὖν καταλίπῃ ποτὲ τὸν ψαλμὸν A, B, C.

21. ποτε ἐρετίζει σε, γαργαλίζων σε D, E. — καί φησιν πρὸς τὴν ἔξοδον E. — ἐνθ. εὐθέως D. — συγκέκλεισαι D, E. — ὅσοι ἔξωθεν D. — πῶς οἱ ἔξοδον E. — ἔμαθες, ὕπαγε ὅτι εἶδον ἀντιλογίαν D. — καὶ πολλὴν ἀντιλ. ἐν πόλεσι καὶ τὴν ἀντιλ. πολλ. cæteri codd. — διὸ μένε A, B, C. — διὸ ἔνθα μένω τὸν Θεὸν, καὶ ψάλλω τὴν ᾠδὴν D. — μένων τῷ Θεῷ κελαδῶ E.

22. Καὶ πῶς δύνασαι τῷ κανόνι στοιχεῖν D, E. — ὁ κανὼν οὖν βαρὺς D. — καὶ δυσαύχενος D, E. — Cf. Matth. XXIII, 4; Luc. XI, 46. — εἰπὲ εὐθέως A, B. — κἂν γὰρ τοῦτο D, E. — μὴ πράσσω mel. ob acc. ἀφείσω E. — ἀφῶ, τὸ γὰρ ἄλλο D. — ἂν μὴ ἰσχύσω C. — κἂν ἰσχύσω ποτὲ ἐν ἀγῶνι ψαλῶ D. — ἂν μὴ ἰσχύω καμεῖν, μελετῶ τὸν ψαλμὸν A, B, C. — κἂν ἰσχύω μοχθῶν, κἂν ἀρκήσω ψάλλων E.

23. Μετά. Troparia sex a 23 ad 28 omitt. D, E. — εἰ εἰσέλθητε. An εἰ cum conjunct. vel ipsi Attici respuant, disputat Winer l. l. p. 276. — ἐνεγκάντων B, C. — Matth. XX. — ἡμῖν γὰρ ὁ κλῆρος A, B. — καὶ ὑμῖν ὁ κλ. ἔστι C.

24. εἰμὶ A, B. Io. XV, 5. — γενώμεθα αὐτοὶ μετ' αὐτοῦ A, B. — ὅτι χαίρει καὶ ἀκούει C.

καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα· * ἑρμηνεύων ἡμῖν τὴν συνάφειαν, * τὴν αὐτοῦ πρὸς ἡμᾶς, τοῦτο ἔφρασε· * διὸ ἐν τούτῳ ἐργασώμεθα, * ἵνα οὕτω γενώμεθα μετὰ κόπου, * ὡς αὐτὸς ἐν ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτῷ, * ὅτι θέλει καὶ χαίρει ἀκούειν ἡμῶν * τὸ ἀλληλούϊα.

« vos palmites mei estis, » idem ut nobis significaret quanta sit dilectio ipsius erga nos, ita fatus est. Idcirco omni opera nitamur, sic nos in illo esse, ut ille in nobis est, quoniam ipsi lubet et gratum est a nobis audire alleluia.

κε΄. Στεῤῥωθέντες τῇ πίστει οὖν στήκετε· * τοὺς αὐχένας ὑμῶν κάτω κάμπτοντες, * τῇ ψυχῇ δὲ Χριστὸν ἄνω βλέποντες, * τῶν ἐν γῇ παντελῶς μὴ φροντίσητε, * καραδοκοῦντες καὶ σπουδάζοντες * μετὰ τὸ μεταστῆναι τοῦ βίου τούτου, * κατοικῆσαι ἐν ταῖς τῶν ἁγίων μοναῖς, * ἵνα ὥσπερ ἐνταῦθα, βοᾶτε κἀκεῖ * τὸ ἀλληλούϊα.

25. Corroborati igitur fide, state firmi; colla vestra humi demittentes, mente autem sursum speculati Christum, terrena jam penitus obliti, alacriter aspectantes et impetu enixi, ut cum e vita migraveritis, recipiamini in sanctorum habitacula, ut qualis est hic, talis illic sit clamor, alleluia!

κϛ΄. Ὁ καιρὸς τῆς χαρᾶς ὑμῶν ἔφθασεν· * ὁ γὰρ Κύριος τάχιον ἔρχεται, * ὁ νυμφὼν τὸν νυμφίον ἐκδέχεται, * καὶ ὑμεῖς ταῖς λαμπάσιν ἀστράπτετε, * ὡς εὖ φρονοῦντες παρθενεύετε· * παρθενεία γὰρ τῆς ψυχῆς ἡ ἁγνεία, * δι' ἧς ἔχετε βλέπειν τὴν δόξαν Χριστοῦ, * δᾳδουχοῦντες αὐτῷ, καὶ βοῶντες ἀεὶ * τὸ ἀλληλούϊα.

26. En vobis venit lætitiæ tempus, cito enim Dominus adest, thalamus sponsum excipit, vosque accensis lampadibus fulgebitis, utqui virginitatem sapienter sectemini. Virginitas enim est animæ castimonia, qua poteritis Christi videre gloriam, tædas illi præferentes, ac sine fine clamantes alleluia.

κζ΄. Ὑπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε, * κατακρίνειν ἐμέ ποτε μέλλοντες· * διὰ τοῦτο Κυρίου δεήθητε, * ἵνα εὕρω σὺν πᾶσι τὴν ἄνεσιν, * καὶ ἀπολαύσω σὺν ὑμῖν κἀγὼ * τῆς χαρᾶς ἐκείνης τῆς αἰωνιζούσης· * τοῦ Θεοῦ γάρ ἐστε εὐωδία ὑμεῖς, * καὶ αἰτοῦμαι ὑμᾶς τὸ συμψάλλειν ἀεὶ * τὸ ἀλληλούϊα.

27. Eruditi nunc a me fuistis, vos me jure olim judicaturi. Dominum igitur exorate, ut veniam ego vobiscum omnibus reperiam, ac simul ego quoque fruar lætitia, quæ in ævum durabit. Vos certe Dei bonus odor estis, ac vos precor, ut una psallamus perpetuum alleluia.

κη΄. Τῶν ἀγγέλων τὸν βίον βιῶσαι νῦν, *

28. Sane jam vos hic vivere vita angelo-

25. στηριχθέντες C. — Mox στήκετε, priscis quidem inauditum dicitur, sed adeo frequens apud hymnographos, ut factu optimum sit notare, dictionem esse sacram, ut I. Cor. XVI, 13, στήκετε ἐν τῇ πίστει, et Rom. XI, 20, τῇ πίστει ἑστηκέναι, ubi ἐν omitti vides ut in tropario. Cf. Buttman. § 95. 6. 2, 2. Pro στῆτε cod. Alex. et ed. complut. ut noster, στήκετε præbent. Cæterum malo τῇ πίστει referri ad στεῤῥωθέντες, et absolute sumi στήκετε. — τῶν ante ἐν γῇ om. A, B.

26. χαρᾶς ἡμῶν B. — Sane τάχιον pro θᾶττον inter ἀναττικὰ retruditur apud Lobeck l. l. 77, 78. Sed quod sequitur ὡς pro ἐφ' ᾧ, exponit et tuetur Winer l. l. p. 417. — παρθ. γάρ ἐστι ψυχῆς ἁγνεία codd. — δι' ἧς ἔρχεται C. — βοῶντες αὐτῷ A, B.

27. νῦν ὑμῖν A, B, C. — ἵν' ἄνεσιν εὕρω σὺν πᾶσιν ὑμῖν codd. — ἡμῖν τε κἀγὼ iid. — iid. om. καὶ superius. — αἰωνιζούσης sat vetus exemplum verbi quod prisci ne fando quidem audiverunt, licet habeat Suidas αἰωνίζει, διὰ παντὸς μένει. — ὑμῖν C.

28. μέγας Κύριος ὄντως A, B. — παρέσχεν ὑμῖν A,

μέγα ὑμῖν παρέσχεν ὁ Κύριος * μεῖζον πάλιν καὶ τοῦτο εὑρήκειτε· * ἔχειν ὡς ἀδελφὸν τὸν ἡγούμενον * πραέως πάντων ἀνεχόμενον * ἤθει μὲν πτωχὸν, πλούσιον δὲ φρονήσει, * τάξει ὑπὲρ ὑμᾶς καὶ βουλῇ καθ' ὑμᾶς, * πάντας στέργοντα, πάντας καλοῦντα εἰπεῖν * τὸ ἀλληλούϊα.

rum, magnum illud fuit vobis a Domino concessum; id vero majus inveneratis, quod quasi frater vobis abbas erat, mansuetum se omnibus præstans, pauperem habitu, sed sensu divitem; ordine supra vos, voluntate juxta, omnium amantem, omnes invitantem ad canendum alleluia.

κθ'. Οὐκ ἀρκεῖ μοι ὁ λόγος πρὸς ἔπαινον * τῆς τοσαύτης αὐτοῦ ἡμερότητος, * καὶ εἰσὶν ἐν ὑμῖν μαρτυροῦντές μοι, * καὶ κυροῦντες τοῖς ἔργοις τοὺς λόγους μου, * ὅτι πολλάκις ἀπεδήμησαν * τῶν ἀμνῶν πολλοὶ ἔξωθεν ταύτης μάνδρας, * καὶ ἐπανεληλύθασι τούτου εὐχῇ, * οὓς δεξάμενος πάλιν προσήρμοσεν εἰς * τὸ ἀλληλούϊα.

29. Tam eximiam ejus mansuetudinem minime idoneus sum qui laudum verbis assequar; sunt inter vos quos testes appello, verba mea factis confirmaturos, quomodo sæpe numero multi abierunt agni ex hoc ovili, qui ejusdem oratione reversi sunt. Quos iterum exceptos, concinendo restituit modulo alleluia.

λ'. Σὺ οὖν, δέσποτα, ὡς παντοδύναμος * τὴν ζωὴν ἡμῶν ταύτην κυβέρνησον, * τῷ ποιμένι τὴν ποίμνην συντήρησον, * καὶ ἐμὲ ταῖς εὐχαῖς αὐτοῦ στήριξον· * τοῦ ἀγελάρχου τὸ μνημόσυνον * πολλοῖς χρόνοις ἡμῖν ἐκτελεῖν παράσχου, * καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐγκατάσπειρον νῦν, * πρὸς τὸ ψάλλειν τερπνῶς καὶ ἀεί σοι βοᾶν * τὸ ἀλληλούϊα.

30. O Domine, ut qui omnipotens es, vitam hanc dirige, pastori gregem conserva, meque ejus precibus tuere. Per multos inde annos, ducis ovium memoriam da nobis recolere; tuasque in nos effunde miserationes, ut psallere suaviter ac semper tibi vociferari valeamus : Alleluia.

B, C. Emendavi ex D, E. Ruptum enim filum posteriores codd. resumunt, alio statim, ut solent, stramine internexum ab ipso initio troparii : μέγα πᾶσιν παρέσχεν ὁ Κύριος, βίον ὄντως βιῶσαι ὡς ἄγγελοι [ἰσάγγελον E] μεῖζον πάλιν. καὶ τούτου D. — εὑρήκατε codd. — πρᾶον καὶ πᾶσιν ὁμοιούμενον D. — πτωχὸν τῷ ἔθει καὶ πλούσ. ἐν φρον. D, E. πτωχὸν ἔθει καὶ πλούσιον τῇ φρονήσει A, B, C. — καὶ λοιποῖς καθ' ἡμᾶς C. — καὶ οὐδὲν καθ' ἡμᾶς A, B. — πάντα στέργοντα A, B, C, D. — πάντα καλοῦντα D. — εἰπὼν C.

29. ἀρκεῖ μου D. — τῆς ἀμέτρου D, E. — ἐν ἐμοὶ D. — κυροῦντες τοῖς λόγοις μου, ὅτι C. — λόγους τοῖς ἔργοις A, B. — λόγοις τὰ φθέγματά μου, ὅτι πολλάκις D, E. — ἀπεδήμησαν D. — ἀπεδήμησεν A, B. — ἀπεπήδησαν E. — ἐκ τῆς μάνδρας ταύτης πολλοῖς D, E. — πολλοὺς τῶν ἀμνῶν ἐξωθέντας μάνδρας C. — ἔξω τῆς μάνδρας A, B. — ἐπανήλυσαν A, B, C, D. — καὶ ταῖς τούτου εὐχαῖς D. — κ. τ. τούτων εὐχαῖς E. — καὶ τῇ τούτου εὐχῇ προσήνωσεν A, B, C. — προσήρμωσεν τοῦ βοᾶν D. — εἰς codd. om. ante τὸ ἀλληλ.

30. σὲ οὖν δέσπ. ὡς παντοδύναμον προσκυνοῦντες, βοῶμέν σοι ἅπαντες D. — παντοδυνάμενος E. — ἡμῶν πᾶσαν A, B. — ἡμῶν πίστει E. — εὐχαῖς αὐτῶν E. — om. παράσχου E. Inde usque in finem extravagatur D : ἐκτελεῖν καὶ τὴν σὴν βασιλείαν ποθεῖν καὶ ὑμνεῖν, ὅτι θέλεις σαθροὺς στέργειν ἀεὶ καὶ βοᾶν. — κατάσπειρον D, E. — ἡμῖν pro νῦν codd. — ψάλλειν θερμῶς A, B. — καὶ βοᾶν σοι ἀεὶ E.

VIII.

CANTICUM DE CRUCIS TRIUMPHO.

α'. Οὐκέτι φλογίνη ῥομφαία
φυλάττει τὴν πύλην τῆς Ἐδέμ·
αὐτῇ γὰρ ἐπέστη (παράδοξος δέσις)
τὸ ξύλον τοῦ σταυροῦ·
θανάτου τὸ κέντρον,
καὶ Ἅδου τὸ νῖκος ἐλήλαται·
ἐπέστης δὲ, σωτήρ μου,
βοῶν τοῖς ἐν ᾅδῃ· Εἰσάγεσθε
πάλιν εἰς τὸν παράδεισον.
β'. Ὡς ἀληθῶς λύτρον ἀντὶ πολλῶν,
προσηλώθης τῷ τύπῳ τοῦ σταυροῦ,
Χριστὲ, ὁ Θεὸς ἡμῶν,
ἐξαγοράσων ἡμᾶς·
τῷ τιμίῳ γὰρ
φιλανθρώπως αἵματι
τὰς ψυχὰς ἡμῶν
ἐκ θανάτου ἥρπασας,
συνεισενέγκας ἡμᾶς
πάλιν εἰς τὸν παράδεισον.
γ'. Τὰ οὐράνια καὶ τὰ ἐπίγεια
συγχαίρουσιν δικαίως τῷ Ἀδὰμ,
ὅτι κέκληται

1. Non jam ignea romphæa
Edeni ostium tuetur,
cui custos (mirabilis nexus!)
lignum crucis præficitur.
Mortis aculeus,
et Inferni victoria periit.
Tu vero advenisti, salvator meus,
positis in inferno clamans : « Ingredi- [mini
« iterum in paradisum. »
2. Tu pretium vere pro multis datum,
fixus es instrumento crucis,
Christe, o Deus noster,
nos jure empturus :
tuo namque pretioso
sanguine (quæ tua clementia!)
animas nostras
e morte rapuisti,
qui nos transtulisti simul
iterum in paradisum.
3. Cœlestia et terrestria
merito congratulantur Adamo,
quod vocatus est

Vix aliud theatrum erit in melodorum palæstra, quod scena, personis, apparatu insignius sit, quam inaspectatum illud drama, in media quadragesima instructum, ubi Orcus, Belial, larvæ quotquot infernæ, veterumque in limbo lugentes animæ, una cum Christo, jam per crucem ovante, arte et ingenio S. Romani excientur. A fusiori commentario ægre in his notulis abstinere oportuit. Ex duobus codd. corsin. f. 97-100, et mosquensi f. 259-261 describitur poema grandiusculum, ad unum usque supra quadringentos versus in 21 tropariis porrectum, quorum tria ab initio quasi antistrophæ, vario sunt rhythmo distincta; cætera 18 sub eodem hirmo reguntur singulari prorsus, quem a nemine putem fuisse unquam resumptum. Codex taurinensis et Triodia vulgata tantum retinuere primum et quartum ex tropariis, in III jejuniorum Dominica, quæ crucis adorationi dicatur. Omnia corsinianus rejecit in feriam VI magnam, et ultimo in loco posuit, sub hoc titulo : ἕτερον κοντάκιον τῆς ἁγίας παρασκευῆς, ἦχος βαρὺς, ποίημα Ῥωμανοῦ, cui accedat integra, ut videtur, acrostichis : τοῦ ταπεινοῦ Ῥωμανοῦ.

1. Primum trop. in marginem corsin. rejicitur, in editis vero insignitur epigraphe αὐτόμελον. — αὐτὴ γὰρ ἐπῆλθε edd. venet. et bonon. cum M, T. — παράδοξος σβέσις venet. Sequitur nostros codd. bonon. utraque tamen parenthesis æque mira, quam facile mutarim in (παράδοξον φῆσαι, mirabile dictu!). — ἐλήλατο C, T. I Cor. XV, 55. — εἰσάγεσθαι M.

2. ἐξηγοράσων C.

3. Suspicor breve illud tetrastichon fuisse post singula troparia conclamatum.

πάλιν εἰς τὸν παράδεισον.

δ'. Τρεῖς σταυροὺς ἐπήξατο
ἐν Γολγοθᾷ ὁ Πιλᾶτος,
δύο τοῖς λῃστεύσασι,
καὶ ἕνα τῷ ζωοδότῃ·
ὃν εἶδεν ὁ Ἅδης,
καὶ εἶπε τοῖς κάτω·
Ὦ λειτουργοί μου
καὶ δυνάμεις μου,
τίς ὁ ἐμπήξας
ἧλον τῇ καρδίᾳ μου;
ξυλίνῃ με λόγχῃ ἐκέντησεν ἄφνω,
καὶ διαρήσσομαι,
τὰ ἔνδον μου πονῶ,
τὴν κοιλίαν μου ἀλγῶ,
τὰ αἰσθητήριά μου
καὶ μαιμάσσει πνεῦμά μου,
καὶ ἀναγκάζομαι
ἐξερεύξασθαι τὸν Ἀδὰμ καὶ τοὺς ἐξ
ξύλῳ δοθέντας μοι [Ἀδάμ.
ξύλον τούτους εἰσάγει
πάλιν εἰς τὸν παράδεισον.

iterum in paradisum.

4. Tres cruces defixit
Pilatus in Golgotha :
duas prædonibus,
et unam vitæ largitori.
Quam aspexit Orcus,
et ait infra jacentibus :
« O ministri mei,
« et potestates meæ,
« quis infixit
« cordi meo clavum?
« Lignea me lancea illico punxit,
« et disrumpor;
« crucior intra me,
« ventre meo angor
« ac sensibus meis,
« et exæstuat spiritus meus,
« et necessitate cogor
« Adamum eructare et Adami prolem.
« Quos lignum mihi dedit,
« lignum eos inducit
« iterum in paradisum. »

ε'. Ὅτε τούτων ἤκουσεν * ὁ πολυκέφαλος δράκων, * ἔδραμε συρόμενος, * καὶ κράζων Ἅδῃ· Τί ἔχεις; * τί μάτην ταράσσῃ; * τί λόγους προσφέρεις; * τοῦτο τὸ ξύλον, * ὅπερ ἔφριξας, * τῷ ἐκ Μαρίας * ἐτεκτόνευσα ἐγώ, * ἐγὼ Ἰουδαίοις ὑπέδειξα τοῦτο. * Πρὸς τὸ συμφέρον γὰρ * ἡμῖν ἐστι σταυρός, * ᾧ προσήλωσαν Χριστόν· * ξύλῳ γὰρ θέλω ἑλεῖν * τὸν Ἀδὰμ τὸν δεύτερον. * Μή οὖν ταράξῃ σε, * οὐχ ἁρπάσει γάρ σοί μενοῦν κράτει οὓς κρατεῖς, * ὧν γὰρ δεσπόζομεν, * οὐδὲ εἷς ἀποφεύγει * πάλιν εἰς τὸν παράδεισον.

5. Hæc ubi audiit centiceps Draco, citato volumine cucurrit, et ait Orco : « Quid tibi? « cur frustra cruciaris? quorsum hæc verba? « Ipsum lignum, quod horres, Mariæ Nato « ego fabricavi, ego illud Judæis subdidi. « Commodum enim in nostrum cedit crux, « cui confixere Christum. Ligno enim volo « secundum destruere Adamum. Haud igitur « te conturbet, neque enimvero vi a te rapiet « quos tenes; quorum quippe domini sumus, « ne unus quidem effugiet iterum in paradisum. »

4. Πιλᾶτος cum circumfl. restituit Tischendorff ex codd. — τοῦ ζωοδότου edd. — καὶ ante εἶπε om. C. — ξυλίνῃ με λόγχῃ triod. Bonon. — πονῶ, cf. Ierem. IV, 19. — Lege αἰσθητήρια μοῦ, accentum retinente enclitico, quum in ultima syllaba hujus 15 v. semper tonus quiescat, et recole nostram XIII reg. — pro modulo etiam melius πνεῦμα μοῦ ubi codd. et edd. μαιμάσσει τὸ πνεῦμά μου. — ξύλῳ τούτους C, M. ξύλον γὰρ edd. πάλιν εἰσάγει Bonon.

5. ὁ δολιόβουλος ὄφις M. — συρόμενος. Cf. trop. 12. — καὶ λέγει ᾅδῃ M. — ταράσσῃ. om. v. mosq. — τί τὸ ξύλον ὅπερ ἔπηξας τῷ ἐκ Μαρίας ἀνθρώπῳ ἐτεκτόνευσαν C. — ὥσπερ ἔφ. τῷ ἐκ Μαρίας τεχθέντι υἱῷ M. — ἐγὼ ἐτ. M. — ἐπέδειξα C. — Mox codd. rejiciunt γὰρ post ἐστι, extra metrum. — ὁ σταυρὸς M. — τῷ Χριστῷ, ξύλον ἐν ᾧ θέλω M. — οὐχ ἁρπάσει σε μεῖνον, κράτει C. — ταράξει σε, οὐχ ἁρπάζει σε μεῖνον ἐκεῖ ὡς κρατεῖς M, in meo apographo. Cf. per totum Eusebii Alexand. hom. XV, *In Diabolum et Orcum*, Patrol. t. LXXXVI, p. I, p. 383.

ϛ'. — Ὕπαγε, ἀνάνηψον, * Βελίαρ, κράζει ὁ Ἅδης, * δράμε, καὶ ἀπόκαμψον * τοὺς ὀφθαλμούς σου, καὶ ἴδε * τὴν ῥίζαν τοῦ ξύλου * ἐντὸς τῆς ψυχῆς μου· * κάτω κατῆλθεν * εἰς τὰ βάθη μου, * ἵν' ἀνασπάσῃ * τὸν Ἀδὰμ, ὡς σίδηρον. * Τὴν τούτου εἰκόνα ποτὲ Ἐλισσαῖος * προεζωγράφησεν, * ἐκτὸς τοῦ ποταμοῦ * τὴν ἀξίνην ἀνελών. * Τῷ ἐλαφρῷ τὸ βαρὺ * ὁ προφήτης εἵλκυσε, * προοιμιάζων σοι, * καὶ διδάσκων ἐμὲ ὅτι ξύλῳ ὁ Ἀδὰμ * μέλλει ἀνάγεσθαι * ἀπὸ ταλαιπωρίας * πάλιν εἰς τὸν παράδεισον.

ζ'. — Τίς τοιαύτην ἔννοιαν * ὑπέθετό σοι, ὦ Ἅδη; * πόθεν ἐδειλίασας * φόβῳ οὗ φόβος οὐκ ἔστι, * ἐκ ξύλου ἀτίμου, * ξηροῦ καὶ ἀκάρπου, * τοῦ γενομένου * πρὸς ἀναίρεσιν * τῶν κακουργούντων, * καὶ χαιρόντων αἵμασι; * Πιλᾶτος γὰρ τοῦτο ἐφεῦρε, πεισθεὶς μου * τοῖς συμβουλεύμασι· * καὶ τρέμεις, καὶ ἡγῇ * δυνατὸν τὸ πανταχοῦ * τιμωρὸν, σωτήριον * παραυτίκα γίνεσθαι; * τίς ὁ πλανήσας σε; * τίς δὲ ὁ ἐμπαίσας σοι, ὡς ξύλῳ ὁ πεσὼν * ξύλῳ ἀνίσταται, * καὶ καλεῖται οἰκῆσαι * πάλιν εἰς τὸν παράδεισον;

η'. — Ἄφρων ἄφνω γέγονας, * ὁ πρώην φρόνιμος ὄφις· * πᾶσα ἡ σοφία σου * διὰ σταυροῦ κατεπόθη, * καὶ ἐν τῇ παγίδι * τῇ σῇ ἐζωγρεύθης. * Ἆρον τὸ ὄμμα, * καὶ θεώρησον * ὅτι εἰς βόθρον * ὃν εἰργάσω, ἔπεσες. * Ἰδοὺ γὰρ τὸ ξύλον ἐκεῖνο ὃ λέγεις * ξηρὸν καὶ ἄκαρπον, * βλαστάνει τὸν καρπὸν, * οὗ γευσάμενος λῃστὴς * τῶν ἀγαθῶν τῆς Ἐδὲμ * κληρονόμος γέγονεν· * ὑπὲρ τὴν ῥάβδον γὰρ, * τὴν ἐξάξασαν τὸν λαὸν ἐξ Αἰγύπτου γῆς, * τούτῳ ἐνήργησε, * τὸν Ἀδὰμ γὰρ εἰσάγει * πάλιν εἰς τὸν παράδεισον.

6. — « Agedum, resipisce, Belial! clamat « Orcus, curre, tuosque inflecte oculos, et « vide ligni radicem animæ meæ penitus in« sertam; alte descendit, veluti ferrum, in « viscera mea, ut evelleret Adamum. Cujus « rei figuram olim Elisæus præostendit, « quum e fluvio securim eripuit. Levi ligno « grave ferrum propheta attraxit, præsi« gnans tibi, memetque docens a ligno Ada« mum ex infortunio eductum iri iterum in « paradisum. »

7. — « Quis te ad id cogitandum impulit, « o Orce? Unde trepidas timore ubi non est « timor, ob lignum infamia notatum, ari« dum ac sterile, occisioni illorum addictum, « qui facinoribus et sanguine oblectantur? « Pilato acceptum refertur inventum, meis « persuaso consiliis. Et id times, et quod « ubique patibulum turpe est, id valere pu« tas et salutiferum subito fieri? Quis te de« cepit? aut quis te illusit, ac si is qui lapsus « est ligno, ligno erigatur, et invitetur ad « inhabitandum rursus in paradisum? »

8. — « Amens actutum factus es, tu prius « callidus anguis. Tota sapientia tua per « crucem absorpta est, et tuo ipse laqueo « captus es. Tolle oculum et vide quomodo « in foveam quam foderas, cecideris. En « quippe lignum, quod dicis aridum et infru« giferum, fructum extulit, quo gustato, « latro Edeni deliciarum sortem tulit. Plus « enim quam virga quæ plebem eduxit ab « Ægypti terra, crux huic latroni fecit : « Adamum quippe inducit rursus in para« disum. »

6. Βελίαρ λέγει C. — δράμε ἀποκάλυψον τοὺς ὀφθαλμούς σου καὶ βλέπεις τοῦ ξύλου τὴν ῥίζαν C. — ἔνδον τ. ψ. M. — τοῖς ὀφθαλμοῖς M. — δράμε, ἀπόκ. — f. καὶ ὡς κατῆλθεν. — τοῦ εἰκόνα M. — ἐκ τοῦ ποταμοῦ C, M. cf. IV Reg. VI, 5-7. — προοιμ. με κ. δ. με ὅτι μέλλει ὁ Ἀδὰμ ξύλῳ C.

7. φόβῳ οὗ οὐκ ἔστι φόβος C. — ἐν φόβῳ οὗ οὐκ ἦν φ. M. Ps. XIII, 5. — αἵμασι post χαίροντ. om. C. — αἵμασι καὶ τρέμεις M, omissis interpositis. — τοῖς βουλεύμασι C. — τρέμεις αὐτὸ καὶ ἡγῆσαι δυνατὸν τὸ μωρὸν παρ' ἡμῶν πανταχοῦ σωτήριον, τίς C. — τρέμεις αὐτῷ καὶ ἡγ. δ. τὸ τιμωρὸν πανταχοῦ παρὰ σοῦ σωτήριον M. — τίς ἐμπαίξας σε ὅτι C. τίς δὲ ὁ πείσας σε ὅτι M.

8. πρώην γεγονὼς C. — f. ὑπὸ pro διὰ et κατεπαύθη. — ἔπεσας M. De hoc aor. cf. tr. 16. — τὸν ante καρπὸν om. C, M. — τῶν ἐν Ἐδὲμ C. — ἐξάξασαν ab ἐξάγω; de aor. ἦξα pro ἤγαγον v. Lob. l. l. p. 287.

θ'. — Παῦσαι, Ἅδη ἄθλιε, * δεινῶν ἀπόσχου ῥημάτων· * οὗτοι γὰρ οἱ λόγοι σου * τοὺς λογισμούς σου δηλοῦσι· * σταυρὸν ἐφοβήθης * καὶ τὸν σταυρωθέντα, * ὧν οὐδὲ εἷς με * παρεσάλευσε· * τῆς γὰρ βουλῆς μου * δράματα ὑπάρχουσι· τελέσω δὲ πάλιν, καὶ μνῆμα ἀνοίξω, * τυμβεύσω τὸν Χριστὸν, * ἵν' οὕτως ἔχῃς σὺ * τὴν δειλίαν σου διπλῆν, * ἀπὸ τοῦ τάφου αὐτοῦ, * ὡς ἐκ τοῦ σταυροῦ αὐτοῦ, * ἐγὼ δὲ βλέπω σε· * θαπτομένου γὰρ τοῦ Χριστοῦ, ἐγγελάσω σοι· * ἔρχομαι, λέγων σοι· * Τὸν Ἀδὰμ τίς εἰσάγει * πάλιν εἰς τὸν παράδεισον;

9. — « Quiesce, Orce infelix! Nefasta « verba missa fac. Hi namque sermones tuos « produnt cogitatus. Crucem et crucifixum « reformidasti, quorum me neutrum movit. « Mei namque consilii hæc opera sunt : quæ « perficiam, et tumulum aperiam, Christo« que parentabo, ut sicut ex ejus cruce, ita « ex illius sepulcro, duplicem tu pavorem « habeas, ego vero te videam : tumulato « enim Christo, deridebo te : venio, a te « quærens, quis Adamum inducat rursus in « paradisum. »

ι'. Ἔκραξε δὲ ἄθροον * πρὸς τὸν Διάβολον Ἅδης, * ὁ πηρὸς μὴ βλέποντι, * τυφλὸς τυφλῷ λέγει· Βλέψον, * ἐν σκότει πορεύῃ· * ψηλάφα, μὴ πέσῃς. * Νόει ὃ λέγω, * βαρυκάρδιε! * ὅτι ὃ πράττεις, * ἔσβεσε τὸν ἥλιον.

Αὐτὸ γὰρ τὸ ξύλον, εἰς ὃ ἐγκαυχᾶσαι, * τὸ πᾶν ἐκλόνησεν, * ἐδόνησε τὴν γῆν, * ἐσκότισεν οὐρανὸν, * ἔρρηξε πέτρας ὁμοῦ * καὶ τὸ καταπέτασμα, * καὶ τοὺς ἐν μνήμασιν * ἐξανέστησε τοὺς νεκροὺς οἳ βοῶσί μοι· * Ἅδη, κατάλαβε! * Ὁ Ἀδὰμ γὰρ ἐκτρέχει * πάλιν εἰς τὸν παράδεισον.

10. Erupit confestim Orcus ad Diabolum; dixit visu captus ad captum oculis, cœcus ad cœcum : « Cerne tandem : in nocte gradieris. « Palpa, ne labaris. Nosce quod aio, o gra« vis corde! tuum facinus solem extinxit. « Ipsum enim lignum, in quo exultas, com« movit mundum totum, concussit terram, « obscuravit cœlum, disrupit saxa simul et « aulæum : quin jacentes in monumentis ex« civit mortuos ad me clamantes : « Orce, « assequere! Adam enim currit iterum in « paradisum. »

ια'. — Ἴσχυσε πτοῆσαί σε * τοῦ Ναζωραίου τὸ ξύλον, * ἔφη ὁ Διάβολος * πρὸς τὸν ὀλέθριον Ἅδην. * Σταυρῷ ἐνεκρώθης * ὁ πάντας νεκρώσας· * ὅλως εἰ ξύλον * σε ἐπτόησε, * ἔδει σε φρῖξαι * τοῦ Ἀμὰν τὴν σταύρωσιν, * κἀκεῖνον τὸν πάσσαλον, ᾧπερ ἀνεῖλε * Σισάρα Ἰαὴλ, * καὶ πέντε τοὺς σταυροὺς, * οἷς προσήλωσέ ποτε * τοὺς τυραννοῦντας αὐτὸν * Ἰησοῦς ὁ τοῦ Ναυῆ· * περισσοτέρως δὴ *

11. — « Ita valuit te perterrere Nazareni « lignum, Diabolus ait ad funestum Orcum. « Cruce enectus es, qui cunctos necasti. « Quod si omnino te lignum terrefecit, te « magis oportuit horrere Amani palum, il« lumque clavum, quo Sisaram Iaël intere« mit, hos etiam quinque stipites, quibus « olim totidem tyrannos suos affixit Iesus « filius Nave. Nimium sane terruit te arbor

— Ἐξ αἰγύπτου τῶν λαῶν τοῦτον ἐνήργ. M. ἐξ αἰγ. τὸν λαὸν καὶ τοῦτο C. — ἐν. καὶ τὸν Ἀδὰμ C.

9. δειλῶν C. — θελήσω δὲ M. — θέλεις ὧδε C. — καὶ ἐνθυμβεύσω C, M. — τὸν om. M. — ἣν οὕτως ἔχει ἵν' ὅλως M. — σὺ om. C, M. — βλέπων σε C. — τοῦ om. codd. et transponunt ἐγγελάσω σοι ante θαπτ. γ. τ. χ. — λέγω σοι C. ex hoc tumultu fort. emendandum : ἐγὼ δὲ λείπω σε, θαπτομένου δέ.

10. δὲ ἄθροον om. C. — om. articulo πηρὸς τῷ μὴ βλέπειν M. — pro λέγει tonus exigit βοᾷ. — ψηλάφῃ M. — ἃ λέγω... ἃ πράττεις ἔσβεσαν C. — pro εἰς ὃ f. ἐν ᾧ. — ἐγκαυχᾶσαι contractum ab ἐγκαυχάεσαι, uti infra occurrit σταυροῦσαι, et alias στεφανοῦσαι, κτᾶσαι, alia id genus invitis grammaticis, exponit Lobeck p. 360. — πᾶν ἐσάλευσεν, ἐκλόνησε γῆν C. — ἐξήστησεν οὐρανὸν M. — τοῖς ἐν μν. M. — ἐξ. καὶ βοῶσιν οἱ νεκροὶ· ᾅδη C, M. — γὰρ ὑπάγει C.

11. λέγει C. — ἐνικήθης C. — ξύλον παρεχώρησας ἔδει φυγεῖν σε C. — τοῦ Ἀδὰμ M. — Cf. Esther VII, 10. — ἐν ᾧπερ C. — δι' οὗπερ M. — τὸν σισάρα C, M. Cf. Jud. IV, 21, 22. — καὶ πεντήκοντα C. πέντε σταυροὺς M. — οὓς προσήλωσε codd. — τοῖς τυραν-

ἐφόβησέ σε τὸ φυτόν· τὸ ἐν τῇ Ἐδὲμ * ὅ τι ἐξήγαγε * τὸν Ἀδὰμ, οὐκ εἰσάγει * πάλιν εἰς τὸν παράδεισον.

ιβ΄. — Νῦν καιρὸς ἀνοῖξαί σοι * τὰς ἀκοάς σου, Βελίαρ· * νῦν ἡ ὥρα δεῖξαί σοι * τὴν τοῦ σταυροῦ δυναστείαν, * καὶ τοῦ σταυρωθέντος * πολλὴν ἐξουσίαν. * Σοὶ μὲν μωρία * ὁ σταυρός ἐστι, * πάσῃ δὲ κτίσει * θρόνος τεθεώρηται * ἐν ᾧ Ἰησοῦς ἠλούμενος, καθάπερ * ἐπικαθήμενος, * ἀκούει τοῦ λῃστοῦ * πρὸς αὐτὸν κραυγάζοντος· * Μνήσθητί μου, Κύριε, * ἐν τῇ βασιλείᾳ σου. * Καὶ ἀποκρίνεται, * ὡς ἐκ βήματος, ὅτι σὺ σήμερον, πτωχὲ, * συμβασιλεύσεις μοι, * μετ' ἐμοῦ γὰρ εἰσέρχῃ * πάλιν εἰς τὸν παράδεισον.

ιγ΄. Ὅτε τούτων ἤκουσεν * ὁ πολυμήχανος δράκων, * ὥρμησε τρυχόμενος, * καὶ ἅπερ ἤκουσεν, εἶδε * λῃστὴν μαρτυροῦντα * Χριστῷ μαρτυροῦντι· * ὅθεν πρὸς ταῦτα * ἐκπληττόμενος, * τύπτει τὸ στῆθος, * καὶ διαλογίζεται· * Λῃστῇ ὁμιλεῖ, καὶ πρὸς τοὺς κατηγόρους * οὐκ ἀποκρίνεται· * ὃ Πιλᾶτόν ποτε * οὐδὲ λόγου ἀξιῶν, * νῦν πρὸς φονέα φωνεῖ, * λέγων· Δεῦρο, τρύφησον. * Τί τὸ γινόμενον; * τίς ἑώρακεν ἐν σταυρῷ πρῶτον πρὸς λῃστοῦ * ἔργα ἢ ῥήματα, * δι' ἃ τοῦτον λαμβάνει * πάλιν εἰς τὸν παράδεισον;

ιδ΄. Ὕψωσε δὲ δεύτερον * φωνὴν ἰδίαν ὁ δαίμων * κράζων· Ἅδη, δέξαι με, * πρὸς σὲ ἡ ἀποστροφή μου. * Τὰ σὰ γὰρ ὑπέστην, * τοῖς σοῖς μὴ πιστεύσας, * εἶδον τὸ ξύλον, * ὅπερ ἔφριξας, * πεφοινιγμένον * αἵματι καὶ

« illa Edeni; quæ expulit Adamum, minime « reducit eum in paradisum. »

12. — « Nunc mihi tempus est aures tibi, « Belial, aperiendi; nunc hora ipsa tibi « ostendet crucis præstantiam et multam « crucifixi potentiam. Crux tibi stultitia est, « quæ ab universa creatura thronus conside« ratur, in quo Iesus, clavis suspensus, ve« luti sedens, audit latronem ipsi claman« tem : « Memento, Domine, mei in tuo « regno. » Ac respondet tanquam e tribuna« lis solio : « Tu hodie, pauper, mecum re« gnabis; mecum enim ingrederis rursus in « paradisum. »

13. Ubi hæc audivit draco, multi doli artifex, prorupit desperatus, et quemadmodum audiverat, per se vidit confitentem furem Christo contestanti vicissim. Ad quæ attonitus, pectus percutit, hæc secum recogitans : « Latronem affatur hic, suis qui non respon« det accusatoribus; qui ne verbo quidem « Pilatum modo honestavit, nunc compellat « homicidam, inquiens : « Veni, delectare ! » « Quid factu simile? quis unquam in cruce « respexit prius furis opera verbave, propter « quæ eumdem rursus hic assumit in para« disum? »

14. Iterum vocem suam extulit Dæmon exclamans : « Me, Orce, excipe; ad te refugium « meum. Tua enim exsecutus sum, etsi ver« bis tuis fidem non adderem : vidi lignum « quod expavebas, purpuratum sanguine et

ἀκοῦσιν C. — αὐτῷ C, M. — f. περ. δέ. — ἐκφοβήσει σε C. — ποιήσαντός σε τὸ M. — ἐν ἐδὲμ C, M. — καὶ οὐκ εἰσάγει iid.

12. σοι om. M. — δείξει σοι.. C. δεῖξαι σοι pro tono ex XIII reg. — ἐστι πάλιν C. — θεωρεῖται M. — ἠλώμενος ἰησοῦς καθάπερ θρόνῳ καθήμενος C. — τοῦ om. codd. — κραυγ. πρὸς αὐτὸν C. — ὑμνολογοῦντος αὐτὸν C. — καὶ ἀποφθέγγεται C. — ὅτι σήμερον codd.

13. ταῦτα ἤκουσεν ὁ παμμήχανος M. — ἔδραμε C. — Χριστοῦ μαρτυροῦντος M. — λῃστῇ προσομιλεῖ καὶ τοῖς κατηγοροῦσι M. — οὐκ ἀπεκρίνατο C. — Πιλάτῳ ποτὲ C. M. — οὐδὲ λόγων C. — τὸν φονέα M. Duo verba om. C. — τί τὸ ἐσόμενον C. — τί ἑώρακεν M. — σταυρῷ πρὸς τοῦ λῃστοῦ M. — πρῶτον λῃστὴν C. — διὰ ποῖα C. — διὰ ποιῶν M. — id om. τοῦτον. Notarius scilicet, dum legebat διὰ pro δι' ἃ, deesse aliquid opinatus, imprudens addidit ποῖα; at cruci crucem addidit accentus, unde ποιῶν in mosquensem irrepsit.

14. Sub initio δὲ om. M. — Mox ἰδίαν pro αὐτοῦ, ut in sacris libris passim et more recentiorum, omisso tamen minus bene articulo, quo vix destituitur ἴδιος, pronominis vice usurpatum. — μὲ

ὕδατι· * καὶ ἔφριξα, οὐκ ἐκ τοῦ αἵματος λέγω, * ἀλλ' ἐκ τοῦ ὕδατος. * Τὸ μὲν γὰρ προδηλοῖ * τὴν σφαγὴν τοῦ Ἰησοῦ, * τὸ δὲ τὴν αὐτοῦ ζωήν· * ἡ ζωὴ γὰρ ἔβλυσεν * ἐκ τῆς πλευρᾶς αὐτοῦ· * οὐχὶ γὰρ ὁ πρῶτος, ἀλλ' ὁ δεύτερος Ἀδὰμ * Εὔαν ἐβλάστησε * τὴν μητέρα τῶν ζώντων * πάλιν εἰς τὸν παράδεισον.

ιε΄. Ῥήμασι χρησάμενος * τούτοις ὁ πάμπαν πανοῦργος, * μόλις ὡμολόγησε, * συμπεπτωκέναι τῷ Ἅδῃ. * Ἀμέλει γοῦν ἅμα * θρηνοῦσι τὸ πτῶμα· * Τί, φασὶν, τοῦτο * ὃ ὑπέστημεν; * πόθεν τὸ ξύλον * εἰς ὃ ἐνεπέσαμεν; * εἰς ὄλεθρον ἡμῶν ἡ τούτου φυτεία * ἐνεῤῥιζώθη γῇ· * στελέχη δὲ πικρὰ * ἐγκεντρίσαντες αὐτῷ, * τὸν ἑαυτοῦ γλυκασμὸν * οὐ μετεποιήσαμεν. * Οἴ μοι! συνόμιλε! * οἴμοι, σύντροφε! ὡς ὁμοῦ συνεπέσαμεν, * οὕτω πενθήσωμεν. * Ὁ Ἀδὰμ γὰρ ὑπάγει * πάλιν εἰς τὸν παράδεισον.

ις΄. Ὢ πῶς οὐκ ἐμνήσθημεν * τῶν τύπων τούτου τοῦ ξύλου! * πάλαι γὰρ ἐδείχθησαν * πολυμερῶς, πολυτρόπως, * ἐν τοῖς σωζομένοις * καὶ ἀπολλυμένοις. * Ξύλῳ ὁ Νῶε * διεσώζετο, * κόσμος δὲ ὅλως * ἀπειθήσας ὤλετο. * Μωσῆς δι' αὐτοῦ ἐδοξάσθη, τὴν ῥάβδον, * καθάπερ σκῆπτρόν τι, * λαβών· Αἴγυπτος δὲ * ταῖς πληγαῖς ταῖς ἐξ αὐτῆς, * ὥσπερ βαθείαις πηγαῖς * ἐμπεσοῦσα πνίγεται· * ἃ γὰρ νῦν ἔπραξε, * ἐν εἰκόνι πρὶν ἔδειξεν, Χριστοῦ σταύρωσιν. * Τί οὖν οὐ κλαίομεν; * ὁ Ἀδὰμ γὰρ ὑπάγει * πάλιν εἰς τὸν παράδεισον.

« aqua. Cohorrui et ego, haud propter sanguinem aio, sed ob lympham. Cruor quidem præsignat Iesu cædem; unda, vitam. « Vita enim manavit ab ejus latere : non primus certe, sed secundus Adam produxit « Evam, matrem eorum qui vivunt iterum « ad paradisum. »

15. Talia quum verba dedisset multiformis proditor, ægre fassus est se una cum Orco cecidisse. Haud frustra ergo lamentabantur ambo casum suum : « Quid, aiebant, quod « sustinuimus? Undenam lignum illud in « quod incidimus? In perniciem nostram « istiusmodi plantatio radices egit in terra. « Cui etsi surculos amaros inseruimus, ingenitam ejus dulcedinem nequaquam immutavimus. Hei mihi, sodalis! Hei mihi, commilito! Sicuti simul collapsi sumus, ita una « lugeamus. Ecce enim Adam iterum transmeat in paradisum. »

16. « Oh! qui fit ut figurarum hujus ligni « obliti simus! Ostensæ olim fuere sæpenumero, variis modis, tam in salvatis quam « in perditis. Ligno incolumis Noe fuit, orbis « vero incredulus pessumivit totus. Per lignum Moyses inclaruit, virgam ut sceptrum « sumens; sed Ægyptus in plagas ruens « ex ea ortas, quasi in altos latices, suffocatus est. Quod enim lignum modo effecit, « veteri figura declaraverat, Christi in cruce « patibulum. Cur igitur non flemus! Adam « enim rursus transit in paradisum. »

πιστεύσας M. — ἴδιον C. — ἔφριξα τοῦτο C. — γὰρ post τὸ μὲν om. M. — δηλοῖ codd. — τὴν τούτου C, M. — οὐχ ὁ πρῶτος γὰρ codd. — ἀλλὰ ὁ δεύτερος Ἀδὰμ C.

15. πανπανοῦργος liquido cors. unde emergit πάμπαν, quod om. mosq. Latina præbuit Fortunatus. — ἀμέλει γοῦν duo codd. æque f. emendandi, neque aliter quam illo optimæ notæ apposito : ἀμέτρως. — φησὶ codd. — τοῦτο post πόθεν inserit iterum C, post ξύλον M, qui om. εἰς ὅ. De aor. ἐνεπέσαμεν cf. Lobeck p. 724. At placeret ἐνεπταίσαμεν, et paulo infra συνεπταίσαμεν. — συνεπαίσαμεν. codd. — δὲ om. τὸν ἑαυτοῦ om. C. — ὡς ἐπέσαμεν ὁμοῦ codd.

16. ὢ cum acuto πάθος continet, soletque esse σχετλιαστικὸν, interdum sine casu, ut apud nostrum, sic apud pseudo-nazianzenum : Ὢ πῶς ἀδακρυτὶ τὴν τούτων ἐνέγκω μνήμην, in *Christo patiente*. — τὸν τύπον M. — τούτου om. C. — ὅλος C. — δι' αὐτοῦ Μωσῆς M. — καθάπερ τὸ σκ. λαβ. C. ῥάβδον ὥσπερ σκῆπτρον M. — ἡ Αἴγυπτος codd. — αὐτοῦ C. — ὡς ἐν βαθείαις C. — ἃ νῦν γὰρ C. — ἐν εἰκόνι ὁ

ιζ'. — Μεῖνον, Ἅδη ἄθλιε, * στενάζων ἔφη ὁ δαίμων. * Σίγησον, καρτέρησον, * ἐπίθες στόματι χεῖρα. * Φωνῆς γὰρ ἀκούω * χαρὰν μηνυούσης· * ἦχός μοι ἦλθεν * ἀγαθάγγελος, * κτύπος ῥημάτων, * ὥσπερ φύλλων τοῦ σταυροῦ· * Χριστὸς γὰρ, ὡς μέλλων νεκροῦσθαι, ἐβόα· * Πάτερ, ἄφες αὐτοῖς! * ἀλλὰ μὲ ἔθλιψεν, * τὸ μετέπειτα εἰπών· * ὅτι οὐκ οἴδασι γὰρ * τί ποιοῦσιν ἄνομοι! * Ἡμεῖς δὲ οἴδαμεν * ὅτι δόξης ὁ Κύριός ἐστιν ὁ παθὼν, * καὶ ὅτι βούλεται * τὸν Ἀδὰμ εἰσενέγκαι * πάλιν εἰς τὸν παράδεισον.

ιη'. — Ἆρα ὅτε ἔδειξε * τῷ Μωϋσῇ ὁ δεσπότης * ξύλον ὃ ἐγλύκανέ * ποτε εἰς Μεῤῥὰν τὸ ὕδωρ, * ἐδίδαξε τί ἦν * καὶ τίνος ἡ ῥίζα; * τότε οὐκ εἶπεν, * οὐ γὰρ ἤθελε· * νῦν δὲ τοῖς πᾶσι * τοῦτο ἐφανέρωσεν· * ἰδοὺ γὰρ τὰ πάντα ἡδύνθη, ἡμεῖς δὲ * παρεπικράνθημεν· * ἐκ ῥίζης τῆς ἡμῶν * ἀνεβλάστησε σταυρὸς, * ὃς ἐνεβλήθη τῇ γῇ, * καὶ γλυκεῖα γέγονεν * ἡ ἀνατείλασα * τὰς ἀκάνθας τὸ πρίν· νῦν ὡς ἄμπελος Σωρὴκ * κλάδους ἐξέτεινε * μεταφυτευομένους * πάλιν εἰς τὸν παράδεισον.

ιθ'. — Νῦν οὖν, Ἅδη, στέναξον, * καὶ συμφώνως σοῖς τοῖς γόοις * κλαύσωμεν, θεώμενοι * ὃ ἐφυτεύσαμεν δένδρον, * μεταβεβλη-

17. — « Siste, infelix Orce, flebiliter ait « Dæmon Belial. Tace jam et abstine, pone « ori manum. Nam vocem percipio lætitiæ « nuntiam : obstrepit mihi sonus, nuntius « bonorum, susurrus verborum, quasi folio- « rum crucis; Christus enim iamiam moritu- « rus, hæc edidit : « Pater dimitte illis! » « Me autem contudit quod inde adjecit : « quia nesciunt quid faciunt scelesti. » Jam « nos vidimus gloriæ Dominum esse eum qui « passus est, eumdemque velle Adamum in- « ferre iterum in paradisum. »

18. — « Num quando Dominus Moysi li- « gnum illud ostendit, quod aquas olim in « Merran dulces effecit, docuit quid esset, « cujusve radix? Nihil tunc dixit, neque enim « hoc voluit. Nunc autem omnibus id patefe- « cit; vide enim ut cuncta suavia facta sint, « nos vero amariores. Ex radice nobis infixa » crux effloruit, quæ telluri ubi inserta fuit, » jam dulcis evasit illa, quæ prius spinas pul- « lulavit; nunc vineæ Sorech similis, palmi- « tes extendit, iterum inserendos in para- « disum. »

19. — « Nunc ergo, Orce, da singultus, « vocesque tuis ululatibus miscentes, lacry- « memur, dum videmus qualem plantaveri-

σταυρὸς C. — ἐν εἰκόνι Ἰησοῦς σταυρῷ M. — εἰ Ἀδὰμ ἀποφεύγει C.

17. στέναξον C. — ἡσύχασον C. — στόμα τὴν χ. C. — χαρὰς M. — ἀγαθὸς ἄγγελος καὶ τύπος C. Vox ἀγαθάγγελος haud displiceat, cum dixerit optime κακάγγελος Æschyl. Agam. 622. — ὥσπερ ἀφ' ὑψηλῶν Χριστὸς ὁ μέλλων C. Ea receptum M textum confirmant, quæ simili lepore idem Romanus, ni fallor, cecinit in ἀνεπιγράφῳ planctu de Adamo:

Συνάλγησον, παράδεισε,
τῷ κτήτορι
πτωχεύσαντι, καὶ τῷ ἤχῳ
σου τῶν φύλλων
ἱκέτευσον τῷ πλάστῃ μὴ κλείσῃ σε·
ἐλεήμων, ἐλέησον τὸν παραπεσόντα.

« Condoleas, o Paradise, tuo possessori jam men- « dicanti, et flebili foliorum tuorum fremitu, con- « ditori supplicator, ne te claudat. Misericors, « miserere lapsi hominis. » Quæ quidem dum diligentius, auspice Deo, luci dederim, vereor ne metro urgente sollicitem vocem ἱκέτευσον, quamvis in ea totum sit poemation, cum enim veteres solerent, ramis lana alba obvolutis, vota supplicum promere, adducit huc poeta totum paradisum frondibus obtentis pro supplice Adamo frementem et ingemiscentem. Hactenus hæc. — ἐβόησε C. — ἐβόα τό· πάτερ M. — ἔθλ. με M. — με μετέπειτα C. — γὰρ om. codd. add. οἱ ἄν. τί rhythmi ergo trajectum. — κύρ. δόξης ἐ. iid.

18. Ἆρα ὅπερ codd. ὅτε sensus requirit, τότε infra confirmante. Exod. XV, 23. — ποτὲ τὸ ὕδωρ εἰς Μεῤῥᾶν. Ex. XV, 23. — οὐκ ἔδειξε τίνι ἢ τίνος C. — ἐκ ῥίζης ἡμῶν sic duo codd. contra quos statim emendabam τοῦ ξύλου vel τοῦ αὐτοῦ, sat frigide. Reduco ab initio ea quæ primum. Orcus eructavit : τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; « Huc usque ergo, ait, fatale lignum radices egit, in hæc viscera. » — γλυκεῖα δὲ C. — ἀκάνθας πρὶν C. — ὡρὶκ M. Statim em. Is. V, 2. — κλάδους βλαστήσει C.

19. οὖν om. M. — καὶ συμφώνως σοι C, M. —

μένον * εἰς ἅγιον πρέμνον, * οὗ ὑποκάτω * κατεσκήνωσαν * καὶ ἐπὶ κλάδοις * τούτου ἐννοσσεύσουσι * λησταὶ, φονευταὶ καὶ τελῶναι καὶ πόρναι, * ἵνα τρυγήσωσι * τὸν καρπὸν γλυκασμοῦ * ἀπὸ τοῦ δῆθεν ξηροῦ· * ὡς γὰρ φυτῷ τῆς ζωῆς, * τῷ σταυρῷ προσπλέκονται· * ἐπερειδόμενοι, * καὶ νηχόμενοι ἐκπερῶσι διὰ αὐτοῦ * καὶ προσορμίζονται, * ὡς εἰς εὔδιον κόλπον, * πάλιν εἰς τὸν παράδεισον.

κ'. — Ὄμοσον οὖν, τύραννε, * λοιπὸν μηδένα σταυρῶσαι. * Στῆσον καὶ σὺ, Τάρταρε, * βουλὴν μηδένα νεκρῶσαι· * ἐλάβομεν πεῖραν, * συστείλωμεν χεῖρας, * γένοιτο ἡμῖν * ὃ ὑπέστημεν * πρὸς ἐπιστήμην * εἰς τὰ ὑπερχόμενα, * μηδεὶς ἐξ ἡμῶν τοῦ λοιποῦ τυραννήσῃ * κατὰ γένους Ἀδάμ· * καὶ γὰρ ἐσφράγισται * ἐν σταυρῷ, ὡς θησαυρὸς * ἔχων ἐν σκεύει κρυπτῷ * μαργαρίτην ἄσυλον, * ὃν ἐπὶ τοῦ σταυροῦ * ἀπεσύλησεν ὁ εὐφυέστατος ληστὴς , * κλέψας καθηλωτῷ, * καὶ ληστεύσας ἐκλήθη * πάλιν εἰς τὸν παράδεισον.

κα'. Ὕψιστε καὶ ἔνδοξε * Θεὲ πατέρων καὶ νέων, * γέγονε τιμὴ ἡμῶν * ἡ ἑκουσία σου ὕβρις· * ἐν γὰρ τῷ σταυρῷ σου * καυχώμεθα πάντες. * Τούτῳ τὰς φρένας * προσηλώσωμεν, * καὶ ἐπὶ τούτου * ὄργανα κρεμάσωμεν· * καὶ ᾄσωμέν σοι, τῷ τῶν ὅλων Κυρίῳ, * ἐκ τῶν ᾠδῶν Σιὼν, * ἵν' ὥσπερ οἱ Θαρσεῖς * ἀπεκόμισάν ποτε * τῷ Σολομῶντι χρυσὸν * ἐν καιρῷ, ὡς γέγραπται, * ἡμῖν τὸ ξύλον σου * καθ' ἡμέραν ἀποδιδῷ καὶ φῶς καὶ καιρὸν * πλοῦτον ἀτίμητον, * τούς τε πάντας εἰσάγῃ * πάλιν εἰς τὸν παράδεισον.

« mus arborem, in sacrum mutatam trun« cum, cujus in umbra tegent se, palmiti« busque nidos inserent latrones, homicidæ, « et publicani et meretrices, ut vindemient « fructum dulcedinis, scilicet ab infrugifera « stipite; sicut enim ligno vitæ, ita cruci ob« volvuntur; qua tabella innixi et natantes, « transmeant, et quasi ad tranquillum por« tum, iterum appellunt in paradisum. »

20. — « Jura ergo, tyranne, jam nemi« nem esse a te crucifigendum. Firma tu « quoque animum, o Tartare, occidendi ne« minem; sat experti sumus, manus coercea« mus; quod sustinuimus, in posterum no« bis documento sit. Nemo nostrum deinceps « in Adami progeniem sæviat. Excisa est « enim in ligno crucis velut arca, continens « in abdito loculo margaritam inviolabilem, « quam ipse e cruce solertissimus latro fura« tus est, eam a suspenso illo diripiens, fur« toque peracto, vocatus est iterum in pa« radisum. »

21. Altissime et gloriose patrum Deus ac juvenum, nostrum in decus ultro versa est tua injuria : in tua enim cruce gloriamur omnes. Cujus clavis utinam nostras affigamus animas, eique suspendamus organa, ac tibi canamus, o Domine rerum omnium, unum e canticis Sion; ut quemadmodum olim nautæ Tharsis Salomoni attulerunt aurum in tempore, uti scriptum est, nobis quoque lignum tuum singulis diebus impertiat et lumen et opes opportunas, inæstimabiles, nosque omnes iterum ducat in paradisum.

τοῖς λόγοις C. — ὑποκάτω ἐννοσεύουσι καὶ ἐν τοῖς κλ. τ. κατεσκήνωσαν C. — Eadem fere in utroque cod. enallage. — τρυγ. καρπὸν γλυκ. C, M. — νιγχόμενοι ἐκπερῶσι δι' αὐτοῦ C, M.

20. Ὅμως οὖν duo codd. correxit vir doctus certa emendatione, neque obstet σταυρῶσαι cujus aor. post ὄμοσον classica dat exempla Lobeck l. l. p. 745. — χεῖρον γεγέννηται ἡμῖν M. — τοῦ γένους C, M. — ἐσφράγισται γὰρ τῷ σταυρῷ C, M. — ἔχων ἐν σκεύει ἀφθάρτῳ M. — ἀπεσύλησεν εὐφ. λ. om. articulo C, M. — εἰσῆλθεν πάλιν C. — Præstat conferre elegantem de crucis cistula ἔκφρασιν cum altera pariter e ferula et pharmaco petita in cant. XIV, 14.

21. ἐν τῷ γὰρ σταυρῷ M. — ἐπὶ τούτῳ C, M. — τῆς Σιὼν C, M. — ἵνα ὡς οἱ Θαρσεῖς ἀπεκόμιζον C. ἵν' ὥσπερ Θαρσεῖς ἀπεκόμισε M. — ἀποδίδωσι καθ' ἡμέραν C, M. ἡμ. καὶ καιρὸν πλοῦτον ἀτίμητον M. — καὶ φ. καὶ πλοῦτον C. — τοὺς γὰρ πάντας C, M. — Cf. III Reg. X, 22.

IX.

CANTICUM IN DOMINICA PALMARUM.

α'. Μετὰ κλάδων ὑμνήσαντες πρότερον,
μετὰ ξύλων συνέλαβον ὕστερον,
οἱ ἀγνώμονες Χριστὸν
Ἰουδαῖοι τὸν Θεόν·
ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ
ἀεὶ τιμῶντες ὡς εὐεργέτην,
βοήσωμεν αὐτῷ·
Εὐλογημένος εἶ ὁ ἐρχόμενος
τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

1. Qui cum ramis hymnos nectebant primum,
cum fustibus postmodum exceperunt
ingrati Judæi
Christum Deum :
nos vero immota in fide,
eum semper recolentes ut munificum,
clamemus ei :
« Benedictus es qui venis,
« Adamum iterum vocaturus. »

β'. Τῷ θρόνῳ ἐν οὐρανῷ,
τῷ πώλῳ ἐπὶ τῆς γῆς
ἐποχούμενος, Χριστὲ ὁ Θεός,
τῶν ἀγγέλων τὴν αἴνεσιν
καὶ τῶν παίδων τὴν ὕμνησιν
προσεδέξω, βοώντων σοι·
εὐλογημένος εἶ ὁ ἐρχόμενος
τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

2. Qui thronum in cœlo,
in terra qui pullum
sedem habes, Christe Deus,
Angelorum laudem
ac puerorum hymnum
accepisti, ad te clamantium :
« Benedictus es qui venis,
« Adamum iterum vocaturus. »

γ'. Ἐπειδὴ ᾅδην ἔδησας,
καὶ θάνατον ἐνέκρωσας,
καὶ κόσμον ἀνέστησας,
βαΐοις τὰ νήπια
ἀνευφήμουν σε,
Χριστὲ, ὡς νικητὴν,
κραυγάζοντα σοὶ σήμερον·
Ὡσαννὰ τῷ υἱῷ Δαυίδ!
οὐκέτι γὰρ, φασὶν,
σφαγήσονται βρέφη
διὰ τὸ βρέφος Μαριὰμ,

3. Infernum quoniam vinxisti,
et interemisti interitum,
mundumque erexisti,
puelli cum palmis
lætisque te vocibus canebant,
o Christe, uti victorem,
hodie clamantes tibi :
« Hosannah, filio David!
« Haud amplius enim, aiunt,
« parvuli mactabuntur,
« propter infantem Mariæ :

Canticum IX in corsin. f. 73-75 integrum est, itemque, opinor, in mosq. f. 263, sed partim in taurin. f. 167, 168. Tria ab initio troparia in triodis tam editis quam mss. servata sunt. Primum quidem in eadem die Dominica, ex palmis nuncupata, reperies post tertiam canonis oden, sub vetusta illa epigraphe ὑπακοὴ, satis notatu digna; secundum vero et tertium, post oden VI, sub solita duplici nomenclatura : κοντάκιον αὐτόμελον et ὁ οἶκος. A tertio illo texitur acrostichis, quam corsin. inseruit in epigraphen : κυριακῇ τῶν Βαΐων κοντάκιον, ἦχος πλβ', φέρον ἀκροστιχίδα· Εἰς τὰ βαΐα Ῥωμανοῦ. Sunt singulis XVI tropariis versus numero viginti, omnes vero triginta septem supra trecentos.

1. διὰ παντὸς βοήσωμεν edd.

2. καὶ τῶν ἀγγέλων taurin. — παίδων ἀνύμνησιν T. cum edd. — προσδέχου T.

3. ἔδησας, ἀθάνατε id. et edd. Ab initio rhythmus suaderet ἐπεὶ τόν. — κραυγάζοντα σοὶ, retento enclitici accentu, tum propter emphasin, tum toni ergo, cui etiam faveret σοὶ σήμερον κραυγάζοντα. — φησὶν edd. codd. — καὶ πρεσβυτῶν... μόνος σταυροῦσαι codd. et edd. contra rhythmum constan-

ἀλλ' ὑπὲρ πάντων νηπίων πρεσβυτῶν τε
σταυροῦσαι μόνος·
οὐκέτι καθ' ἡμῶν
χωρήσει τὸ ξίφος,
καὶ ἡ σὴ γὰρ πλευρὰ
νυγήσεται λόγχῃ,
ὅθεν ἀγαλλόμενοί φαμεν·
Εὐλογημένος εἶ ὁ ἐρχόμενος
τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

« sed pro omnibus puellis senibusque
« crucifigeris tu solus!
« Haud amplius contra nos
« spatiabitur gladius :
« tuum enim latus
« transfodietur lancea;
« unde lætabundi famur :
« Benedictus es qui venis,
« Adamum iterum revocaturus. »

δ'. Ἰδοὺ ὁ βασιλεὺς ἡμῶν, * ὁ πρᾶος καὶ ἡσύχιος, * τῷ πώλῳ καθήμενος, * σπουδῇ παραγίνεται, * ἐπὶ τὸ παθεῖν * καὶ τὰ πάθη τεμεῖν, * ὁ Λόγος ἐπὶ ἀλόγου, * λογικοὺς θέλων ῥύσασθαι· * καὶ ἦν ἰδεῖν ἐκεῖ * ἐν ὤμοις τοῦ πώλου * τὸν ἐπὶ θρόνου χερουβεὶμ, * τόν ποτ' Ἠλίαν ἐν ἅρματι πυρίνῳ, * ἀναλαβόντα· * πτωχεύοντα βουλῇ * τὸν πλούσιον φύσει, * καὶ γνώμῃ ἀσθενῆ * τὸν ἐνδυναμοῦντα * πάντας τοὺς κραυγάζοντας αὐτῷ· * Εὐλογημένος εἶ. . .

4. Ecce Rex noster, mitis et tranquillus, pullo insidens, cito properat ad patiendum passionesque resecandas. En Verbum sedet in jumento, mentes ut salvas faciat : hic quidem cernere erat humeris pulli vectum, qui cherubico sedet throno, qui olim Eliam igneo curru sustulit; sponte sua pauperem, qui dives est natura; ultro debilem, qui robur indit omnibus illi clamantibus : Benedictus es . . .

ε'. Σιὼν ἐσείσθη ἅπασα, * καθώς ποτε ἡ Αἴγυπτος· * ἐκεῖ μὲν τὰ ἄψυχα, * ἐνταῦθα δὲ ἔμψυχοι * ἐσαλεύθησαν, * μολόντος σου, σωτὴρ, * οὐχ ὅτι ταραχώδης εἶ, * φυτουργὸς γὰρ εἰρήνης εἶ, * ἀλλ' ὅτι ἅπασαν * ἐχθροῦ μαγγανείαν * λύεις, ὡς πάντων ποιητὴς, * τοῦτον πανταχόθεν ἀπελαύνων, ὡς παντὸς * τόπου βασιλεύων· * τὰ εἴδωλα ἐθνῶν * κατέπεσον τότε, * νῦν δὲ οἱ τὰ αὐτῶν * φρονοῦντες δονοῦνται, * τῶν βρεφῶν φωνὴν ἀκούοντες· * Εὐλογημένος . . .

5. Sion tota concussa est, sicut olim Ægyptus. Illic vero inanimata, hic autem vivæ animæ quassatæ sunt, statim ut accessisti, Salvator; non ideo sane quod tumultus auctor sis, tu enim pacis sator es; sed quod totam inimici incantationem dissolvas, quippe rerum factor omnium es, et cujuscumque regionis dominator, eum undecumque expellis. Gentium tunc idola corruerunt, nunc vero illi, qui gentiles sensus habent, ruunt, quum audiunt pueros vocem mittentes : Benedictus es . . .

ς'. Τίς ἐστιν οὗτος; ἔλεγον * οἱ γνώμῃ ἀγνοήσαντες * (φησὶ γάρ· Οὐκ ᾔδεισαν) * τίς ἦν ὁ υἱὸς Δαυὶδ, * ὁ ῥυσάμενος * αὐτοὺς

6. « Qualis est iste? » aiebant, qui ultro et consulto ignorabant (dicit enim : Nesciunt!) quis esset filius David, is ipse qui eripuit eos

tem. σταυροῦσαι præs. pro futuro, ex more melodi, pro σταυροῖ (σταυρόῃ) de qua forma recole quæ supra ad cant. VIII tropar. 9 notantur. — καὶ om. codd. et edd. καὶ γὰρ et priscis et nostro frequentissimum. Cf. infra tropar. 8 v. 4, etc.

4. ἦν θεάσασθαι τοῖς νώτοις T. — τοῖς ὤμοις C. — ἐπὶ ὤμων χερ. T. — πτωχεύει γὰρ βουλήσει ὁ πλούσιος φύσει T. — ἅπαντας τοὺς T. — αὐτῷ suppletur.

5. ποιητὴς πανταχόθεν τοὺς ἐλαύνων ὡς π. τ. κυριεύων. Qua varietate pellimur ad legendum liberius : πάντοθεν τοῦτον ἐλαύνων ὡς παντὸς ὢν δεσπότης τόπου. — αὐτῶν codd. prorsus ambiguum. — κατέπεσαν πάλαι καὶ νῦν οἱ τὰ αὐτῶν T. — ἀκούοντες φωνὴν C, φωνὰς T.

6. ἀγνοοῦντες T. — τίς ἐστιν υἱὸς C. — λύουσι Λάζαρον καὶ τίς ἤγειρεν οὐκ οἴδασι T. — καὶ οὐκ οἴδασι

ἐκ τῆς φθορᾶς. * Ἀκμὴν Λάζαρον λύουσι, * οὐκ εἰδότες τίς ἤγειρεν· * ἀκμὴν δὲ πάσχουσι * τοὺς ὤμους οἱ τότε * βαστάσαντες χερσὶν αὐτὸν, * δῆθεν ἠγνόουν τίς ἐστιν ὁ ἁρπάσας * αὐτὸν θανάτου. * Ἰαείρου τὴν αὐλὴν * οὐδέπω ἐξῆλθε, * καὶ τίς ὁ τὴν αὐτοῦ * ζωώσας, ἀρνοῦνται. * Οἴδασιν, οὐ θέλουσιν εἰπεῖν· * Εὐλογημένος...

ζ΄. Ἀγνωμονοῦντες ἄνομοι * τὴν ἄγνοιαν ἐπλάσαντο, * καὶ δῆθεν οὐκ ᾔδεισαν, * ὃν κτεῖναι ἐβούλοντο· * οὐκ ἠπίσταντο * οἱ τοῦ ψεύδους υἱοὶ * οὐ ξένα ἅπερ λέγουσι· * τὰ γὰρ πρῶτα καινίζουσι· * Μωσῆς ἐξαγαγὼν * αὐτοὺς ἐξ Αἰγύπτου * εὐθὺς ἠρνήθη ὑπ' αὐτῶν· * καὶ Χριστὸς, σώσας αὐτοὺς ἐκ τοῦ θανάτου, * νῦν ἠγνοήθη· * ἠγνόησαν Μωσῆν * οἱ γνόντες τὸν μόσχον· * ἠρνήσαντο αὐτὸν * οἱ φίλοι Βελίαρ· * τότε μέν· τί; νῦν δέ· τίς, φασὶν, * εὐλογημένος...

η΄. Βαΐοις βρέφη ὕμνουν σε, * υἱὸν Δαυὶδ καλοῦντές σε· * εἰκότως, ὦ δέσποτα! * καὶ σὺ γὰρ ἀπέκτεινας * τὸν ὀνειδιστὴν, * νοητὸν Γολιάθ· * ἐκεῖνον αἱ χορεύουσαι * μετὰ νίκην εὐφήμησαν· * Ἐπάταξε Σαοὺλ * ἐν ταῖς χιλιάσι, * ἐν μυριάσι δὲ Δαυίδ. * Ὅ ἐστι νόμος καὶ μετ' αὐτὸν ἡ χάρις * σοῦ, Ἰησοῦ μου. * Ὁ νόμος οὖν Σαοὺλ * φθονῶν καὶ διώκων, Δαυὶδ δὲ διωχθεὶς * τὴν χάριν λαμβάνει, * οὗ υἱὸς εἶ σὺ καὶ Κύριος * εὐλογημένος...

θ΄. Ἅρμα φωτὸς ὁ ἥλιος, * καὶ οὗτός σοι δεδούλωται· * φαιδρὸς μὲν εἰς ὄχημα, * ἀλλ'

a putredine. Modo Lazarum solvunt, non videntes quis eum erexerit. Modo humeris dolent qui ipsum ferebant suis manibus : attamen non noverunt quis eum a morte abstulerit. Jaïri vestibulum nondum transiit : quis ejus natam fecerit redivivam, negant. Immo sciunt, at dicere nolunt : Benedictus es...

7. Ingrati animi et scelesti, inscitiam fingebant, scilicet eum nescierunt, quem occidere volebant. Ignorabant filii mendacii haud insolita esse quæ effutiunt, prisca enim innovant. Moyses quum eos eduxisset ab Ægypto, cito ab ipsis repudiatus est, et Christus, qui a morte salvos fecit, eis nunc ignotus est. Nescierunt Moysem, qui noverunt vitulum. Ipsum Christum filii Belial negabant. « Quid « hoc? » aiebant tunc ; nunc vero : « Quis est « benedictus qui venit... »

8. Te cum palmis pueri celebrarunt, te filium David nuncupantes. Et sane, o Domine! Tu enim occidisti contumeliosum spiritualem Goliath. Davidi post victoriam chori puellarum succinebant : « Percussit Saul in « millibus; sed in decem millibus David. » Hoc est lex, et post legem gratia tua, mi Jesu. Lex est Saul, Davidem æmulans ac persequens; gratiam autem refert David, persecutionem passus, cujus tu filius ac Dominus benedictus es...

9. Currus luminis sol, idemque tuus servus est ; rutilum quidem vehiculum, tuis ta-

C. — βαστ. χεῖρες αὐτῶν καὶ δῆθεν C. χεῖρας υἱὸν κ. ὁ. — δῆθεν ironice, ut in fr. 75 v. 3. — τὴν αὐλὴν recte, ut veteres sæpe, haud obstante ἐξῆλθον T. — Ἰαείρου synizesi contrahitur. — οἶδαν ἀλλ' οὐ C. cf. VIII, 10. — Supra ᾔδεισαν respicit Luc. XXIII, 34.

7. δῆθεν οὐκ ἠγνόησαν ὃν κτεῖναι ἐσκέπτοντο T. — οὐ ξένον T. — εὐθὺς omisso, ἐλοιδορήθη T. — ὁ σώσας codd. om. τοῦ. — ἠρνήσαντο Χριστὸν T, idem est emphatice αὐτὸν τότε μέν· τί γέγονε, νῦν δέ· τίς ἐστιν, ἔλεγον C. Notarium deterruit poetæ impetus, qui frigida non dixit τί γέγονε, neque τίς ἐστιν, sed uno ictu, unoque apice hæc collegit : Matth. XXI, 10 : ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα· τίς ἐστιν οὗτος; etc. Exod. XVI, 15 : ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν ἕτερος τῷ ἑτέρῳ· τί ἐστι τοῦτο; — ac totum hoc, licet subtilia venetur, expunxit T, statim post βελίαρ subdens : ὅθεν οὐκ ἠθέλησαν βοᾶν· εὐλ.

8. τὸν νοητὸν codd. — μετὰ νίκης vid. — ἀπέκτεινε Σαοὺλ T. — καὶ μυριάσιν ἐν δ. rara præpositionis trajectione, quæ sepe rhythmo faveret καὶ μ. ὁ Δαυὶδ T. — νόμος τὴν Σαοὺλ sic T. — χάριν βλαστάνει T. σὺ γὰρ υἱὸς εἶ C. — σὺ γὰρ εἶ ὁ κύριος Δαυὶδ T.

9. οὐ δεδουλ. et iterum καὶ οὗτος pro ἀλλ' ὅμως T. — καὶ πῶλος C. T. — πλάστου καὶ θεοῦ T. — σε νῦν — προσκυνῶν T. — φάτνῃ ἐν τοῖς σπαργάνοις εἰλήθης

ὅμως ὑπόκειται * τῇ κελεύσει σου, * ὡς πλάστῃ καὶ Θεῷ. * ἐπεί σε πῶλος ἔτερψε, * προσκυνῶ σου τὸ εὔσπλαγχνον· * ποτὲ γὰρ δι' ἐμὲ * ἐτέθης ἐν φάτνῃ, * τῇ τῶν ἀλόγων, * ὦ σωτήρ· * καὶ νῦν τῷ πώλῳ ἐπέβης, τὸν οὐρανὸν * θρόνον κεκτημένος· * Οἱ ἄγγελοι ἐκεῖ * τὴν φάτνην ἐκύκλουν, * ἐνταῦθα μαθηταὶ * τὸν πῶλον συνῆγον· * τότε δόξαν, καὶ νῦν ἤκουσας· * Εὐλογημένος εἶ...

ι'. Ἰσχὺν τὴν σὴν ἐνδείκνυσαι, * τὰ εὐτελῆ αἱρούμενος, * πτωχείας γὰρ εἶδος ἦν, * ἐν πώλῳ καθίζεσθαι· * ἀλλ' ὡς ἔνδοξος, * σαλεύεις τὴν Σιών· * εὐτέλειαν ἐσήμαινε * μαθητῶν τὰ ἱμάτια· * ἀλλ' ἦν σοι ἔνδοξος * ὁ ὕμνος τῶν παίδων * καὶ ἡ τοῦ ὄχλου συνδρομή, * ὡσαννά, ὅ ἐστι· σῶσον δή, κραζόντων, * ὁ ἐν ὑψίστοις, * σῶσον ὁ ὑψηλὸς * τοὺς ταπεινωθέντας· * ἐλέησον ἡμᾶς, * τοῖς κλάδοις προσέχων· * βλέψον εἰς τοὺς πρὸς σὲ κράζοντας· * Εὐλογημένος...

ια'. Ἀδὰμ ἡμῖν ἐποίησε * τὸ χρέος ὃ ὀφείλομεν, * φαγὼν ὃ οὐκ ὤφειλε, * καὶ μέχρι τῆς σήμερον * ἀπαιτούμεθα * ἀντ' αὐτοῦ οἱ αὐτοῦ· * οὐκ ἤρκησε τῷ χρήσαντι * ἀπαιτεῖν τὸ χρησάμενον, * ἀλλὰ καὶ τοῖς αὐτοῦ * ἐφίσταται τέκνοις, * πατρῷον χρέος ἀπαιτῶν, * καὶ ἐκκενοῖ τὸν οἶκον τοῦ ὀφείλοντος * πᾶν ἀποδοῦναι· * διὸ ὡς δυνατὸν * προσείπωμεν πάντες· * Εἰδὼς ὅτι ἡμεῖς * πτωχεύομεν σφόδρα, * σὺ αὐτός, σωτήρ, ἀπόδος, ὡς * εὐλογημένος εἶ...

ιβ'. Ῥύσασθαι πάντας ἤλυθες, * καὶ μάρτυς ὁ προφήτης σου, * ὁ οὕτω κηρύξας σε

men jussibus obvium, cuius quippe opifex ac Deus es. At quum tibi pullus placuerit, tuam adoro misericordiam; mei enim gratia olim in præsepe jumentorum jacuisti, o Salvator; nunc vero pullum ascendisti, qui cœlum pro solio possides; tunc præsepe angeli circumdabant, hic discipuli pullum conducebant; tunc gloriæ canticum audiisti, et nunc : Benedictus es...

10. Virtutem tuam demonstras, vilia eligens præ cæteris. Paupertatem enim significat, in pullo sedere; ipsa vero gloria tua commoves Sion. Ignobilitatem notant discipulorum pallia; at tuum decus erat hymnus puerorum ac turbæ concursus, clamantium : « Hosanna, id est, certa salus esto, qui habitas in excelsis; salva, Altissime, humiliatos. Miserere nostri, supplicibus ramis attendens; intuere nos ad te clamantes: « Benedictus es...

11. « Nobis Adam creavit debitum, quo premimur, comedens quod non debuit; et usque ad diem hodiernam debitores pro eo sumus, qui ab eo nascimur. Nec satis erat creditori exigere mutuum ab illo; sed ejusdem sobolem urget, paternum exigens debitum, et debentis etiam domum vacuefacit, donec omnia restituat. Unde pro viribus omnes una voce dicamus : Te non latet nos valde pauperes esse; tu ipse, Salvator, exsolve, quia benedictus es...

12. « Omnes ad liberandum tu venisti, testisque tuus est propheta Zacharias, te

καὶ νυνὶ T. — ὁ οὐρανὸν T. Pro κεκτημένος f. κτώμενος scripserit poeta metro indulgens et seriorum consuetudini, quum tamen hic non κτᾶσθαι *comparare sibi*, sed κεκτῆσθαι *possidere*, potius requiratur. Immo legendum censeo : καὶ νῦν τῷ πώλῳ ἐπέβης, κεκτημένος θρόνον τὸν πόλον. Oblectare se vatem huiuscemodi paranomasiis, satis iam superque expertum est. — πῶλον συνεῖχον codd. — δόξαν τότε T. — ἤκουσε καὶ νῦν C, T. Cæterum cf. trop. X cantici sequentis.

10. ἐδείκνυες T. — καθήσεσθαι C. T. Σιών. Matth. XXI, 10. — ἐσήμανε T. — ἦν τοῦ κράτους σου T.— Transp. C. T. κραζόντων post ὡσαννά. — ἐν τοῖς ὑψ. T. προσέχων, κλῶνες οἱ δονούμενοι κινήσουσιν τὰ σπλάγχνα σου· εὐλ. T. Cf. VIII tr. 17 not. — κράζοντας πρὸς σὲ C.

11. χρήσαντι ἔχειν τὸν χρεωστήσαντα T. — καὶ τοῖς τούτου C, T. — οἶκον ἁπλῶς τοῦ ὀφειλετοῦ πάντας ἐκσύρων διὸ T.— πάντως ἀποδ. διὸ ὡς δυνατῷ C.— προσφεύγωμεν π. T. — αὐτός, ὡς πλούσιος T, cujus præceps librarius, sex trop. omissis, saltum fecit ad ultimum. — ἀπόδος ἃ ὀφείλομεν C.

12. ἐλήλυθας C, iterum ut in Cant. 1, 4 v. 4, sed bis contra metrum et tonum; nec cogitan-

* πραότατον, δίκαιόν * τε καὶ σώζοντα * Ζαχαρίας ποτέ· * ἐκάμομεν, ἡττήθημεν, * πανταχόθεν ἐθλίβημεν· * τὸν νόμον λυτρωτὴν * ἐδόξαμεν ἔχειν, * καὶ κατεδούλωσεν ἡμᾶς· * τοὺς προφήτας δ' αὖ, καὶ οὗτοι ἐπ' ἐλπίδι * ἡμᾶς ἀφῆκαν· * διὸ μετὰ βρεφῶν * σοι γονυπετοῦμεν, * ἐλέησον ἡμᾶς, * τοῖς κλάδοις προσέχων· * θέλησον, σταυρώθητι, * καὶ σχίσον τὸ χειρόγραφον· * εὐλογημένος...

ιγ'. Ὦ πλάσμα τῆς παλάμης μου, * ὁ πλάστης ἀπεκρίνατο * τοῖς ταῦτα κραυγάζουσιν, * εἰδὼς ὡς οὐκ ἴσχυσε * νόμος σῶσαί σε, * ἐλήλυθα ἐγώ· * οὐκ ἐν τῷ νόμῳ γέγραπται, * ἐπειδήπερ οὐκ ἴσχυεν· * ἀλλ' οὔτε προφητῶν, * καθότι καὶ οὗτοι, * τὸ πλάσμα μου ὥσπερ καὶ σύ· * ἐμὸν δὲ τοῦτο, τὸ λῦσαί σε τοῦ χρέους * τοῦ βαρυτάτου· * πωλοῦμαι ὑπὲρ σοῦ, * καὶ ἐλευθερῶ σε, * σταυροῦμαι ἀντὶ σοῦ, * καὶ σὺ οὐ νεκροῦσαι, * θνήσκω καὶ διδάσκω σε βοᾶν· * εὐλογημένος...

ιδ'. Μὴ γὰρ ἀγγέλους ἔστερξα, * σὲ τὸν πτωχὸν ἐφίλησα, * τὴν δόξαν μου ἔκρυψα, * καὶ πένης ὁ πλούσιος * φαίνομαι ἑκών· * πολὺ γάρ σε ποθῶν * ἐπείνασα, ἐδίψησα * διὰ σέ, καὶ ἐμόχθησα· * ἐν ὄρεσι, κρημνοῖς * καὶ νάπαις διῆλθον, * σὲ τὸν πλανώμενον ζητῶν * ἀμνὸν, ἐγενόμην (ὅπως τῇ φωνῇ μου * σὲ θέλξας ἄξω) * ποιμὴν, καὶ διὰ σὲ, * ψυχὴν θέλω θεῖναι, * ἵνα σε τῆς χειρὸς * τοῦ λύκου ἁρπάσω, * πάντα πάσχω, θέλων σε βοᾶν· * εὐλογημένος...

ιε. Ἀλλὰ μετὰ τὰ ῥήματα, * ἐνδείκνυται τὰ πράγματα· * τὴν πόλιν γὰρ ἔφθασε, * καὶ πάντας ἠρέθισε * τοὺς ἐχθροὺς αὐτοῦ * ὁ

« quondam prænuntians futurum esse mitissimum, iustum et salvatorem. Laboravimus, oppressi fuimus, undequaque iactati sumus. Lex nobis vindex libertatis visa est, et nos servos fecit. A prophetis idem expectabatur, nos porro sub spe reliquerunt. Idcirco cum pueris ante te genua flectimus. Misericors esto, supplicibus attendens ramis, sponte velis crucifigi, ac rumpe chirographum. Benedictus es... »

13. — « O figmentum manus meæ, respondit opifex talia clamantibus, videns quomodo lex te salvare non valeret, adveni ego. Neque salus in lege scripta erat, quippe quæ id non valuit; neque in prophetis, ipsi enim opus meum erant, sicut tu. Meum vero idipsum est, solvere te a debito gravissimo. Venumdabor pro te, et liberabo te. Crucifigar pro te, tu vero non occideris. Morior, et doceo te clamare : Benedictus es... »

14. « Angelos quidem non ita dilexi, qui te egenum adamavi, et gloriam meam abscondi, et pauper sponte apparui, quum essem dives; tui enim multo amore esurivi; sitivi propter te, et laboravi. Per invios montes, perque valles abii, te erroneam quæritans ovem. Ego, ut te voce mea deliniens adducerem, factus sum pastor, etiam pro te animam volo ponere, ut te de manu lupi eruam; omnia sustineo, quum aveam ut exclames : Benedictus es... »

15. Verum post verba, opera ostendit. Civitatem namque quum ingressus esset, omnes inimicos suos incendit puerorum canticum.

dum ἤλυθα, quod ignotum est, dum teritur ἤλυθον, pro attico ἦλθον. — σώζοντά σε C. cf. Zachar. IX, 9; ps. LXXXV, 5; Joel II, 13. ἐξεθλίβημεν C. τὰς δὲ πάλιν C. — θέλησον. Impedito metro, integro versu abundante, sententiaque monemur aliquid esse mutandum, ac fortasse in hunc modum : προσέχων σχίσον τὸ χειρόγραφον, ἐπεὶ εὐλογημένος, « dele chirographum, » respectu ad egregium locum Colossens. II, 14. — οὗτοι πλάσμα ἐμὸν C. — τοῦτο πέλει τοῦ λῦσαι C

13. νεκροῦσαι. Cf. quæ supra in troparii 3 not.

14. μὴ γὰρ, sic iubet acrostichis, at melius : οὐ γάρ, nisi μὴ sit interrogantis : num dilexi..? De quo discrimine cf. Winer p. 453. — ἑκὼν φαίνομαι C. — ἐπείνασα. Sic sacri script. pro att. ἐπείνησα. — ἀμνὸς ἐγεν. C. pro rhythmo καὶ γέγονα. — ἵν' ὅπως C.

15. ἐνδείκνυσθαι vim act. habet sæpissime apud vett. constanter in sacris libris. — τῶν παίδων

ὕμνος τῶν βρεφῶν· * ἐπάρας δὲ τὰ ὄμματα, * τῇ Σιὼν ἐνητένισε, * καὶ θρῆνον κατ' αὐτῆς * ὑφάνας ἐβόα· * Στέναξον, Ἱερουσαλήμ, * εὗρες γὰρ παῖδας πατέρων διδασκάλους, * καὶ τοὺς υἱούς σου * νεάζεις τῷ κακῷ * καὶ τῇ πονηρίᾳ, * καὶ πρὸς τὸ ἀγαθὸν * οὐ γῆρας θαῤῥύνεις· * κρείττους σου οἱ κράζοντες ἐμοί· * Εὐλογημένος εἶ...

ιϛ'. Νῦν δὲ ἐν σοὶ ἐλεύσομαι, * καὶ ῥίψας σε ἀπώσομαι, * οὐχ ὅτι ἐμίσησα, * ἀλλ' ὅτι μισοῦσάν σε * νῦν κατέλαβον * ἐμὲ καὶ τοὺς ἐμούς· * μοὶ σταυρὸν ἐπαγγέλλονται * ἀντὶ τίνος τὰ τέκνα σου; * ἀνθ' ὧν τὴν θάλασσαν * τότ' ἔῤῥηξα ῥάβδῳ; * πρὸ τούτων λατομῶσί μοι * τάφον, ἀνθ' ὧν τὴν παρέσχον σκέπην νέφους; * καὶ χαίρω, ὅτι * δι' αὐτοὺς ἦλθον * καὶ τὸ παθεῖν στέργω * τὸν πεσόντα ποθῶν, * ἵνα οἱ ποθοῦντες * φῶσι καὶ κραυγάζωσιν ἐμοί· * Εὐλογημένος...

ιζ'. Οὕτω τὴν νωθροκάρδιον * ὁ βλέπων τὰ ἐγκάρδια * ἐλέγξας, εἰσέρχεται * σὺν πᾶσι τοῖς βρέφεσιν * ἐν τῷ ἱερῷ, * ὡς ὢν ἀρχιερεύς· * ἐν οἴκῳ τοῦ Πατρὸς αὐτοῦ * ὁ υἱὸς παρεγένετο, * καὶ ἔξω ἔβαλεν * ὁμοῦ τοὺς πωλοῦντας * καὶ ἀγοράζοντας, εἰπών· * Μηδὲν μένῃ ἔνθα, μεταβαίνομεν γὰρ * ἐντεῦθεν ἐγὼ * καὶ ὁ Πατὴρ ἐμοῦ, * καὶ τόπους σκηνάς τε * εὐτρεπισόμεθα *, τοῖς εὐσεβεῖ πόθῳ * καὶ πίστει βεβαίᾳ κράζουσιν· * Εὐλογημένος...

ιη'. Υἱὲ Θεοῦ, πανάγιε, * μετὰ τῶν ὑμνησάντων σε * ἡμᾶς συναρίθμησον, * καὶ δέξαι τὴν δέησιν * τῶν σου ἱκετῶν, * ὡς τῶν παίδων ποτέ· * ἐλέησον οὓς ἔπλασας, * οὓς φιλῶν ἀπεδήμησας· * εἰρήνην δώρησαι * ταῖς σαῖς ἐκκλησίαις, * σαλευομέναις ὑπ' ἐχθρῶν· * καὶ ἐμοὶ τὴν λύσιν κατάπεμψον, σωτήρ,

Oculos vero sursum ferens, mentem in Sion intendit, ac lamentum super ea texens, in hæc erupit : « Ingemisce, Hierusalem, quæ « pueros invenisti patribus sapientiores, et fi« lios tuos malo et nequitiæ assuefacis a te« neris, neque etiam senium ad meliora inci« tas. Præstant tibi, qui mihi clamant : Be« nedictus es... »

16. « Nunc in te ingrediar, et te proiiciens, « procul te mittam, non ideo quod te oderim, « sed quia odium te in me et meos habentem « deprehendi. Crucem mihi quamobrem mi« nantur filiij tui? An propterea quod mare « disrupi virga? Excidunt mihi sepulchrum; « an propterea quod ipsis præstiti nebulæ « umbraculum? Sed lætor; ob illos enim veni, « et pati cupio, et lapsum anhelo erigere, ut « qui me diligunt, dicant, mihique clament : « Benedictus es... »

17. Sic urbem corde gravem redarguens, qui pectora introspicit, abiit cum omnibus pueris in templum, cuius summus est pontifex; in domum Patris sui Filius accessit, et foras eiecit simul vendentes et ementes, dicens : « Nihil maneat illic, unde ego et Pa« ter meus migramus, et loca et taberna« cula præparabimus aliis, in alacri pietate et « firma fide hymnos mihi vociferantibus : Be« nedictus es... »

18. Dei sanctissime Fili, in choro te celebrantium connumera nos, ac suscipe vota tuorum supplicum, ut olim puerorum. Miserere eorum quos plasmasti, quorum amore peregrinatus es. Da pacem tuis ecclesiis, hostium impetu concussis. Et mihi, salvator, veniam largire peccatorum meorum; tribue

cod. — ὅτι εὗρες παῖδας C. — τὸ γῆρας θαῤῥύνεις C.

16. σταυρόν μοι ἐπαγγέλλονται C. in quo a v. 10 rhythmus multum turbatur : θάλασσαν | ἔῤῥηξα ῥάβδῳ | πρὸ αὐτῶν, λατομῶσί μοι | τάφον; ἀνθ' ὧν αὐτοῖς πάρ. σχ. νεφέλης | καὶ χαίρω, ἐπειδὴ | χάριν αὐτῶν ἦλθον | καὶ στέργω τοῦ παθεῖν | ποθῶν τὸν πεσόντα | ἵνα οἱ ποθοῦντές με φασίν· | εὐλ. Quantumvis cassum et quassatum sit troparium, vulnera omnem non fœdavere venustatem, uti et καὶ pro ἀλλὰ jam notatum, et αὐτῶν, ἀνθ' ὧν quod rursus infra in Cant. XVI, 9 albo calculo signabitur.

17. μηδὲν μενήτω ἐνταῦθα C. — καὶ σκηνὰς εὐτρεπίσωμεν πᾶσι τοῖς πόθῳ εὐσεβεῖ C. — ὑμνοῦσι καὶ κραυγάζουσιν ἐμοὶ C.

18. Utinam citius nobis redierit taurin. quocum ἱκετῶν. — οἰκετῶν C. — τὴν λύσιν κατάπεμψον, σῶτερ, τῶν ἁμαρτιῶν μου C. — ὁ θεός μου C. ἃ θέλεις

* ἁμαρτιῶν μου· * παράσχου μοι λαλεῖν * ἃ θέλεις, Θεός μου· * μὴ νωθρόν μου τὸν νοῦν * ἡ λύπη ποιήσῃ· * δεῖξόν με καλλίκαρπον, ἐπεὶ * εὐλογημένος εἶ ὁ ἐρχόμενος * τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

mihi dicere quod amas, Deus meus! Ignavam ne mentem meam mœror efficiat, fac me uberes edere fructus, quia benedictus es, qui venisti ad revocandum Adamum.

ὡς θέλεις T. — καλλίκαρπον ὅτι εὐλ. C. καλλίεργον βοᾶν εὐλ. T, arguta semper et exquisita sectatus.

X.

CANTICUM DE CASTO JOSEPHO.

α'. Οἱ τὸ στάδιον τῶν νηστειῶν
πανσόφως διανύσαντες,
καὶ τὴν ἔναρξιν τοῦ πάθους τοῦ Κυρίου
ἐν πόθῳ ποιούμενοι,
δεῦτε, πάντες ἀδελφοί,
τὴν τοῦ σώφρονος ἁγίαν
Ἰωσὴφ σπουδὴν ζηλώσωμεν·
τῆς δὲ συκῆς τὴν ἀκαρπίαν φοβηθέντες,
τῶν παθῶν ξηράνωμεν
δι' ἐλεημοσύνης τὴν ἡδύτητα,
ἵνα καὶ τὴν ἔγερσιν
ἐνθύμως προφθάσαντες,
ὡς μύρα κομισώμεθα
ἐξ ὕψους τὴν συγχώρησιν,
ὅτι πάντα ἐφορᾷ
τὸ ἀκοίμητον ὄμμα.

1. Vos stadium ieiuniorum
sapientissime emensi,
et exordium doloribus Domini
cum amore facientes,
adeste, cuncti fratres,
sacram casti Josephi
æmulemur diligentiam;
fici autem sterilitatem expav"entes,
eleemosynis arefaciamus
voluptatum illecebras,
ut ad resurrectionem
prompto animo properantes,
unguentorum veluti copiam, compare- mus]
ab alto placationem,
quoniam intuetur omnia
nunquam dormitans oculus.

Decimum S. Romani carmen fortasse videbitur tam rerum quam metri insolentia extra chorum cantari. Quorsum enim procacis mulierculæ lenocinia, inter ipsa sanctioris hebdomadis piacula? Vide ergo quæ alias fuse diximus de huiusmodi scenicis sacris ludis, de longo christianæ plebis otio per hos XV dies, de catechumenorum ac pœnitentium agminibus et pompa, ab itinere sacro palmarum ad albas vestes depositas, de singulari cuiusque diei apparatu, de Iosephi constante memoria in feria II magna, de multis demum huiusmodi poematibus, quorum hic nudam explanare scripturam satis erit. Unus cod. corsin. f. 78-80 nobis poema servavit, hoc titulo ornatum: τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ, κοντάκιον εἰς τὸν σώφρονα Ἰωσήφ, ἦχ. πλδ', χαίρετε· ἀκροστιχίς· εἰς τὸν σώφρονα Ἰωσὴφ Ῥωμανοῦ. Duplex procemium nihil aliud cum sequentibus commune habet quam ἐφύμνια. Triplex hirmus ab antiquis derivatur canticis, quorum vestigia, præter nudam hic asservatam epigraphen, nullibi comparent. Posterior, omnium quos noverim hactenus, amplissimus est, tamque numero, impetu et varietate metrorum quam quodam antithetico æstu, cæteris audacius luxuriatur. Quumque in procemiis versus 20 sint, ac non pauciores quam 30 in cæteris XVIII tropariis, summa omnium est versuum 640.

1. ἔναρξις. Tam aperte vox in codice legitur, quam inaudita est classicorum lexicis. Sub modulo χαίρετε tr. videtur esse.

Πρὸς τό· Οὐ παυόμεθα.

β'. Τοὺς τὸ πάθος σου πεφθακότας
καὶ τὴν ἔγερσιν,
προσκυνῆσαι ἀξίωσον, σωτήρ,
τὸ ἀκοίμητον ὄμμα.

Sub modulo : *Non cessamus.*

2. Nos qui præoccupavimus passionem tuam
et resurrectionem,
concede ut adoremus, salvator,
oculum semper vigilantem.

Πρὸς τό· Ἄγγελος ....

γ'. Ἔχοντες βασιλέα,
οὐρανῶν βασιλείαν
διδόντα τοῖς αὐτοῦ στρατιώταις,
ἐνδυσώμεθα τὴν ἀρετήν,
πανοπλίαν οὖσαν
τῶν ψυχῶν ἄτρεπτον·
ἵνα καὶ πολεμήσωμεν
ἐν ταύτῃ ἐχθρὰν ἁμαρτίαν·
τίνα οὖν τὴν ἀρετὴν νοοῦμεν;
φιλοσοφίαν ὁρῶμεν ταύτην·
τέχνη γάρ ἐστι τῶν τεχνῶν, ὡς ἀκούομεν,
τῶν ἐπιστημῶν ἐπιστήμη τυγχάνουσα·
δι' αὐτῆς, ὡς διὰ κλίμακος,
χειραγωγεῖται ψυχή,
καὶ πρὸς ὕψος ἀναφέρεται
τῆς οὐρανίου ζωῆς·
φρόνησιν καὶ ἀνδρείαν
τοὺς ἀνθρώπους διδάσκει,
ἔτι δὲ σωφροσύνην,
καὶ τὴν δικαιοσύνην·
τούτοις ἡμᾶς
τοῖς ὅπλοις ταχίσωμεν,
καὶ τοῦ Χριστοῦ
τὴν χάριν αἰτήσωμεν·
δίδωσι γὰρ

Sub modulo : *Angelus ....*

3. Regem quum habeamus,
qui cœlorum regnum
dat suis militibus,
virtute induamur,
quæ armatura integra sit
animarum et inconcussa :
qua accincti bellum
peccato, infesto hosti, geramus.
Quam igitur virtutem intelligimus?
Eam ducimus esse philosophiam :
est enim ars artium, ut audivimus,
utpote quæ scientiarum scientia sit;
per eam, veluti per scalam,
manu anima ducitur,
ac fertur in fastigium
vitæ cælestis :
quid sit prudentia et fortitudo,
hominibus ostendit;
quid etiam temperantia
et iustitia.
Hisce nos
armis muniamur;
et Christi
deprecemur gratiam;
dabit enim

2. Ut primum, sic alterum troparium continuis insignitur uncialibus, uti etiam pleraque procemia, id quod alius jam fortasse notavisset.

3. Æmulatus est Noster, in hoc hirmo elegantissimo, id quod maxime Syri delectantur, heptasyllabos scilicet ab initio, et in coronide eosdem tetrasyllabis intermixtos. Hirmo præfixa est in cod. mutila epigraphe : πρὸς τό· Ἄγγελος πρω... cui obscuro compendio si suppleveris ἄγγελος πρωτοστάτης, plura inexpectata subibunt. Hoc enim initio orditur famosus Sergii acathistus; tum liquet septem priores versus nostros cum Sergii procemio adamussim conspirare, dum cætera toto cœlo distant. Quæstio surgit, utrum Sergius Romano præiverit, an Romanus Sergio. Relinquo ænigma, vel alio in loco, vel alii OEdipo solvendum. διδοῦντα cod. — ἐν τούτοις ὡς ἐχθρὸν τὴν ἁμαρτίαν, τίνα τὴν ἀρετὴν id. contra totius carminis εὐρυθμίαν. — καὶ τῶν ἐπιστημῶν cod. iterum ex sententia et lege rhythmi emendandus. — De τυγχάνουσα recole cant. VII, 19. — δικαιοσύνην. His quatuor vir-

τοῖς αὐτὸν ἀγαπῶσι
τὴν κατ' ἐχθρῶν
ἀναδήσασθαι νίκην,
ὅτι πάντα ἐφορᾷ
τὸ ἀκοίμητον ὄμμα.

diligentibus se,
hostibus profligatis,
coronari victoria,
quoniam omnia tuetur
nunquam dormitans oculus.

δ'. Ἵνα μάθωμεν πάντες * τὴν ὑπέρλαμπρον δόξαν, * ἣν ἔχει ὁ σοφὸς καὶ παρέχει, * τὴν ὑπόθεσιν τοῦ Ἰωσὴφ * ἐνεγκεῖν εἰς μέσον, * εἰ δοκεῖ, σπεύσωμεν, * καὶ βίον φιλοσώφρονα * κτησώμεθα δι' ἐγκρατείας. * Οὗτος πραθεὶς διὰ πάθους φθόνου, * δοῦλος παθῶν οὐδαμῶς εὑρέθη· * εἶχε γὰρ τὸν νοῦν ὁ σοφὸς αὐτοκράτορα, * καὶ τῶν φιλοσάρκων παθῶν κατεκράτησε· * διὰ τοῦτο οὐκ ἐσείετο * κολακείαις γυναικὸς, * ἀλλὰ ταύτης ἀπεσείετο * τὰς θωπείας ἀνδρικῶς· * ἔπεμπεν οὖν ἐκείνη * ὡς ἀνέμους τοὺς λόγους, * ἵνα τῆς σωφροσύνης * καταλύσῃ τὸν οἶκον, * καὶ ὡς βροχὴν * τὴν μέθην κατέχεε, * καὶ ποταμοὺς * χρημάτων προσέφερε· * νέος δὲ ὢν, * Ἰωσὴφ ὁ γενναῖος * ἦν ἑστηκὼς * στερεὸς ἐπὶ πέτραν, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

4. Omnes ut doceamur quam splendidum decus habeat sibi exhibeatque vir sapiens, de Iosepho, si lubet, palam argumentari ne moremur, unde vitam castitatis sollicitam per temperantiam obtineamus. Venumdatus ille per invidiam, servus vitiorum minime inventus est. Viro quippe sapienti mens fuit sui potens, ac libidinum carni faventium domina : ideoque non emolliebatur feminæ adulationibus; quin ejus fallacias amolitus est viriliter. Emisit igitur illa, veluti ventos, sua eloquia, ut castimoniæ subverteret domum; et quasi imbrem, temulentiam effudit, ao flumina protulit divitiarum. Verum juvenis licet, fortissimus stetit Josephus in petra solidus, quoniam omnia intuetur nunquam dormitans oculus.

ε'. Σῶμα μὲν ἐδουλώθη, * τὸ δὲ φρόνημα εἶχεν * ἀδούλωτον ὁ σώφρων ἐκεῖνος· * ὁ κατ' ὄναρ φανεὶς βασιλεὺς, * ὃς καθάπερ δοῦλος * ὠνητὸς γέγονεν· * ἀλλ' ὅμως καὶ κρατούμενος, * ἐκράτησε κεκρατηκότα· * ὑπὸ δεσπότου μὲν ἐτιμᾶτο, * ὑπὸ δεσποίνης δὲ ἐποθεῖτο· * ἦν μὲν ἀγαθὴ τοῦ δεσπότου ἡ εὔνοια· * ἄχρηστος δὲ λίαν ἡ ταύτης διάνοια· * ἔστεργε διὰ σεμνότητα * ὁ ἀνὴρ τὸν Ἰωσήφ· * ἔθαλπε διὰ φαυλότητα * ἡ γυνὴ τὸν εὐγενῆ· * ἔτερπε μὲν ἐκεῖνον * ἀγαθότης τοῦ τρόπου· * ἔτρωσε δὲ ἐκείνην * ὡραιότης προσώπου· * οὗτος αὐτῷ * τὸν οἶκον παρέδωκεν, * αὐτὴ αἰσχρῶς * τὸ σῶμα ἀπέδωκεν· * ὅπερ ἰδὼν * Ἰωσὴφ ἀπεστράφη, * τὴν φοβερὰν * ἐνθυ-

5. Corpore tenus serviebat, animum vero gerebat ingenuum castus adolescens; rex in somnio ostensus, idem tamquam servus venditus est. At quamvis sub potestate positus, in dominantem invaluit : ab hero quippe colebatur, a domina quoque amabatur. Bonus quidem erat heri respectus; longe autem deterrimus dominæ cogitatus. Dilexit maritus Iosephum, ob eius innocentiam; generosum adolescentem fovit mulier, ob suam nequitiam. Illi iucunda erat morum honestas; hanc faciei venustas vulneravit. Hic servo domum suam commisit; illa turpi animo corpus obtulit. Id quum sensit Iosephus, retro versus est, formidolosi memor iudicii,

tutibus ornatus vir τετράγωνος philosophis dicitur. — ἡ ψυχὴ cod. importuno art.

4. εἶχεν C. Jam resonant tinnitus ἔχει... παρέχει, in toto carmine frequentissimi. — κολακείαις parum rhythmo favet. Totus erat melodus in concentu quatuor στίχων similiter cadentium. — ἐπὶ πέτραν στερεῶς C. Cf. Matth. VII, 24-27.

5. ὃς καθάπερ, ὃς nempe pro οὗτος, passim apud nostrum et apud Homerum. Notum illud Pythagoricorum : ἦ δ' ὅς, pro ἔφη οὗτος. Apud Atticos

μούμενος κρίσιν, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ς'. Τῶν πραγμάτων τὴν τάξιν * ἡ παράνομος πρᾶξις * ἀπέστρεφε πρὸς τὸ ἐναντίον· * ὁ μὲν δοῦλος ἐκράτει παθῶν, * ὡς δεσπότης πάσης * ἡδονῆς τέλειος· * ἡ δέσποινα δὲ γέγονεν * ἀνδράποδον τῆς ἁμαρτίας. * πᾶς γὰρ ὁ πράττων τὴν ἁμαρτίαν, * δοῦλος ὑπάρχει τῆς ἁμαρτίας, * πάντα μὲν τὰ ἄλλα, ὡς ὄναρ, ἡγούμενος, * πρὸς δὲ τὸ ποθούμενον ὅλως ἑλκόμενος, * ὥσπερ ἔπαθεν ἡ δέσποινα * τοῦ δικαίου Ἰωσήφ, * πρὸς ἐκείνην τὴν ἐπέραστον * εὐμορφίαν τοῦ παιδός· * βλέπουσα γὰρ τὸν νέον * ὀφθαλμοῖς ἀκαθάρτοις, * βέλεσιν ἀκολάστοις * τὴν ψυχὴν ἐκολάσθη· * ὅσον αὐτὸς * τῷ κάλλει ἐξέλαμπε, * ταύτης ὁ νοῦς * τοσοῦτον ἐξέλειπεν· * αὕτη πυρὸς * ἡδονὴν προσετίθει, * οὗτος δὲ πῦρ * ἄσβεστον ἀντετίθει, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ζ'. Ὅλην τῆς Αἰγυπτίας * τὴν καρδίαν συνεῖχεν * ἡ τῆς ἐπιθυμίας μανία, * καὶ πλαγεῖσα κρυφίαν πληγήν, * ὑπεδέχετο μὲν * τὰ πικρὰ τραύματα, * γλυκέα δὲ ἐνόμιζε * τὰ θραύματα, ὡς μαινομένη· * δι' ὀφθαλμῶν δεχομένη βέλη * ἀπὸ τῆς σώφρονος βελοθήκης, * καὶ τιτρώσκουσα τὴν καρδίαν τὴν ἑαυτῆς, * τέρψιν ὑπενόει τὴν τρῶσιν ἡ τάλαινα· * ὁ μὲν πόθος ὁ ἀκόλαστος * ἐπολιόρκει τὸν νοῦν. * Τὸ δὲ πάθος οὐκ ἠδύνατο * φανερῶσαι τὸ αὐτῆς· * αὕτη γὰρ καὶ παρόντος * Ἰωσὴφ ὠδυνᾶτο, * πάλιν δὲ καὶ ἀπόντος * κατεφλέγετο πλέον· * λόγοις αὐτὸν * πολλοῖς ἐκολάκευε, * πεῖραν αὐτοῦ * λαβεῖν κατασπεύδουσα· * ὁ δὲ σεμνὸς * Ἰωσὴφ παρῃτεῖτο * τῆς γυναικὸς * τὴν ἀθέμιτον

quoniam omnia intuetur numquam dormitans oculus.

6. Rerum ordo nefario facinore secus vertitur : servus enim cupiditates domuit, omnis utpote libidinis egregius dominator; hera autem facta est peccati famula. Quisquis enim male agit, mali servus efficitur; cætera quidem omnia uti somnium reputans, in exoptatam voluptatem toto impetu trahitur, sicut justi Josephi domina, ob nimium delectam formosi pueri pulchritudinem. Iuvenem enim adulteris intuita oculis, telis ipsa se libidinosis, animæ infixis, verberavit. Quanta ille venustate fulgebat, tantum istius mens desipuit. Hæc voluptatis flammam iniecit; is vero ignem opposuit inextinguibilem : omnia quippe videt oculus dormire nescius.

7. Omnem Ægyptiæ animam implevit libidinis vesania; quæ abscondito confossa vulnere, plagas quidem recepit truculentas; eas tamen dulcia duxit vulnera, more insanientis; tela per oculos e casta pharetra missa colligens, in imo corde suo sauciata, delicias ulcera æstimabat infelix. Amoris enim intemperantia mentis munimenta fregit. Nondum tamen valuit palam facere quod patiebatur. Ipsa autem, dum Ioseph adesset, deperibat; aberat ne? fervebat vehementius. Multis ei colloquiis blandiebatur, omni ope enisa ut capere eum moliretur. Castus autem Josephus

tantum post καὶ, ut καὶ ὃς ἔφη. — κρατούμενος ἐκράτησε κεκρατηκότα C, ubi ludos crescere audis, quin et obstrepere : sequitur enim alterum τετράστιχον ὁμοιοτέλευτον, et alia bene multa. — ἦν δὲ ἀγαθὴ C.

6. πᾶς γάρ. Jo. VIII, 3. — πρὸς δὲ τὸ ποθούμενον, οὐδ' ὅλως ἑλκόμενος ὥσπερ C. Multum me aliosque torsit aperta codicis corruptela : inter alia suspicatur vir doctus οὐδ' ὅλως posse oriri ab οὐκ ἄλλως, ibique latere τὸ κάλλος, negatione expuncta, et comparatione post ἔπαθεν posita, ut legatur : πρὸς δὲ τὸ ποθούμενον κάλλος ἑλκόμενος, ἔπαθεν ὥσπερ.

7. τὰ τραύματα C. monente eodem cl. v. cum melodus variare soleat, tonis tamen iisdem percussis, f. scripserit θλάσματα vel potius θραύματα

πρᾶξιν, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

η'. Νυμφοστόλος μοιχείας * ὁ διάβολος ἦλθεν * ἵνα τῇ Αἰγυπτίᾳ συμπράξῃ· * Καὶ ἀνδρίζου, ὦ γύναι, φησίν· * ὡς ἀρχαῖον οὖσα * καὶ στεῤῥὸν ἄγκιστρον, * ἑτοίμασον τὸ δέλεαρ, * καὶ θήρευσον τὸν νεανίαν· * τοὺς μὲν πλοκάμους τῆς κεφαλῆς σου * πλέξον, ὡς δίκτυα, κατὰ τούτου· * τὴν δὲ τοῦ προσώπου μορφὴν κατακάλλυνον, * πᾶσι ῥοδοχρόοις κοσμοῦσα σοφίσμασι· * φαίδρυνόν σου καὶ τὸν τράχηλον * τοῖς χρυσοπλόκοις δεσμοῖς, * ἐπὶ πᾶσιν ἀμφιάσθητι * πολυτίμητον στολὴν, * μύροις ἄλειψαι πλείστοις * ἐκθηλύνουσι νέους· * πρόκεινται γὰρ ἀγῶνες * ἰσχυροὶ καὶ γενναῖοι· * οὗτος μὲν σοὶ * ἁγνείαν ἀντέστησε, * σὺ δὲ αὐτῷ * λαγνείαν ἀντίστησον, * μὴ νικηθῇς, * καὶ καταγελασθῶμεν, * λέξει γάρ σοι· * Οὐ ποιήσω ὃ θέλεις, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

θ'. Εἶδεν ἄσεμνον ὄψιν * ὁ σεμνὸς νεανίας, * καὶ μᾶλλον ἐβδελύξατο ταύτην· * ἐθεώρει μορφὴν ἱλαρὰν, * ἀλλ' ἐνόει γνώμην * δολερὰν ἔσωθεν, * σπεύσας καὶ ταύτην ἔφυγεν, * ὡς ἔχιδναν ἐγκεκρυμμένην· * ὅθεν μὴ φέρουσα ἡ ἀθλία * τὴν περιφρόνησιν τοῦ γενναίου, * πᾶσαν τὴν αἰδῶ τῆς καρδίας ἀπέῤῥιψε, * καὶ τὴν ἑαυτῆς ἀσωτείαν ἐγύμνωσε· * πρῶτον μὲν γὰρ ἐθεράπευσε * διὰ μέσης γυναικὸς, * καὶ αὐτὴ δὴ μετεπέμπετο, * καὶ ἐλάλει μετ' αὐτοῦ· * γλῶτταν εἶχεν ὀξεῖαν * ὑπὲρ μάχαιραν οὖσαν, * καὶ διὰ ἁμαρτίας * ἀναιροῦσα τὸν νέον, * τέχναις αὐτὸν * πολλαῖς ἐγοήτευεν, * ἀλλὰ τὸν νοῦν * αὐτοῦ οὐ παρέτρεψεν· * ἔλεγε γάρ· * Οὐ ποιήσω τὸ μύσος, * ἔχων ἀεὶ * πρὸς τὰ φαῦλα τὸ μῖσος, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ι'. Ὢ μανίας ἐσχάτης * γυναικὸς ἀκολά-

respuit nefarium mulieris opus, quia cernit omnia irrequietus oculus.

8. Paranymphus adulterii Diabolus accessit, operam ut cum Ægyptia conferret : « Viribus enititor, o femina, ait; tu quippe vetus et robustus hamus, illecebras para, illumque iuvenem venator. Circinnos capitis tui uti laqueos in eum necte. Fac vultus tui speciem formosiorem, et mille eum roseis adorna lenociniis. Tuum aureis quoque collum nexibus et catenis collustra; veste in primis circumcingitor pretiosissima; pluribus ungere linimentis, quæ juvenes emollire solent. Te expectant prælia valida ac fortia. Iste quidem tibi pudicitiam opposuit, tu vero illi contrapone lasciviam, ne vincaris, atque irrideamur. Sane dicet tibi : Non agam quod vis, cuncta enim videt irrequietus oculus. »

9. Vultum vidit inverecundæ verecundus adolescens, immo eum detestatus est. Festivam intuebatur speciem, sed fraudulentum intus latere consilium sensit, et ab ea citato pede aufugit, velut a delitescente vipera. Ideo generosi animi contemptum non ferens misera, omnem e corde pudorem expulit, suamque penitus vesaniam nudavit. Primum quidem socia muliere usa est; tum ipsa eum accersivit, et cum eo confabulata est, linguam nacta gladio acutiorem. Peccandi demum gratia, ut iuvenem subverteret, mille eum artibus incantavit, at mentem ejus non expugnavit. Aiebat enim ille : « Scelus non admittam, qui semper nefanda oderim, quum videat omnia, qui nunquam dormitat oculus. »

10. Proh! summa insania impudentissimæ

quod vetera lexica habent defenditque Wellauer adv. Herman. in Æschyl. Agam. 1139. — καὶ τὴν ἑαυτῆς καρδίαν τιτρώσκουσα cod.

8. ἀμφιάσθητι seriorum et τῶν ο', pro ἀμφιέσθητι. — οὗτος μὲν σοῦ C.

9. Ἴδεν cod. Emendavi statim : acrostichidi enim sæpenumero satis facere scio solam pronuntiationem. — καὶ σπεύσας ταύτην C. — καὶ διὰ τῆς ἁμαρτίας C.

10. Nota πέπρασαι μοὶ, ἵνα μοὶ, accentu bis em-

στου, * ἐπὶ τοῦ Ἰωσὴφ ἐκφλεχθείσης! * ἐπειδὴ γὰρ κατεῖδεν αὐτὸν * ταῖς αὐτῆς θωπείαις * οὐδαμῶς εἴκοντα, * μὴ πάθεσι νεότητος * ἡττώμενον, ἐβόα τούτῳ· * Δοῦλος ἐμὸς ὠνητὸς ὑπάρχεις, * πέπρασαι μοὶ, ἵνα μοὶ δουλεύῃς· * ὅλου σε δεσπότην τοῦ οἴκου πεποίηκα, * γενοῦ δὲ κἀμοῦ τῆς κυρίας σου κύριος· * οὐ λογίζομαι ὑβρίζεσθαι, * καταβαίνουσα πρὸς σέ· * δεσποτείας καὶ δουλείας γὰρ * οὐκ ἔστι διαφορὰ, * ἕνα πάντων πατέρα * τὸν Ἀδὰμ ἐδιδάχθην, * μίαν πάντων μητέρα * τὴν ἀρχέγονον Εὔαν· * πάντες ἐσμὲν * ἀλλήλων ὁμότιμοι, * ὡς τῆς αὐτῆς * μετέχοντες φύσεως· * μὴ φοβηθῇς * ὡς ἀθέμιτα πράττων, * μηδὲ πεισθῇς * τοῖς λαλοῦσί σοι ταῦτα, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ια΄. Σοῦ τοὺς τρόπους ὁρῶσα * κοσμουμένους ἐν πᾶσι, * τῶν ἄλλων προτιμῶ σε συνδούλων· * ἐν τοῖς ὄμμασι γὰρ τὴν αἰδῶ * καὶ τοῖς χείλεσί σου, * ὡς ποθῶ, κέκτησαι, * καὶ πᾶσαν ἔχεις αἴσθησιν * εὐσχήμονα, καθάπερ θέλω· * δεῦρο, ἐπάκουσον τῆς φωνῆς μου, * ἵνα σοι δείξω τὴν πρόθεσίν μου, * πλείστων γὰρ καλῶν σε ἐμπλήσω πεισθέντα μοι, * καὶ δωροδοκίαις πλουσίαις ἀμείψομαι· * σὲ γὰρ πλεῖον παραθήσομαι * τῷ συμβίῳ τῷ ἐμῷ, * καὶ γενέσθαι σε ἐλεύθερον * κατασπεύσω παρ' αὐτοῦ· * δοῦλος γὰρ οὐ κληθήσῃ, * συγκαθεύδων δεσποίνῃ· * ἐὰν δὲ μὴ πεισθῇς μοι, * κινδυνεύσεις δικαίως, * σὲ γὰρ πικροῖς * δεσμοῖς παραδίδωμι, * τοῖς ὑπ' ἐμοὶ * οἰκέταις, ὦ φίλτατε! * μὴ οὖν σαυτὸν * ἀδικῆσαι θελήσῃς, * οὐ γάρ ἐστιν * ἀληθὲς, ὡς νομίζεις, ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιβ΄. Ἡ γυνὴ μὲν τοιαῦτα· * ἀλλ' οὐκ ἴσχυσεν ὅλως * σαλεῦσαι τὸν ἀσάλευτον πύρ-

phatico, dum in fine tonus jubet legere λαλοῦσι σοί, etsi aliter de more signetur. — μοὶ καὶ δουλεύεις C. — τοῦ οἴκου μου C. — πατέρα, scilicet εἶναι : qua rarissima ellipsi cum verbis διδάσκειν, παιδεύειν, μανθάνειν aliquando Noster utitur ut in hoc loco et infra in cant. XIII, trop. 24. Cf. Bernhardy *Gr. Synt.* p. 330 et seqq. — f. μὴ πτοηθῇς, consonante infra πεισθῇς et trop. 17 fin.

mulieris, Iosephum exardescentis! Ubi enim intellexit eum nullis ipsius blanditiis obsequi, nullis devictum illecebris juvenum, tandem exclamavit : « Servus meus es, iure emptus. « Mihi venumdatus fuisti, mihi ut servias. Te « præfectum universæ domus feci : esto etiam « mei dominæ tuæ dominus. Haud opinor « contumeliosum esse mihi, quæ ad te descen- « derim. Dominos enim inter et servos nul- « lum discrimen est. Unum omnibus esse pa- « trem Adamum didici, unam omnium ma- « trem Evam, generis caput. Omnes sumus « honore invicem æquales, eidem qui naturæ « participamus. Ne verearis, ac si lex tibi « violanda sit; noli credere tibi hæc effutien- « tibus : Cuncta videt irrequietus oculus. »

11. « Mores tuos quum viderim omni de- « core ornatos, te præ cæteris conservis ho- « nestavi, vultu enim tuo tuisque labiis pudo- « rem, qualem amo, possides; omnemque « præ te fers honestæ mentis indolem, quam « malui. Huc veni, vocem exaudi meam, ut « meum tibi consilium ostendam. Ampliore « enim opum copia cumulabo te, mihi si ob- « temperaveris, muneribusque locupletissimis « rependam assensum. Etenim magis te con- « sorti meo commendabo, et ab eo ut liber « fias, cito satagam. Servus enim iam non vo- « caberis, qui cum domina dormieris. Nisi « autem persuasus fueris, merito periclitabere. « Te namque duris vinculis tradam per meos « famulos, o dulcissime! Noli ergo tibi iniu- « riam facere; falsum est quod opinaris, de- « spici cuncta ab oculo claudi nescio. »

12. Hæc mulier. Verum nihil valuit prorsus ad turrem immobilem quatiendam : mi-

11. καὶ γὰρ πλεῖόν σε παράθομαι cod. more sequiorum; quæ primum in ultima dictione barbara tergere iussit poetæ mundities, dein cætera leviter e loco movere melodia suasit. — τοῖς ὑπ' ἐμοῦ C.

12. οὐκ ἐνύσταξε ταῖς κολακείαις αὐτῆς cod. — ἔνθεν καὶ ἔνθεν usitatius; idem autem recurrit in ultimum tropar. — περισκοπήσας C, invita sententia

γον· * κολακείαις οὐκ ἐνύσταξε, * ἀλλὰ μᾶλλον εἶχε * λογισμὸν ἄγρυπνον, * καὶ ἄσυλον ἐφύλαξε * τὸ καύχημα τῆς σωφροσύνης· * ἔνθεν κἀκεῖθεν περισκοποῦσαν * ταύτην ἑώρα τὴν μαινομένην· * ἅπαντας τοὺς ἄλλους τοῦ οἴκου ἐξέπεμψε, * μόνη δὲ πρὸς μόνον τοιαῦτα ἐφθέγγετο· * Ἕως πότε σου ἀνέξομαι * παρακούοντος ἐμοί; * νῦν καιρὸς τοῦ ἀπολαῦσαί με * τῆς ποθεινῆς ἡδονῆς, * οὐ γάρ ἐστιν ἐνταῦθα * οὐδὲ εἷς τῶν τοῦ οἴκου, * καὶ οὐδὲν ἐμποδίζει * τοῦ γενέσθαι ὃ λέγω. * Βέλη πυρὸς * αὐτῷ κατηκόντισεν, * ἀλλ' οὐδαμῶς * αὐτὸν κατεφλόγισεν· * ἔσωθεν γὰρ * σωφροσύνην πηγάζων, * τὰς πονηρὰς * ὁμιλίας ἐσβέννυ, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιγ'. Φθεγγομένης τοιαῦτα * τῆς μαινάδος ἐκείνης, * καὶ καταθωπευούσης τὸν νέον, * εἰς τὰ σκάμματα τῶν πειρασμῶν * Ἰωσὴφ ὁ μέγας * ἀθλητὴς ἔρχεται, * πολύμορφον ἀντίπαλον * βουλόμενος ἀντιπαλαῖσαι· * καὶ βραβευταὶ συνεισῆλθον δύο, * καὶ παρεστήκεισαν ἀμφοτέροις· * τῷ μὲν Ἰωσὴφ ἡ ἁγνεία συνίστατο, * τῇ δὲ γυναικὶ ἡ λαγνεία προΐστατο, * μέσον τούτων ἠγωνίζετο * ὁ φιλοσώφρων ἀνήρ, * πρὸς αὐτὸν ἀντηγωνίζετο * ἡ δολιόφρων γυνή· * ἔθελγε μὲν ἐκείνη * πρὸς μοιχείαν καλοῦσα, * ἤθελε δὲ νικῆσαι * τὴν αἰσχρὰν ὁ γενναῖος· * τῷ Ἰωσὴφ * συνέπραττον ἄγγελοι, * τῇ γυναικὶ * συνέτρεχον δαίμονες· * ἄνωθεν δὲ * θεωρῶν ὁ δεσπότης, * τὸν νικητὴν * ἔστεφε τοῖς ἐπαίνοις, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιδ'. Ῥήματα σωφροσύνης * Ἰωσὴφ ἀπεκρίθη * πρὸς τὴν παραφρονοῦσαν βοήσας· * Σὸς μὲν δοῦλός εἰμι ὠνητός, * διὰ φθόνον τοῦτο * πεπονθὼς ἄδικον· * κἂν πέπραμαι δὲ σώματι, * ἐλεύθερος πέλω τῇ γνώμῃ. * Τὴν γὰρ εὐγένειαν τὴν τῶν τρόπων * χάρτης καὶ

nime adulationibus connivens, immo eo vigilantius mentem excitans, illibatum sibi servavit castimoniæ decus : hinc illinc eam videt circumspicientem, more furentis. Quæ cæteros omnes a domo dimiserat, solaque cum solo in hunc modum locuta est : « Quousque tandem sustinuero te mihi reluctantem? « Nunc tempus est, exoptata fruar voluptate; « iam nemo adest incolarum domus, neque « ullus obstat quin quod dico, fiat. » Ignea illi tela exacuit, sed eum minime incendit : intus enim puritatis fontem eliciens, pessima restinxit eloquia, scilicet omnia scrutatur, qui nunquam dormit oculus.

13. Dum hisce verbis resonaret bacchabunda, iuvenemque blanditiis impeteret, Iosephus, ingens ille athleta, certaminum in arenam procedit, oppugnantem mille cum dolis hostem debellare ultro studens. Ac duo quidem arbitri prælii convenerant, et ambobus astabant : Iosepho quidem castitas adfuit, mulieri prævia erat lascivia. Medius harum decertabat vir, pudicitiæ æmulator : colluctabatur cum eo femina, fraudum feracissima; hæc quidem demulcebat, ad stuprum provocans, malebat vero propudiosam vincere generosus miles. Iosephi commilitones erant angeli; mulieri concurrebant dæmonia. Sursum autem despiciens Dominus triumphantem coronabat meritis laudibus, quoniam omnia suspicit oculus nulli somno obnoxius.

14. Modestissima verba Iosephus furenti mulieri alta voce reposuit : « Tuus ego servus « sum, pretio emptus, qui per alienam invi« diam hanc tuli iniuriam : at corpore emptus « licet, liber anima sum. Morum enim nobi« litas est, quam tingere nec papyrus, neque

— ἐξέπεμψε habere vim plusquam perfecti, ut interdum solet, videtur; tum etiam ob rhythmum tetigimus codicem : τῆς ποθουμένης ἡδονῆς.. οὐδεὶς τῶν ἐκ τοῦ οἴκου. — Juvit demum in fine duo verba movere ἐσβέννυ ὁμιλίας.

13. συνίστατο... προΐστατο. Recole similia in cant. V, 12, et cf. XIII, 3.

14. κἂν πέπραμαι jam notatum in cant. V, 7. — ἐλεύθερός εἰμι C. — f. ὥσπερ iterum pro ὡς γάρ :

μέλαν οὐκ οἶδε βάψαι. * Ὥσπερ ἡ ἀχλὺς τὸν ἀέρα σκοτίζουσα, * τὴν ἡλιακὴν οὐκ ἀμβλύνει λαμπρότητα· * ὡς γὰρ νέφος ἀπελαύνεται, * ὑπ' ἀνέμου διωχθὲν, * τοῦ ἡλίου δὲ μετέπειτα * καταλάμπουσιν αὐγαί· * οὕτω καὶ ἡ δουλεία * παρελεύσεται αὕτη, * καὶ ἡ ἐλευθερία * ἡ ἐμὴ ἀναλάμψει. * Πᾶσα ἡ γῆ * Αἰγύπτου δουλεύσει μοι, * τῷ ἡδοναῖς * αἰσχραῖς μὴ δουλεύοντι· * τοῦτο γάρ μοι * προεμήνυσε πάλαι * ὁ προειδὼς * τὰ ἐσόμενα μόνος, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιε΄. Ὡς ἀκήκοε ταῦτα * προσλαλοῦντος τοῦ νέου, * καὶ πάλιν κολακεύειν πειρᾶται, * καὶ τοιαῦτα πρὸς αὐτόν φησιν· * Ὅτι δούλου τρόπους * οὐδαμῶς κέκτησαι, * δι' ἔργων τοῦτο ἔμαθον, * καὶ πέπεισμαι καὶ μαρτυρῶ σοι, * καὶ γὰρ τὴν πρέπουσαν ἐλευθέροις * σὺ ἐξετέλεσας λειτουργίαν· * γέγονας ἐν πᾶσι τοῖς ἔργοις σου ἄμεμπτος, * καὶ πρὸς τοὺς συνδούλους τοὺς σοὺς ἀκακούργητος, * ὅθεν φαίνῃ καταγόμενος * ἐκ γονέων εὐγενῶν. * Διὰ τοῦτο καὶ ἐλήλυθας * εἰς τὰς χεῖρας τὰς ἐμὰς, * ἵνα γένωμαι πλείστων * ἀγαθῶν ἀρχηγός σοι· * καὶ ἡ χώρα Αἰγύπτου * δι' ἐμοῦ σοι δουλεύσει· * μόνον ἐμὲ * τὴν νῦν σου δεσπόζουσαν, * καὶ τὴν πρὸς σὲ * στοργὴν διασώζουσαν, * δέξαι λοιπὸν * εἰς κοινὴν εὐφροσύνην, * καὶ μὴ πτοοῦ, * λογιζόμενος πάλιν * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ις΄. Μετὰ τούτους τοὺς λόγους, * Ἰωσὴφ ἀντιλέγει * πρὸς τὴν ἀσελγεστάτην ἐκείνην· * Ἀληθὲς μὲν ὃ λέγεις ἐστὶν, * ὅτι ῥίζης πέλω * ἀγαθῆς βλάστημα· * ὡς ἄλογον δὲ βλέπω σε, * καὶ φεύγω σου τὴν συνουσίαν. * Ὅταν γάρ τις λογισμὸν οὐκ ἔχῃ, * τὸν χαλινοῦντα αὐτοῦ τὸν βίον, * δίκην ἀλογίστων κτηνῶν περιφέρεται, * καὶ εἰς ἀπρεπεῖς ἡδονὰς παραφέρεται· * διὰ τοῦτο οὐκ ἀνέχομαι * τῶν

« atramentum novit. Sicut caligo, qua obscu« ratur aer, solis non obtundit fulgorem (dis« pellitur enim ut nebula, a vento dissipata, « solisque radii statim emicant) : ita servitus « ipsa aufugiet, ac libertas hæc mea splende« bit : tota Ægypti tellus mihi serviet, qui « fœdis haud servierim deliciis. Hoc certe « mihi prædixit olim, qui prospicit futura « solus; omnia enim intuetur, qui nunquam « clauditur oculus. »

15. Ita fatum iuvenem ut illa audiit, nec destitit iterum blandiri, nec verba hujusmodi omisit : « Serviles haud nactum esse te mo« res, tuis iam operibus comperi, et persua« sum habeo et tibi contestor; ac vere quæ « viros liberos decent, tu munera comple« visti. Te geris in tota vita tua integerrimum, « et præ omnibus tuis conservis innocentissi« mum, unde videris ab ingenuis parentibus « oriundus. Propter hoc destinatus es in ma« nus meas, ut plurima tibi bona munifice « conferrem; etiam per me tibi terra Ægypti « serviet. Tantummodo me, tuam nunc do« minam, amore tuo flagrantem, demum ac« cipe in commune gaudium, et noli timere, « frustra memor oculi cuncta videntis, nec « somnum patientis. »

16. Quibus dictis sermonibus, Iosephus petulantissimæ feminæ respondit : « Verum « est quod ais, me ex honesta radice adole« visse. Te vero video insanire, et tuum fu« gio consortium. Sensu enim ubi aliquis de« stituitur, quo frænum vitæ suæ imponat, « indolem præ se fert ferinarum pecudum, « inque inhonesta gaudia rapitur : teneri ergo « carneis affectibus nolo, quorum pruritus

sed satis Homerica est parenthesis eo modo interposita. Quid, si βάψαι ad sequentia referatur?

15. φησὶ πρὸς αὐτὸν C.

16. ῥίζης εἰμὶ C. — οὐκ ἔχει C. expectaveris μὴ ἔχῃ. Sed cf. Herman. ad Viger. p. 833. — περιφέρεται iterum C. post ἡδονάς. — χρῖμα. Iam vide hoc verbum *crimen* esse, ut apud neogræcos, nisi potius μύσος catus poeta scripserit.

φιλοσάρκων παθῶν, * ἀλλὰ τούτων τὰ σκιρτήματα * δι' ἐγκρατείας κρατῶ, * μέχρι νῦν καθαρεύω * ἀπὸ μύσους τοιούτου, * ἄρτι διὰ μοιχείας * οὐ ῥυπῶ μου τὸ σῶμα, * ἔστι μοι γὰρ * βαρὺ καὶ ἀθέμιτον, * γάμον ἀνδρὸς * συλῆσαι ἀλλότριον· * μεῖζον δέ μοι * καταφαίνεται κρῖμα, * καὶ τὴν εὐνὴν * τοῦ δεσπότου ὑβρίσαι, * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιζ'. Ἄκουσον, νεανία, * ἡ γυνὴ ἀπεκρίθη * πρὸς τὸν τῆς σωφροσύνης ἐργάτην. * Ὁ δεσπότης, ὡς οἶδας, ὁ σὸς * καταπείθεταί μου * τῇ βουλῇ πάντοτε, * καὶ δύναμαι κακῶσαί σε, * καὶ πάλιν παραθέσθαι τούτῳ. * Ἔχει ἐν σοὶ ἀγαθὰς ἐλπίδας, * ἐκ τῆς προλήψεως τῆς προτέρας· * στέργει καὶ ἐμὲ, ὡς ἀεὶ σωφρονήσασαν, * μέχρι γὰρ τοῦ νῦν ἀκατάγνωστος ἔμεινα· * τοῦ δεσπότου οὖν, ὡς εἴρηκα, * πεποιθότος ἐφ' ἡμῖν, * οὐδενὸς δὲ τὸ πραττόμενον * θεωροῦντος ἐπὶ γῆς, * τί ὀκνεῖς πειθαρχῆσαι * τῇ ἐμῇ παρακλήσει; * ἢ οὐ καταξιώσεις * τὰς ἐμὰς παρακλήσεις; * τοῖχοι ἡμᾶς * καλύπτουσι πάντοθεν, * ἄνωθεν δὲ * ἡ στέγη ἐπίκειται, * μὴ οὖν φοβοῦ, * οὗ οὐκ ἔστι σοι φόβος, * μὴ πτοηθῇς, * ἐνθυμούμενος πάλιν * ὅτι πάντα ἐφορᾷ * τὸ ἀκοίμητον ὄμμα.

ιη'. Νουθετῆσαι σπουδάζων * τὴν ἀθλίαν ἐκείνην * ὁ σώφρων Ἰωσὴφ ἀπεκρίθη· * Μὴ συμβούλευέ μοι πονηρὰ, * ὡς ἡ Εὔα πάλαι * τῷ Ἀδάμ· ἄπαγε, * τοῦ ξύλου γὰρ οὐ γεύσομαι, * τοῦ θάνατόν μοι προξενοῦντος. * Ἔχω παράδεισον τὴν ἁγνείαν, * πᾶσαν βλαστάνουσαν εὐωδίαν. * Τί γὰρ τῆς ἁγνείας ἐστὶ θαυμαστότερον; * ἣν οἱ κατορθοῦντες, ὡς ἄγγελοι λάμψουσι· * κἂν τὴν πρᾶξιν οὐ μὴ ἴδωσιν * οἱ οἰκοῦντες σὺν ἡμῖν, * ὅτι ἄνθρωποι ὑπάρχουσι, * μὴ ὁρῶντες τὰ κρυπτὰ, * ἀλλὰ τὸ συνειδός μου * τὸν κατήγορον ἔχω· * εἴγε πρᾶξαι νομίσω * τὸ παράνομον ἔργον, * καὶ

« ope temperantiæ edomui; hactenus permaneo purus ab simili flagitio, neque modo « per mœchiam corpus hoc polluam. Nam « grave mihi est ac nefarium, alieni viri suf« furari connubium; at quanto immanius « crimen mihi videtur, etiam heri thalamum « dehonestare : omnia videt enim somni im« patiens oculus. »

16. Pro nomine Σίμων, quo phrasis suspenditur et tonus dissonat, malim ποιεῖς. — μόνον cod. pro μνῶν. Tam metri necessitas quam sacra auctoritas (Luc. VII, 41) et integritas sententiæ emendationem suaserunt. — ὅ, τι ἐρείσατο C, perverso sensu.

17. ὀρθῶς ἀπεκρ. C. — καὶ om. ante ὃν γάρ. — αὐτῇ id. ubique contra rhythmum.

εἶπεν αὐτῷ· * Ἀπεκρίθης ὀρθῶς, Σίμων, * οὕτως ἐστὶ * καθὰ καὶ βλέπεις· * καὶ ὃν σὺ γὰρ οὐκ ἤλειψας, * αὕτη ἐμύρισεν· * ὃν ὕδασιν οὐκ ἔνιψας, * αὕτη τοῖς δάκρυσιν· * ὃν οὐκ ἠσπάσω φιλήσας, * καταφιλοῦσά με κράζει· * Ἐκράτησα τοὺς πόδας σου, * ἔγειρόν με * τοῦ βορβόρου τῶν ἔργων μου.

ιη΄. Νῦν ὅτε σοι ἔδειξα * τὴν ποθοῦσάν με στοργῇ, * διδάξω σε, βέλτιστε, * τίς ἐστιν ὁ δανειστής, * καὶ ὑποδείξω σοι * τοὺς τούτου χρεωφειλέτας, * ὧν εἷς ὑπάρχεις, καὶ αὕτη, * ἣν βλέπεις δακρύουσαν· * δανειστὴς δὲ ἀμφοτέρων * πέλω ἐγὼ, * καὶ οὐ μόνον ἀμφοτέρων, * ἀλλὰ καὶ τῶν * ἀνθρώπων πάντων· * ἐγὼ γὰρ πᾶσιν ἔχρησα * ταῦτα ἃ ἔχουσι, * πνοὴν, ψυχὴν καὶ αἴσθησιν, * σῶμα καὶ κίνησιν· * τὸν δανειστὴν οὖν τοῦ κόσμου, * ἐν ὅσῳ ἔχεις, ὦ Σίμων, * ἱκέτευσον καὶ βόησον· * Λύτρωσαί με * τοῦ βορβόρου τῶν ἔργων μου.

ιθ΄. Οὐ δύνασαι δοῦναί μοι * ἅπερ ἐποφείλεις μοι· * κἂν σίγησον, ἵνα σοι * χαρισθῇ ἡ ὀφειλή· * μὴ καταδίκαζε * τὴν καταδεδικασμένην, * μήτε εὐτέλιζε εὐτελισμένην, ἡσύχασον, * οὐ τῶν σῶν, οὐδὲ τῶν ταύτης * βούλομαί τι· * χρεωλύτης ἀμφοτέρων * ἐγώ εἰμι, * μᾶλλον δὲ πάντων. * Νομίμως, Σίμων, ἔζησας· * ἀλλ' ἐχρεώστησας· * ἐλθὲ οὖν πρὸς τὴν χάριν μου, * ἣν ἀποδώσω σοι· * ἴδε τὴν πόρνην, ἣν βλέπεις, * καθάπερ τὴν ἐκκλησίαν, * βοῶσαν· Ἀποτάσσομαι, * ἐμφυσῶσα * τῷ βορβόρῳ τῶν ἔργων μου.

κ΄. Ὑπάγετε, τὸ λοιπὸν * τῶν χρεῶν ἐλύθητε, * πορεύθητε, ἐνοχῆς * γὰρ ἐκτὸς πάσης ἐστὲ, * ἠλευθερώθητε, * μὴ πάλιν ὑποταγῆτε· * τοῦ χειρογράφου σχισθέντος, * μὴ ἄλλο ποιήσητε. * Τὸ αὐτὸ οὖν, Ἰησοῦ μου, * λέξον κἀμοὶ, * ἐπειδή σοι ἀποδοῦναι * ἃ χρεωστῶ, * οὐκ ἐξισχύω· * σὺν τόκῳ γὰρ ἀνήλωσα * καὶ τὸ κεφάλαιον, * διὸ μὴ ἀπαι-

« Simon. Sic est, ut vides. Quem enim tu « non liniisti, unxit illa; cui lavari undis non « dedisti, hæc dedit lacrymis; quem osculo « non salutavisti, hæc osculata, ad me cla- « mat : Amplexa sum pedes tuos, fac me « surgere ex luto operum meorum.

18. « Nunc quando tibi ostendi quo me « amore hæc diligat, edocebo te, o optime, « quis sit creditor, et revelabo tibi quales « sint eius debitores : horum tu ipse es unus, « et mulier hæc, quam vides lacrymantem. « Amborum fœnerator sum ego, neque duo- « rum dumtaxat, sed omnium hominum : « ego enim omnibus ea quæ possident, mu- « tua dedi : spiritum, animam et sensum, « corpus et motum. Hunc igitur fœnerato- « rem orbis, quantum in te situm est, o « Simon, ora supplex et compella : Libera « me ex luto operum meorum.

19. « Iam non vales solvere mihi quod de- « bes, saltem sileto, ut tibi debitum condo- « netur. Ne illam condemna, quæ se sponte « damnavit, aut ultro spernentem se ne « sperne, sed quiesce; nec tua, neque huius « debita volo repetere. Condonator sum « utriusque, debentium immo omnium. Iuxta « legem, Simon, vixisti, sed æs alienum « habes, vade igitur ad meam gratiam, « quam tibi erogabo. Considera meretricem « quam vides, Ecclesiæ exemplo, claman- « tem : Abrenuntio, insufflans in lutum ope- « rum meorum.

20. « Abite, in posterum a debitis soluti « estis, proficiscimini; a quolibet enim con- « tracto onere liberi, manu missi estis, nolite « iterum servire; rescisso iam chirographo, « alterum ne conficiatis. » Illud ergo ipsum, mi Iesu, mihi quoque dicito, quando tibi restituere quæ mutuatus sum, minime valeo; cum fœnore enim profligavi et ipsum fun-

19. μὴ εὐτέλιζε τὴν εὐτ. C. Ex alio fort. vulnere versus non dividitur.

20. μὴ ἄλλο ποιήσητε sic cod. f. ποιήσασθε, « nullum jam vobis conflate alterum chirographum. »

τήσῃς με * ὅσα παρέσχες μοι, * τοῦ τῆς ψυχῆς κεφαλαίου * καὶ τῆς σαρκός μου τὸν τόκον· * κουφίσας με, ὡς εὔσπλαγχνος, * ἄνες, ἄφες * τοῦ βορβόρου τῶν ἔργων μου.

dum; unde noli a me exigere quæcumque præstitisti mihi, animæ scilicet fundi carnisque meæ fœnus; sublevans me, pro tua misericordia, dimitte, tolle me ex luto operum meorum.

XIII.

CANTICUM DE JUDA PRODITORE.

Πρὸς τό· Λάζαρον τὸν φίλον σου.

α΄. Πάτερ ἐπουράνιε,
φιλόστοργε, φιλάνθρωπε,
ἵλεως, ἵλεως, ἵλεως
γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος,
καὶ πάντας ἐκδεχόμενος.

β΄. Δεσπότου χερσὶ πόδας
νιπτόμενος Ἰούδας,
ὡς κλέπτης, κρυφῆ γλῶσσαν
ἠκόνησε δολίαν,
ὁ παράνομος,
Χριστὲ ὁ Θεός·
ἀλλὰ τοιαύτης ἀπανθρωπίας
λύτρωσαι τοὺς ἐν τῷ οἴκῳ
τῆς Θεοτόκου ψάλλοντας·
Ἵλεως, ἵλεως, ἵλεως
γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος
καὶ πάντας ἐκδεχόμενος·

γ΄. Τίς ἀκούσας οὐκ ἐνάρκησε,
ἢ τίς θεωρήσας οὐκ ἐτρόμασε
τὸν Ἰησοῦν δόλῳ φιλούμενον,

Sub modulo : *Lazarum amicum tuum.*

1. Cœlestis pater, diligere amans, amator hominum, misericors, misericors, misericors esto nobis, tu qui attollis omnia, et omnes amplecteris.

2. Domini manibus iam pedes lotus Iudas, furis instar, clanculum linguam exacuit dolosam scelestus ille, o Christe Deus! Ast tanta ab immanitate exime nos, in hoc Deiparæ templo psallentes : Propitius, propitius, propitius esto nobis, tu qui omnia capis et omnes amplecteris.

3. Quis audiens non obstupuit, aut quis non cohorruit, contemplatus Iesum doloso proditum osculo, Christum livore venditum,

Novum aliquid in hoc poemate servatur, quod semel Romanus ausus est, ac vix alter melodorum, si Anastasium forte excipias, simile unquam dedit exemplum. Non solum filo acrostichidis et syllabico vinculo, compedibusque accentuum se poeta constrinxit, sed ecce ad cumulum addidit ὁμοιοτέλευτα fere perpetua. Ad hæc, in duplici procemio, leviter præludit; laxis inde habenis, ῥυθμίζει per XXIII troparia, sive 385 versus, quorum ne unus quidem non argumento erit ineluctabili, certum esse et inconcussum tam syllabicum metri genus quam universum systema tonicum. Nova omnia, ex unico corsin. f. 86-89, sub epigraphe : τῇ ἁγίᾳ ε΄, κοντάκιον, ἦχ. γ΄, φέρον ἀκροστιχίδα· τοῦ ταπεινοῦ Ῥωμανοῦ ποίημα.

1. Hirmum τὸν Λάζαρον nullibi reperire contingit.

2. οἴκῳ. Etiam nunc primum se Romanus prodit ascriptum cuidam Deiparæ templo, ubi vero, et quandonam, et quali demum titulo, quove consule, utinam declaraverit. Menologio Basiliano teste, addictus fuit ecclesiæ B. V. εἰς τὰ Κύρου, sub Anastasio imperatore. Sed hæc alias.

3. ἐτρόμασε retineo, ut in CC. III, 5; XV, 12.

τὸν Χριστὸν φθόνῳ πωλούμενον,
τὸν Θεὸν γνώμῃ κρατούμενον;
ποία γῆ ἤνεγκε τὸ τόλμημα;
ποία δὲ θάλασσα ὑπέμεινεν,
ὁρῶσα τὸ ἀνοσιούργημα;
πῶς οὐρανὸς ὑπέστη,
πῶς ὁ αἰθὴρ συνέστη,
πῶς δὲ ὁ κόσμος ἔστη,
συμφωνουμένου, πωλουμένου,
τότε προδιδομένου τοῦ κριτοῦ;
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν...

δ'. Ὅτε δόλον ἐμελέτησε,
τότε σου τὸν φόνον κατεσκεύασε,
ὁ φιληθεὶς, καὶ ἀθετήσας σε,
ὁ κληθεὶς, καὶ καταλείψας σε,
ὁ στεφθεὶς, καὶ ἐνυβρίσας σε!
Τότε συ, εὔσπλαγχνε, μακρόθυμε,
δεῖξαι τῷ φονευτῇ βουλόμενος
τὴν ἄπειρον φιλανθρωπίαν σου,
ἔπλησας τὸν νιπτῆρα,
ἔκλινας τὸν αὐχένα,
γέγονας δοῦλος δούλου·
καὶ ἐπεδίδου σοι Ἰούδας
πόδας, ἵν' ἀποπλύνῃς, ὁ Θεός!
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ε'. Ὕδασι πόδας ἀπένιψας,
τοὺς δραμόντας εἰς τὴν προδοσίαν σου,
καὶ μυστικῇ βρώσει διέθρεψας
τὸν ἐχθρὸν τῆς εὐσπλαγχνίας σου,
καὶ γυμνὸν τῆς εὐλογίας σου·
ὕψωσας τὸν πτωχὸν χαρίσμασιν,
ηὔξησας τὸν οἰκτρὸν δωρήμασιν,
ἐπλούτισας, καὶ ἐμακάρισας
ὑποταγὴν δαιμόνων.
Ἀπαλλαγὴν δὲ πόνων
εἶχεν ἐπὶ τῆς γλώσσης,
καὶ ἀντὶ τούτων διεσχίσθη,
καὶ οὐχὶ κατενύγη ὁ φονεύς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ς'. Τίς εἶδε πόδας νιπτόμενον,
καὶ λακτίζειν τοῦτον ἐπειγόμενον;
τίς ἤκουσε κτῆνος θαλπόμενον,
καὶ βαλεῖν κατεπειγόμενον
τὸν αὐτῷ ἐπικαθήμενον;
Ἔλουεν, ἔτρεφεν ὁ Κύριος·
ἔτρεχεν, ἔβρυχεν ὁ δόλιος,

Deum sponte sua captum? Quæ terra tulit audaciam? quodve mare toleravit, testis tantæ impietatis? Quomodo cœlum substitit, quomodo sustinuit æther, quomodo orbis mansit, quum fœdere compacto, patrata venditione, tandem traditus est iudex? — Misericors, misericors, misericors esto nobis.

4. Quum fraudem meditaretur, tum tui moliebatur necem; osculo exceptus, et te vilipendens; a te vocatus, et te deserens; coronatus, et tibi insultans! Tum etiam tu, o clementissime, o magnanime, pandere huic homicidæ volens tuam infinitam misericordiam, implevisti pelvim, inclinasti collum, servi te servum fecisti. Et porrexit Iudas tibi suos pedes, lavandos a te, Deus! — Misericors, misericors, misericors esto nobis.

5. Aquis pedes lavisti, eosdem properantes ad tuam proditionem; et mystico cibo aluisti hostem tuæ benignitatis, tua nudum benedictione. Sublimasti mendicum gratiæ donis, auxisti miserum largitionibus, ditasti et beasti dæmonum mancipium. Unde enim a pœnis liberaretur, in lingua cibum habuit, et tantorum vice beneficiorum, se a te disiunxit, neque compunctus fuit homo sanguinis. — Misericors, misericors, misericors esto nobis.

6. Quis hospitem vidit pedibus lotum, eumdemque calcibus reluctantem? Quis unquam audivit iumentum, dum foveretur,

— γνώμῃ ex Nostri consuetudine, not. in C. I, 3. De concilio igitur aut decreto synagogæ, ne cogita.

4. ὅτε τὸν cod.

5. τὴν om. C. ante προδοσίαν. — In fine οὐ κατενύγη C.

6. More homerico, de quo alias, habet ἴδε C, in quo τοῦτον deest. — μονιὸς, nota vocem in-

ὡς μονιὸς ἀνημερώτατος·
πεπληρωμένης φάτνης,
ὁ ἀπηνὴς ἐξαίφνης
φεύγει τὸν κεκτημένον,
καὶ ὑποτίθησι τὸν νῶτον,
ὄντως ἵν' ἐπιβῇ ὁ Σατανᾶς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ζ'. Ἄδικε, ἄστοργε, ἄσπονδε,
πειρατὰ, προδότα, πολυμήχανε,
τί γέγονεν, ὅτι ἠθέτησας;
τί παθὼν οὕτως ἐφρόνησας;
τί ἰδὼν οὕτως ἐμίσησας;
οὐχ αὐτοῦ ἀδελφόν σε κέκληκεν,
οὐχ αὐτοῦ φίλον σε ὠνόμασεν,
εἰδὼς ὅτι οὕτω δεδόλωσαι;
Τὸ τῶν χρημάτων λῆμμα,
τὸ ἐν τῷ γλωσσοκόμῳ,
δέδωκε τῇ σῇ πίστει·
καὶ ἀσυνείδητος ἐν πᾶσι
τούτοις ἐφάνης ἄφνω πρὸς αὐτόν.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

η'. Πέτρος τότε παρῃτήσατο,
ὅτε ὁ μονογενὴς παρίστατο
νιπτοποδεῖν κατεπειγόμενος,
καί φησι· Κύριε, Κύριε,
οὐ μὴ σὺ νίψῃς τοὺς πόδας μου.
Ὁ νιπτὴρ ἔκειτο, καὶ πέπληστο·
ὁ σωτὴρ ἵστατο, καὶ ἔζωστο
ὁ λυτρωτὴς, ὡς ἀργυρώνητος.
Αἱ τῶν ἀγγέλων τάξεις
ἄνωθεν κατιδοῦσαι,
ἔκραζον θαμβηθεῖσαι·
Καὶ ἀναίσχυντος οὐκ ἐτράπη,
ἀλλ' ἀπετράπη ὅλος πρὸς σφαγήν·
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

θ'. Ἵσταντο φόβῳ οἱ πύρινοι,
καὶ ἐξίσταντο χοροὶ ἀόρατοι,
ὁρῶντες τὸν ἀπερινόητον
γνωμικῶς κατακαμπτόμενον,
καὶ πηλῷ διακονούμενον.

insidentem sibi equitem deiecisse? Lavit, cibavit Dominus. Erupit, infremuit perfidus, ut sævissimus aper. Præsepio ubertim referto, statim ut satiatur, a possessore aufugit, et dorsum supponit, nonnisi ut ascendat Satanas. — Misericors, misericors, misericors esto nobis.

7. Improbe, immitis, implacabilis, prædator, proditor, versipellis, quid factum, ut adeo nefas egeris? Quid impulit, ut sic sentires? Quid vidisti odio dignum? Nonne te fratrem appellavit suum, nonne te amicum nominavit, sciens te eo usque esse dolis refertum. Etiam pecuniæ depositum in marsupio tuæ fidei commisit; et in his omnibus, scelestissimum te erga eum subito præbuisti. — Misericors, misericors, misericors esto nobis.

8. Tunc Petrus deprecatus est, dum instaret Unigenitus, sollicitus lavandi pedes, et ait : « Domine, Domine, ne unquam « mihi pedes laveris. » Pelvis iacebat, et replebatur; salvator instabat, et cingebatur redemptor, ut mercenarius. Angelorum ordines desuper ad spectaculum clamabant attoniti. At impudens non retrocessit, immo totus convertit se ad cædem. — Misericors, misericors, misericors esto nobis. »

9. Pavore steterunt flammigera agmina, et horruere chori invisibiles, conspicientes

solentiorem. Hesychio est ὃς ἄγριος, ut ps. LXXIX, 14; hic potius ὄναγρος, in quo etiam Hesychius cum Cyrillo consentit, et suadent sequentia, ὑποτίθησι τὸν νῶτον, quæ de apro dici nequeunt. Cf. fr. 14.

7. καὶ ταῦτα εἰδὼς C. — ἀσυνείδητος iterum in tr. 12, ut vulgo *sine conscientia*, quasi ἀναιδέστατος.

8. ἔπλησto C. f. pro ἔπλητο, sed malim πέπληστο, quod poetis licet. — Καὶ ὁ ἀναίσχ. C. ὁ ἀναιδὴς δ' οὐκ ἐνετράπη suggeritur. Displicet quidquid melodi acumen extundit, quum fere semper idem v. 12 incipiat ab emphatica copula καὶ ἀντὶ τούτων, καὶ ὑποτίθησι, καὶ ἀσυνείδητος, καὶ ἀναίσχυντος, reciproca vice et dato, ut patet, consilio, quemadmodum in eodem fere loco cant. VII, ἀλλὰ continuo recurrit.

9. Unius troparii locus in cod. remansit vacuus, in quo fortasse οἱ πύρινοι colloquebantur,

Γαβριὴλ ἔλεγε φοβούμενος·
Ἅγιοι ἄγγελοι, συνόμιλοι,
κατίδετε καὶ καταπλάγητε·
τείνει τὸν πόδα Πέτρος·
ὁ ἐκ παρθένου μήτρας
δέχεται καὶ ἀποπλύνει·
καὶ οὐ τὸν Πέτρον μόνον νίπτει,
ἀλλὰ καὶ τὸν Ἰούδαν μετ' αὐτοῦ.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ι'. Νίπτει τὴν πλίνθον ἡ θάλασσα·
ἀποπλύνει τὸν πηλὸν ἡ ἄβυσσος,
καὶ οὐκ ἀναιρεῖ τούτου τὴν σύστασιν·
ἀλλὰ σφίγγει τὴν ὑπόστασιν,
καὶ ἀποσμήχει τὴν προαίρεσιν.
Βλέπετε πόση τοῦ ποιήσαντος,
ἴδετε ποταπὴ τοῦ πλάσαντος
διάθεσις περὶ τὰ πλάσματα.
Κέκλινται, καὶ εἱστήκει,
τρέφονται, καὶ παρέχει,
νίπτονται καὶ ἀποσμήχει,
καὶ οὐ χωνεύονται γηΐνων
πόδες ἐν ταῖς παλάμαις τοῦ κριτοῦ.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ια'. Οὕτω μὲν ἔφησεν ἄγγελος,
ἐπειδὴ κατεῖδέ σε τὴν ἄμπελον,
τὰ ἑαυτῆς κλήματα τρέφουσαν,
καὶ εἰς γῆν πᾶσαν ἐκτείνουσαν,
καὶ εἰς ὕψος ἐπανάγουσαν.
Πέτρος δὲ, ἡ ἀρχὴ τῶν φίλων σου,
ὁ κανὼν τῶν ἀκολουθούντων σοι,
ὁ στρατηγὸς τῆς φαμιλίας σου,
ἰδών σε ἐζωσμένον,
ἔλεγεν ἀδημόνως·
Σύ μου τοὺς πόδας νίπτεις;

Deum menti impervium sponte procumbentem, et pulveri ministrantem. Gabriel terrefactus ait : « Angeli sancti, consodales, aspi« cite et pavete. Tendit pedem Petrus, et « natus ex utero Virginis recipit, abluit, ne« que Petrum solummodo lavat, sed etiam « cum eo Iudam. — Misericors, misericors, « misericors esto nobis. »

10. « Abluit Oceanus laterem, lavat argil« lam abyssus, cuius tamen non solvit com« pagem; immo firmiori stringit virtute, ac « voluntatem eluit. Videte qualis sit condi« toris, cernite quæ opificis indoles in opera « sua : discumbunt et ille astat; aluntur, et « escam præbet; lavantur, et abstergit; nec « liquefiunt mortalium pedes in iudicis ma« nibus. — Misericors, misericors, mise« ricors esto nobis. »

11. Sic aiebant angeli, quando viderunt te Vitem, palmites tuos nutrientem, et late eos per totum orbem extendentem, ac in sublime illos agentem. Petrus interim, illud tuorum amicorum caput, illa te sequentium norma, ille tuæ familiæ dux, videns te accinctum, exclamavit mirum in modum turbatus : « Tu « mihi lavas pedes? Pedes meos non lavabis

et acrostichidi littera 2 addi potuit : sed neque littera omnino requiri, nec series pendere videtur. Neque etiam offendant *igneorum* agmina spirituum, de quibus jam cant. 1, 12, 13 et in primis ps. CIII, 4; Hebr. 1, 7. Viro delicato displicet ἵσταντο, et mallet ἵπταντο, cum Sophocle in Ant. ἀνέπταν φόβῳ, et aliis. Recipit hic Romanus εἰς ἴδια; cf. CC. V, 12; X, 13, et supra 3, ubi congesta ὑπέστη, συνέστη, ἔστη. — καὶ ἀποπλύνει, syllaba abundante, nisi quis crasi aut elisione utatur; quam quidem licentiam concedi tam in h. v. quam in 3 et 11 v. troparii sequentis, omnino postulat series rerum, ac manifesta in vocula emphasis urget. — Obstat acc. ne præstet μητρός.

10. ἱστήκει C. fac correctio maneat, aut lege ἱστάνει, sed minus bene, ob sonum ἀντίθετον retinendum.

11. ὁ ἄγγελος C, ubi μὲν egregiam orditur archangelum inter et Petrum, Πέτρος δὲ, collationem. — ὅτι κατεῖδε C. metro f. satis esset ὡς ἄμπ. Sed Jo. XV, 1 dicit : Ἐγώ εἰμι ἡ ἄμπ. non vero ὡς ἡ ἄμπ. Ps. LXXIX, 9-12. — φαμιλίας σου. Quidni ὁμιλίας, inquit mihi vir doctus. Sic quater pro *cœtu* usurpat Æschyl. in Eum. Etiam Sophocl. et Euripid. et quod magni refert, Herod. III. 81 idem vult significare *collegium*. Hæc ille, quæ ego morosius refero, ne tu insalutato Petro omnium coryphæo et regula falli nescia, nobi-

Οὐ μὴ σὺ νίψεις τούς μου πόδας
εἰς αἰῶνας, ἡ χεὶρ πλάσασά με.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
ιβʹ. Ὕπνος μοι ἔλθοι εἰς θάνατον,
ἐὰν σὲ ἐάσω τὸν ἀθάνατον
χαμφθῆναι μοὶ τῷ ὑπὸ θάνατον·
ὁ ἐχθρὸς ἐπιγελάσοι μοι,
ἐὰν σὺ τοῦτο τελέσῃς μοι.
Οὐκ ἀρκεῖ, ὅτι σὸς ὠνόμασμαι,
οὐ πολὺ ὅτι σὸς λελόγισμαι,
καὶ πρῶτος τῶν φίλων σου κέκλημαι;
ἀλλὰ καὶ πλύνεις πόδας
τοῦ ὀστρακίνου σκεύους,
ὁ κεραμεὺς τοῦ κόσμου,
καὶ τὰ φθαρτά μου σκέλη καὶ τὰ
ἴχνη σὺ θέλεις πλῦναι, λυτρωτά.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
ιγʹ. Ῥήμασι τούτοις χρησάμενος
ὁ ἀπόστολος πρὸς τὸν διδάσκαλον,
ἀκούει· Εἰ μή, φησὶ, νίψω σε,
μετ' ἐμοῦ μέρος οὐ δώσω σοι·
ὡς ἐχθρόν σε ἀποβάλλομαι.
Ταῦτα δὲ λέξαντος τοῦ πλάσαντος,
φόβος καὶ θόρυβος ἐπέπεσε
τῷ μαθητῇ, ὅθεν καὶ ἔφησε·
Κύριέ μου, εἰ πλύνοις,
μή μου τοὺς πόδας μόνον,
ἀλλὰ καὶ δέμας ὅλον,
καὶ ἐπιπλεῖον, εἰ ἐθέλεις,
ἵνα τῶν σῶν μὴ στερηθῶ ποτε.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
ιδʹ. Ὦ πόσοις πόσα συνήπτετο,
καὶ Ἰούδας φίλος οὐκ ἐγένετο!
ὢ ποταποὶ λόγοι καὶ πράγματα,
καὶ ἐχθρὸς οὐ κατηλλάττετο!
ὁ σκληρὸς οὐχ ἡπαλύνετο!
ἅμα γὰρ τῷ φαγεῖν ὃ ἔφαγε,
καὶ πιεῖν ὃ ἀπίστως ἔπιε,
ἐπῆρε τὴν πτέρναν, ὡς γέγραπται,
καὶ ἐξελθὼν τῆς μάνδρας,

« in æternum, o quæ me plasmavit manus. « — Misericors, misericors, misericors esto « nobis.

12. « Somnus mihi subeat in mortem, si « per me licuerit te immortalem sterni co- « ram me morti obnoxio! Hostis me deri- « deat, id mihi si tu peregeris! Nonne satis « est vocatum me esse tuum? Nonne mul- « tum, me tuum æstimari, et nuncupari pri- « mum ex tuis amicis! Verum et pedes lavas « testacei vasis, tu figulus orbis; et crura « putrida ac plantas vis abluere, o redem- « ptor! — Misericors, misericors, miseri- « cors esto nobis. »

13. Sic fatus apostolus magistro, hæc ab eo audiit : « Nisi lavero te, mecum partem « nullam tibi dabo; ut contrarium te reji- « ciam. » Vix ea dixerat plasmator, metus ac tumultus in discipulum subiere; unde re- tulit : « Domine mi, utinam mihi laves, non « pedes tantum, sed totum corpus, et am- « plius, si vis, ne a tuis unquam bonis de- « frauder. — Misericors, misericors, miseri- « cors esto nobis. »

14. Oh! quanta quantis nectebantur amoris vinculis, et Iudas amicus non factus est! Oh! quam diversi sermones et actus, et inimicus non mutatus est! Saxeus non emollitus est! Ut primum comedit quod comedit, et simul ac bibit quod bibit impie, erexit calcem, ut

lissimum locum citius pertranseas. — ἔλεγεν ἀδημονῶν C. — οὐ μή μου νίψεις τοὺς πόδας εἰς αἰῶνας ἡ χεὶρ ἡ πλ. με C.

12. Μου inserit C. ante σκεύους. — Displicent extrema, etiam in cod magis inepta : καὶ τὰ ἴχνη σὺ θέλεις ἀποπλῦναι.

13. φησὶ addimus codici : ἀκούει· ἐὰν μὴ νίψω σε. — σε ἀποβάλλομαι, ταῦτα λέξαντος C. — εἰ πλύνεις C.

Hic certe εἰ optantis est, ut in Homero Il. XXIV, 74; Æsch. Sept. 242; Sophocl. O. T. 860, et etiam apud Virg. « *Si* nunc se nobis ille aureus arbore ramus *ostendat.* » Æn. VI, 187. — ἐπιπλεῖόν με πλῦνον εἰ θέλεις; tum alium ordinem fort. requirunt ὁμοιοτέλευτα.

14. Quidni Ὦ δεσμοῖς πόσοις? — καὶ ὁ ἐχθρὸς C. — f. καὶ σκληρὸς — τὸ φαγεῖν C. — ὃ ἄπιστος ὃ ἔπιεν C. —

ὥρμησε πρὸς τοὺς θῆρας,
καταλιπὼν τοὺς ἄρνας,
καὶ τὸν γλυκὺν μαζὸν ἐάσας,
τάχος ἐπὶ θηλὴν ἦλθε πικράν.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιε΄. Μάτην τὸ πρὶν ὑπεχώρησε
τοῦ δεινοῦ Ἰούδα ὁ διάβολος·
ἰδοὺ γὰρ νῦν οὗτος ἐχώρησε
πρὸς τὸν πρὶν ὑποχωρήσαντα,
καὶ ἐστὶν ὅλως διάβολος.
Μάτην ἦν φοβερὸς τοῖς πλήθεσιν·
ὤφθη γὰρ φθονερὸς παντάπασιν
καὶ τολμηρὸς κατὰ τοῦ πλάσαντος.
Μάτην, αὐτοῦ λαλοῦντος,
ἔφευγον πᾶσαι νόσοι·
εἶχε γὰρ ἤδη νόσον
τῆς ἀθέου φιλαργυρίας,
ἐντὸς αὐτοῦ ὑπῆρχεν ἡ πληγή.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ις΄. Ἄρας τοὺς πόδας ὁ ἄνομος,
ηὐτομόλησε πρὸς τὸ παράνομον,
καὶ φθάσας φατρίαν φονεύτριαν,
τὸν Χριστὸν ὥσπερ ἀλλότριον
παραδοὺς, γίνεται μέτριος·
Τί ἐμοὶ θέλετε δωρήσασθαι;
λέγει τοῖς θέλουσιν ὠνήσασθαι
τὸ αἷμα τοῦ ζῶντος καὶ μένοντος.
Ἄκουσον, γῆ, καὶ φρῖξον!
θάλασσα, φεύγειν σπεῦσον!
φόνος γὰρ συμφωνεῖται,
ἀτιμήτου τιμὴ λαλεῖται,
καὶ ἡ Θεοῦ ζωοδότου σφαγή.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιζ΄. Νῦν σου ἐφάνη τὸ ἄπληστον,
νῦν ἐφανερώθη τὸ ἀκόρεστον,
ἀχόρταστε, ἄστεκτε, ἄσωτε!
ἀναιδέστατε, καὶ λαίμαργε!
ἀσυνείδητε, φιλάργυρε!
τί ἐμοὶ θέλετε δωρήσασθαι;
λέγεις τοῖς θέλουσιν ὠνήσασθαι
τὸ αἷμα τοῦ ζῶντος καὶ μένοντος.
Τί γὰρ καλὸν οὐκ εἶχες;
τίνος δὲ οὐ μετεῖχες;
τίνος ποτὲ ἀπεῖχες;

scriptum est, et exiens ab ovili, repedavit ad belluas, deserens agniculos, et suavi reiecta mamilla, præpes ad papillam cucurrit amarulentam. — Misericors, misericors, misericors esto nobis.

15. Frustra olim præ horrore coram Iuda aufugit diabolus : ecce enim nunc Iudas obviam illi procedit, qui prius terga dedit; omnino factus est diabolus. Frustra miraculis terrorem turbis incussit : visus est enim totus livore æstuans et petulans in ipsum creatorem. Frustra uno ipsius dicto fugabantur omnes morbi; jam morbus illi erat impiæ avaritiæ; intus illi tumebat plaga. — Misericors, misericors, misericors esto nobis.

16. Citatis pedibus, scelestus ultro ad scelus ferebatur, et cruentum ad concilium properabat. Christum uti hominem alienum tradendi cupidus, intercedit. « Quid vultis mihi « donare? » ait volentibus emere sanguinem viventis et manentis. Audi, terra, et trepida! Mare, carpe fugam! Cædes pacto convenitur. De inæstimabili pretium disputatur, et occisio Dei vitæ datoris. — Misericors, misericors, misericors esto nobis.

17. Nunc tua patuit insaturabilis avaritia, nunc comperta est inexplebilis cupiditas, o avidissime, intolerande, dissolute, o impudentissime helluo et flagitiosissime nummorum expilator! « Quid vultis mihi donare? »

πτέρναν Jo. XIII, 18. — τῆς μάνδρας cf. trop. 6. — καὶ om. C ante τὸν γλυκύν.

15. Μάτην πρὶν ὑπ. τὸν δεινὸν Ἰούδαν C, quod sententiam pervertit.

16. φατρίαν φθάσας C. — μέτριος pro μεσίτης vel V. pro μετρητὴς, valde suspecta vox est. — τοῦ ἀτιμήτου id. — tum ἡ τοῦ ζωοδότου.

17. σου προδίδεις C. Correxit vetustissima manus, nisi fuerit prima, quæ utinam plura expoliverit!

μετὰ τῶν κάτω καὶ τὰ ἄνω
εἶχες, καὶ τὸν Θεὸν προδίδως σου.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
ιη'. Ὅλον τὸν πλοῦτον ἐβάσταζες,
θησαυρὸς ὑπῆρχες, καὶ οὐκ ἔλιπες·
ἧς πάντοθεν πάντοτε πλούσιος,
ἐν χερσὶν ἔχων τὰ χρήματα,
καὶ φρεσὶ φέρων τὸν πλάσαντα.
Τί οὖν σοι γέγονεν, ὦ ἄθλιε,
ὅτι νῦν ὡς πτωχὸς πεπόρευσαι
πρὸς τοὺς οὐδὲν ἔχοντας δοῦναί σοι;
Τί δὲ καὶ δώσουσί σοι;
τί προσενέγκωσί σοι
ἀντὶ τοῦ πωλουμένου;
τὸν οὐρανόν τε καὶ τὴν γαῖαν,
καὶ τὸν ἐν τούτοις κόσμον ἀντ' αὐτοῦ;
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
ιθ'. Ὕπαγε, ἄφρον, ἀνάνηψον,
τὴν αὐθάδειάν σου ἀναχαίσον,
τὴν τολμηρὰν γνώμην σου κώλυσον,
ταῖς φρεσί σου ἐπιτίμησον.
Καὶ μωροὶ πότε φρονήσετε;
οὔτε γὰρ δύνῃ σὺ τιμήσασθαι,
οὔτ' αὐτοὶ ἱκανοὶ ὠνήσασθαι
τὸν τῇ χειρὶ πάντα συνέχοντα.
Ἐὰν δὲ καὶ πωλήσῃς,
καὶ μὴ αὐτὸς θελήσῃ,
τίς ὁ τολμῶν κρατῆσαι;
τίς ἐπενέγκῃ τούτῳ χεῖρας,
ἐὰν μὴ συγχωρήσῃ ὡς Θεός;
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.
κ'. Πένης Ἠλίας ἐτύγχανε,
καὶ ὡς εὔπορος πυρὶ ἀνήλωσε
τοὺς ἐπ' αὐτὸν τότε ὁρμήσαντας,
πεντηκόνταρχον καὶ ἕτερον,
ἐπ' αὐτὸν τότε θαῤῥήσαντας.
Ἠλιοὺ γέγονεν ἀκράτητος,
καὶ Θεὸς Ἠλιοὺ καὶ Κύριος

inquis ambientibus venumdari sanguinem viventis et manentis. Quid pulchri non habuisti? Cuius boni non fuisti particeps? Quid tibi defuit? Cum terrestribus etiam superna cumulasti, et Deum tuum tradis! — Misericors, misericors, misericors esto nobis.

18. Quascumque opes portavisti, ipse tu thesaurus eras, quem non amisisti. Undique et semper dives, tu ipse manibus opes tenebas, et animo gerebas creatorem. Quid igitur tibi accidit, infelix, quod nunc ut mendicus perrexisti ad eos qui nihil tibi dare queunt. Quidnam tibi dabunt? Quid tibi offerent pro eo quem vendis? An cœlum et terram, an cum rebus universis totum orbem pro eo? — Misericors, misericors, misericors esto nobis.

19. Vade retro, demens, resipisce, vesaniam tuam compesce, audacem cohibe mentem tuam, tuos sensus frænare. Insani quoque vos, quandonam sapietis? Neque tu vales æstimare, neque penes illos est liceri eum qui manu cuncta continet. Quem si tu vendideris, ipse tamen noluerit, quis audebit eum tenere? Quis in eum manus immittet, nisi ipse permiserit, uti Deus? — Misericors, misericors, misericors esto nobis.

20. Pauper Helias fuit, et sicut locuples, igne consumpsit eos qui olim eum persecuti sunt, quinquagenarium ducem unum et alte-

18. ἔλιπες πάντοθεν ἧς πλούσιος ἐν χερσὶν ἔχων C. Intelligo de Christo, sed quem post sacram Eucharistiam Iudas secum portabat, quo thesauro a nullo fure nisi a se ipso spoliari poterat. Immo ubi ait : « manibus opes gerebas, » autumem respexisse melodum ad priscum morem sacra in palmis recipiendi, ut egregie titulus Augustodunensis : Ἰχθὺν ἔχων παλάμαις. — προσενέγκουσι et in sequenti tropario ἐπενέγκει C. Apud recentiores invaluit mos subjunctivo aor. tribuendi significatum futuri; de quo usu fatiscentis græcitatis plurimus, ut solet, Lobeck ad Phryn. p. 722. cf. Luc. XXIII, 31.

19. ἄφρων C. — ἀναχέτισον C. — φρονήσατε, dein δύνασαι cod. unde vis concionis infrangitur.

20. Ἠλιοῦ Suid. in gen. aut indeclin. Ἠλιοὺ, ut apud LXX et Hebræos. — Fortasse τῷ ἀναιδεῖ εὐκατακράτητος. « Et Deus Heliæ ac Dominus in impudentis manum *facile adigitur!* » — καὶ οὐδ' ὡς προφ. προδότης C. cod. Græci ὡς, latini *ut* fa-

τῷ ἀναιδεῖ εὐκαταφρόνητος!
Ὦ τῆς παραπληξίας!
Δοῦλος ἦν ὁ Ἠλίας
τοῦ νῦν πιπρασκομένου,
καὶ οὐ προφήτην ὁ προδότης
ἔσχε τὸν ποιητὴν τῶν προφητῶν.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κα΄. Ὅλον λαβὼν τὸν διάβολον,
ἑαυτὸν τοῦ κτίστου ἠλλοτρίωσεν,
αὐτὸς πωλῶν καὶ πιπρασκόμενος·
καὶ Χριστοῦ ξένος δεικνύμενος,
τοῦ ἐχθροῦ δοῦλος ἐγένετο·
ἔβλεπε τοὺς νεκροὺς βαδίζοντας,
ἤκουε τὰ φρικτὰ διδάγματα,
καὶ γέγονε τούτων ἀλλότριος·
κλείσας φιλαργυρίᾳ
ὦτα καὶ τὴν καρδίαν
καὶ τὸν νοῦν, ἀτενίσας
πρὸς Ἰησοῦ τὴν προδοσίαν,
ὅλως οὐ κατενόησε τὸ φῶς.
Ἵλεως ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κβ΄. Ἵλεως, ἵλεως, ἵλεως!
ποταπὸν ὁ μαθητὴς ὠλίσθησε,
καὶ ποταπὸν πτῶμα κατέπεσε.
ποταποῦ ὕψους ἐξέπεσε·
ποταπὸν κτύπον ἐποίησε.
Πρώην διάβολος μὲν ἔπεσε
ἀστραπῇ δείξας τὴν κατάπτωσιν·
αὐτὸν καὶ Ἰούδας ἐζήλωσε,
τῷ γὰρ Χριστῷ ἀντάρας,
καὶ ἀνιεὶς πρὸς κέντρα
τὰς βάσεις, συνετρίβη,
καὶ ἐν βαράθρῳ κατηνέχθη
ᾅδου, ἐκεῖ τοῦ κέρδους πληρωθείς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κγ΄. Ἦλθεν οὖν τρέχων ὁ ἄνομος,
καὶ φιλεῖ ἐν δόλῳ τὸν φιλάνθρωπον,
καὶ ἀναιρεῖ κατὰ διάνοιαν
τὸν βουλῇ πάθος ἑλόμενον,
καὶ ζωὴν πᾶσι δωρούμενον·

rum, in ipsum arrogantes. Helias cohiberi non valuit, et Heliæ Deus ac Dominus in impudentis ludibrium adductus est! Proh amentiam! Servus erat Helias illius qui nunc venumdatus est, et ne prophetam quidem proditor æstimavit prophetarum creatorem! — Misericors, misericors, misericors esto nobis.

21. Dum totum in se diabolum recepit, se a creatore abdicavit, venditor ipse simul ac venditus. Qui modo Christi hospes æstimabatur, adversarii mancipium factus est. Vidit mortuos ambulantes, audivit tremenda dogmata, et ab illis extorrem se fecit; clausis ob avaritiam auribus et pectore et mente, ad tradendum Iesum attentus, ipsam omnino non vidit lucem. — Misericors, misericors, misericors esto nobis.

22. O misericors, misericors, misericors! Quam fœde corruit iste discipulus, et quali lapsu cecidit! Quo de vertice præceps actus est, quali cum fragore! Prius quidem decidit diabolus, ut fulgur semet sternens. Istum quoque Iudas æmulatus est. Christo enim assurrexit, et adversus stimulos calcitrans, contritus est, et in abyssum inferni deiectus, ubi tandem lucri famem explevit. — Misericors, misericors, misericors esto nobis.

23. Cursu igitur venit impius, et cum dolo osculatur hominum salvatorem, ac ultro destruit eum, qui sponte pati elegit, vitam-

cile om. cave ne καὶ tollas, ut restituas οὐδ᾽ ὡς cf. ultim. cant.

21. τὸν νοῦν cod. om. Mox etiam Ἰησοῦ. — Unica dictione Ἵλεως ter repetita constare 13 versiculum, aure percipitur in clausula v. præcedentis φῶς, et aliis ὁμοτελεύτοις in tr. 1, 4, 19.

22. ἀστραπὴν C. Luc, X, 18. — ἀνιῶν C. plane ut vulgo : πρὸς κέντρα λακτίζειν, sicut Act. VIII, 5, immo et apud Pindarum, P. II, 95 : ποτὶ κέντρον δέ τοι λακτιζέμεν τελέθει ὀλισθηρὸς οἶμος. Cf. Aesch. *Agam.* 1207; *Prom.* 324. Possis servare vel ἀνιῶν, dum emendes βάσεσι συνετρίβη, vel etiam τὰς βάσεις, dum legas nobiscum ἀνιείς, quum ἀνιῶν vim activam non habeat. — ἐκεῖ τὸ κέρδος C.

23. ἐμάνθανεν scil. εἶναι, ut alias τυγχάνειν in Cant. VII, 19. — ζηλώσας οὐκ αἰσχύνῃ αὐτοῦ μανθάνων cod. — Participium cum αἰσχύνεσθαι vete-

πρόβατον τοῦ Χριστοῦ ἐμάνθανεν,
λύκος δὲ τῷ ποιμένι γέγονεν,
ὡς ἄγριος θὴρ ἀπερχόμενος.
Φίλημα νῦν προσφέρεις,
φίλημα ποῖον, ἄφρον;
φίλημα προδοσίας.
Καὶ τὸν ἐχθρὸν ζηλώσας, τούτου
οὐκ αἰσχύνῃ μανθάνων τὰς βουλάς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κδ'. Μεῖνον μικρὸν, ὦ πανάθλιε,
ἵνα ὄψει δίκην ἀμετάθετον·
τὸ συνειδός σου κατακρίνει σε,
ἵνα γνῷς ὅπερ ἐποίησας,
τῷ δεινῷ μόρῳ νεκρούμενος·
δένδρον σοι γίνεται ὡς δήμιος,
ἄξιον τὸν μισθόν σου φέρων σοι·
καὶ ποῦ σου τὸ χρῆμα, φιλόπλουτε;
. . . .
ἀλλὰ καὶ τοῦτο δώσεις,
καὶ σεαυτὸν οὐ σώσεις,
ὅτι προέδωκας ὃν εἶχες
πλοῦτον, τὸν τῆς ψυχῆς σου θησαυρόν.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κε'. Ἅγιε, ἅγιε, ἅγιε,
ὁ Θεὸς τῶν ὅλων, ὁ τρισάγιος,
τοὺς δούλους σου ῥῦσαι τοῦ πτώματος,
καὶ τὸ πλάσμα σου ἐλέησον
τοῦ φυγεῖν τοιοῦτον κίνδυνον.
Ταῦτα οὖν, ἀδελφοὶ, γινώσκοντες,
καὶ τὴν τοῦ πράτου πτῶσιν βλέποντες,
τοὺς ἑαυτῶν πόδας ἐρείσωμεν·
στήσωμεν οὖν τὰς βάσεις
ἐπὶ τὰς ἀναβάσεις
τῶν ἐντολῶν τοῦ κτίστου,
καὶ ᾅδου φύγωμεν τὴν τρίβον,
βοῶντες πρὸς τὸν λυτρωτὴν ἡμῶν·
Ἵλεως, ἵλεως, ἵλεως
γενοῦ ἡμῖν, ὁ πάντα ἀνεχόμενος,
καὶ πάντας ἐκδεχόμενος.

que omnibus largitus est. Ut ovis Christi fieret edoctus est, sed lupus gregi evasit, quasi fera indomita prosiliens. Osculum nunc profers, at quale osculum, insane? Osculum proditionis! Ipsum æmulatus hostem, haud erubescis eius discere consilia. — Misericors, misericors, misericors esto nobis.

24. Siste parumper, infelicissime, ut iudicium videas ineluctabile. Tua te conscientia damnat, unde scias quid feceris, sæva te morte interimens. Arbor tibi fit carnifex, dignam tibi mercedem ferens. Et ubi nunc tuum lucrum, divitiarum appetitor?. . . . . etiam istud rependes, neque te salvabis, quia tradidisti quas habuisti opes, ipsum animæ tuæ thesaurum. — Misericors, misericors, misericors esto nobis.

25. Sancte, sancte, sancte, universorum Deus, o ter sancte, servos tuos eripe a lapsu, creaturæ tuæ miserere, ut huiusmodi periculum evadat. Hæc demum, o fratres, moniti, venditoris spectantes casum, pedes nostros roboremus, nostra firmemus vestigia in gradibus mandatorum creatoris, et inferni fugiamus semitam, clamantes ad redemptorem nostrum : Misericors, misericors, misericors esto nobis, tu qui omnia sustines, et omnes amplecteris.

res solent eleganter consociare, ut Demosthenes ter in eadem periodo *pro Coron*. § 121 ed. Bremi, et alii passim.

24. ὄψῃ. De quo aoristo cf. Lobeck *ad Phryn*. p. 734. Ne te de enallage temporum nimium pigeat. — σοι φέρων cod. ubi quædam interturbari palam est, quum v. 9 evanuerit. cui vir solers et gnarus hoc modo supplevit : οὗ ἐμμανῶς ὀρέγῃ, neglecta συμφωνίᾳ, adhibitaque voce ὀρέγῃ, Romano tam rara quam trita illi sunt verba ποθεῖν, ἐπιποθεῖν, ἐπιθυμεῖν. Etiam cogitavi : οὗ ὁ ᾄδης πιμπλεῖται. — τὸν et σου cod. om. in v. penultimo.

25. Nazianzenum in θρήνοις juvit iterare ἵλαος, Romanum vero ter, forte ob triadem, ut aperte in hoc ult. trop. — τοιονδὶ κίνδυνον conjec. v. cl. optime pro metro, sed nullibi suffragante Romano, qui atticos lepores nimium exquisitos respuit. — Nota ἀναβάσεις *gradus*, pro ἀναβαθμούς. — καὶ τὴν τοῦ ᾄδου φύγωμεν C, dein βοῶντες, omisso ἡμῶν.

XIV.

CANTICUM DE VIRGINE JUXTA CRUCEM.

α΄. Τὸν δι' ἡμᾶς σταυρωθέντα,
δεῦτε πάντες, ὑμνήσωμεν.
Αὐτὸν γὰρ κατεῖδεν Μαρία
ἐπὶ ξύλου, καὶ ἔλεγεν·
Εἰ καὶ σταυρὸν ὑπομένεις,
σὺ ὑπάρχεις
ὁ υἱὸς καὶ Θεός μου.
β΄. Τὸν ἴδιον ἄρνα
ἀμνὰς θεωροῦσα
πρὸς σφαγὴν ἑλκόμενον,
ἠκολούθει Μαρία,
τρυχομένη,
μεθ' ἑτέρων γυναικῶν,
ταῦτα βοῶσα·
Ποῦ πορεύῃ, τέκνον;
τίνος χάριν τὸν ταχὺν
νῦν τελεῖς δρόμον;
Μὴ ἕτερος γάμος
πάλιν ἐστὶν ἐν Κανᾶ,
κἀκεῖ νυνὶ σπεύδεις,
ἵν' ἐξ ὕδατος αὐτοῖς
οἶνον ποιήσῃς;
συνέλθω σοι, τέκνον,
ἢ μείνω σε μᾶλλον;
δός μοι λόγον, Λόγε,
μὴ σιγῶν παρέλθῃς με,
ὁ ἁγνὴν τηρήσας με,
ὁ υἱὸς καὶ Θεός μου.

1. Pro nobis crucifixum,
venite omnes, celebremus.
Ipsum enim vidit Maria
affixum ligno, et aiebat:
« Tametsi crucem sustineas,
« tu es manifeste
« filius ac Deus meus. »
2. Suum ipsius agnellum
ut agna aspexit
ad cædem raptatum,
Maria sequebatur,
mœrore confecta,
cum cæteris mulieribus,
hæc lamenta edens:
« Quo vadis, fili?
« cur præcipitem
« nunc cursum agis?
« an forte aliæ sunt nuptiæ
« iterum in Cana,
« et huc properas,
« ut ex aqua illis
« vinum facias?
« tene comiter, fili,
« an te expectem potius?
« Da verbum mihi, o Verbum,
« ne silentio me prætermittas,
« qui castam servasti me,
« filius ac Deus meus.

Flebile Virginis iuxta crucem carmen est, amœnum tamen, haud pathetica quadam melodia, neque suavi εὐρυθμίᾳ destitutum, immo, ut sæpe apud Romanum, dramatica pompa ornatum et eleganti distinctum colloquii varietate. Inscribitur in taurin. κονδάκιον τῇ ἁγίᾳ καὶ μεγάλῃ ς΄, εἰς τὸ πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τοὺς θρήνους τῆς Θεοτόκου, φέρον | ἀκροστιχίδα· τοῦ ταπεινοῦ Ῥωμανοῦ. Sunt troparia 18, versusque 364, quorum 21 in singulis strophis post procemium. Præter 28 versus priores, anecdota omnia sunt, ex corsin. f. 89-81 et taurin. f. 172-175. Utinam ad manum sint mosquensis folia 273-277!

1. ἐπὶ τοῦ ξύλου edd.

2. ἡ ἀμνὰς C, T, edd. — νῦν δρόμον τελεῖς C. νῦν om. T, edd. — f. mel. πάλιν ἐν Κανᾷ ἐστιν. Sequimur codd. et edd. eum sæpe accentus sit ambiguus in peregrinis. Miror idem fere legi in vulgati Naz. *Christo patiente* v. 462 sqq. — κἀκεῖ νῦν T. — De elegantia συνέλθω σοι... ἢ μείνω cf. Herm. ad Viger. p. 742.

γ'. Οὐκ ἤλπιζον, τέκνον, * ἐν τούτοις ἰδεῖν σε, * οὐδ' ἐπίστευόν ποτε, * ὡς εἶδον τοὺς ἀνόμους * ἐκμανέντας, * καὶ ἐκτείναντας εἰς σὲ * χεῖρας ἀδίκως· * ἔτι γὰρ τὰ βρέφη * τούτων κράζει· Ὡσαννὰ, * εὐλογημένος! * Ἀκμὴν γὰρ βαΐων * πεπλησμένη ἡ ὁδὸς * μηνύει τοῖς πᾶσι * τῶν ἀθέσμων τὴν πρὸς σὲ * πανευφημίαν. * Καὶ τίνος οὖν χάριν * ἐπράχθη τὸ χεῖρον; * γνῶναι θέλω, οἴμοι! * πῶς τὸ φῶς μου σβέννυται, * πῶς σταυρῷ προσπήγνυται * ὁ υἱὸς καὶ Θεός μου.

δ'. Ὑπάγεις, ὦ σπλάγχνον, * πρὸς ἄδικον φόνον, * καὶ οὐδείς σοι συναλγεῖ. * Οὐ συνέρχεται Πέτρος, * ὁ εἰπών σοι· * Οὐκ ἀρνοῦμαί σέ ποτε, * κἂν ἀποθνήσκω. * Θωμᾶς ἔλιπέ σε, * ὁ βοήσας· Μετὰ σοῦ * θάνωμεν πάντες· * Οἱ ἄλλοι δὲ πάντες, * οἱ οἰκεῖοι καὶ υἱοὶ, * οἱ μέλλοντες κρῖναι * τάς σου δώδεκα φυλὰς, * ποῦ εἰσὶν ἄρτι; * οὐδεὶς ἐκ τῶν πάντων, * ἀλλ' εἷς ὑπὲρ πάντων * θνήσκεις, τέκνον, μόνος, * ἀνθ' ὧν πάντας ἔσωσας, * ἀνθ' ὧν πᾶσιν ἤρεσας, * ὁ υἱὸς καὶ Θεός μου.

ε'. Τοιαῦτα Μαρίας * ἐκ λύπης βαρείας * καὶ ἐκ θλίψεως πολλῆς * κραυγαζούσης, κλαιούσης, * ἐπεστράφη * πρὸς αὐτὴν ὁ ἐξ αὐτῆς, * οὕτω βοήσας· * Τί δακρύεις, μῆτερ; * τί ταῖς ἄλλαις γυναιξὶ * συναποφέρῃ; * πῶς τὸν Ἀδὰμ σώσω, * εἰ μὴ πάθω θάνω τε; εἰ μὴ οἰκῶν τάφον, * πῶς ἑλκύσω πρὸς ζωὴν * τοὺς ἐν τῷ ᾅδῃ; * καὶ μὴν, καθὼς οἶδας, * σταυροῦμαι καὶ θνήσκω. * Τί οὖν κλαίεις, μῆτερ; * μᾶλλον οὕτω κραύ-

3. « Haud putabam, fili, me visuram te « esse talia obeuntem, neque id tum crede- « bam, quum scelestos istos viderem effera- « tos, perfidas manus ad te suppliciter ten- « dentes. Adhuc enim eorum pueri clamant : « Hosannah! Benedictus! Adhuc oppleta pal- « mis via significat omnibus, ad te erupisse « etiam impiorum plausus. Curnam igitur « actum est multo sequius? Nosse volo, hei « mihi! quomodo lux mea extinguatur, quo « pacto cruci affigatur filius et Deus meus.

4. « Pergis, o viscera mea, ad iniustam « necem, ac nemo tibi condolet. Non comi- « tatur Petrus, qui tibi dixit : Non te negabo « unquam, etiamsi moriar! Thomas te reli- « quit, cum clamaverit : Tecum moriamur « omnes! Et cæteri omnes, domestici tui et « filii, iudicaturi tuas duodecim tribus, ubi- « nam sunt modo? Omnium ne unus quidem, « at tu tantum pro universis moreris solus, « fili, propterea quod omnes salvavisti, pro- « pterea quod satis pro omnibus fecisti, tu « filius ac Deus meus. »

5. Talia dum Maria præ nimio mœrore et ob graves ærumnas ederet lacrymabunda, conversus est ad eam eius natus, ita locutus : « Cur lacrymaris, o mater? Quid una cum « cæteris mulieribus mente excedis? Quo- « modo Adamum salvabo, nisi passus ac mor- « tuus? Ni tumulo inhabitem, quomodo ad « vitam exciebo iacentes in inferno? Pro- « fecto, ut novisti, cruci affigar, et morior. « Cur fles, o mater? Malim ut clames : Mor-

3. ἕως ὅτε τοὺς ἀν. ἐκμανῆναι καὶ ἐκτεῖναι ἐπὶ σοὶ T, haud ineleganter, sed contra rhythmum. — τοῦτο κράζωσίν σοι τό· εὐλ. T. — ἀκμὴν δὲ T. ἀκμὴν recentioribus est pro ἔτι, vetustioribus pro ἄρτι *cum maxime*, quod discrimen contra Suidam disputat Lobeck ad Phryn. p. 123. — τὰ χείρων θέλω γν. T.

4. σπλάγχνον. cf. Cant. 1. 3, tum iterum Pseudo Naz. *Christ. patient.* v. 593, 794. — ποτε. Matth. XIX, 18. — ἀλλ' ἀποθνήσκω C. — ἔλιπέ σε Θωμᾶς ὁ βοήσας μετ' αὐτοῦ T. — πάντες. Jo. XI, 16. — δὲ πάλιν T. — μέλλοντες κρίνειν T. — τὰς δώδ. C, T, f. mel. τὰς τοῦ ἰσραὴλ φυλὰς, deleto δώδεκα. — ἀνθ' ὧν. cf. CC. IX, 16, XVI, 9, 6.

5. καὶ κλαιούσης C, T. — f. συναποδύρῃ « una lamentaris » Cf. Luc. XXIII, 27. Sed alia laborant : sic enim pergunt : Εἰ μὴ πάθω, εἰ μὴ θάνω, πῶς σώσω τὸν Ἀδὰμ, εἰ μὴ τάφον οἰκήσω; Quæ omnia metri nostri legibus quomodo aptentur, dicere longum est. — καὶ μὴν, solemne est et concinnum, ut infra in trop. IX, v. 9, Cf. Viger. p. 529. Sed f. legendum : μὴ οἰκῶ, dein καὶ μή. — ἀδίκως σταυροῦμαι T, omisso καὶ θνήσκω. — μὴ οὖν κλαύσῃς T. — μᾶλλον τοῦτο T.

γασον· * Πόθῳ πάθος δέχεται * ὁ υἱὸς καὶ Θεός μου.

ς'. Ἀπόθου οὖν, μῆτερ, * ἀπόθου τὴν λύπην, * οὐ γὰρ πρέπει σοι θρηνεῖν, * ἡ κεχαριτωμένη * ὠνομάσθης· * τὴν οὖν κλῆσιν τῷ κλαυθμῷ * μὴ συγκαλύψῃς, * μὴ ταῖς ἀσυνέτοις * συμμετρήσῃς ἑαυτήν, * πάνσοφε κόρη· * ἐν μέσῳ ὑπάρχεις * τοῦ νυμφῶνος τοῦ ἐμοῦ, * μὴ οὖν, ὥσπερ ἔξω * ἱσταμένη, τὴν ψυχὴν * καταμαράνῃς· * τοὺς ἐν τῷ νυμφῶνι, * ὡς δούλους σου, φώνει· * πᾶς γὰρ τρέχων δρόμῳ * ὑπακούσει σου, σεμνή, * ὅταν εἴπῃς· Ποῦ ἐστιν * ὁ υἱὸς καὶ Θεός μου; *

ζ'. Πικρὰν τὴν ἡμέραν * τοῦ πάθους μὴ δόξῃς· * δι' αὐτὴν γὰρ ὁ γλυκὺς * οὐρανόθεν κατῆλθον, * ὡς τὸ μάννα, * οὐκ ἐν ὄρει τῷ Σινᾶ, * ἀλλ' ἐν γαστρί σου· * ἔνδοθεν γὰρ ταύτης * ἐτυρώθην, ὡς Δαυὶδ *. προανεφώνει· * Τί τετυρωμένον * ὄρος, νόησον, σεμνή, * ἐγὼ γὰρ ὑπάρχω, * ὅτι Λόγος ὢν, ἐν σοὶ * σὰρξ ἐγενόμην· * ἐν ταύτῃ οὖν πάσχω, * ἐν ταύτῃ καὶ θνήσκω· * μὴ οὖν κλαύσῃς, μῆτερ, * μᾶλλον οὕτω βόησον· * Θέλων πάθος δέχεται * ὁ υἱὸς καὶ Θεός μου.

η'. Ἰδού, φησί, τέκνον, * ἐκ τῶν ὀφθαλμῶν μου * τὸν κλαυθμὸν ἀποσοβῶν, * τὴν καρδίαν ταράττεις * ἐπὶ πλεῖον· * οὐ γὰρ δύναται σιγᾶν * ὁ λογισμός μου. * Τί μοι λέγεις, σπλάγχνον· * Εἰ μὴ πάθω, ὁ Ἀδὰμ * οὐχ ὑγιαίνει; * καὶ μὴν ἄνευ πάθους * ἐθεράπευσας πολλούς· * λεπρὸν γὰρ καθάρας, * σὺ οὐκ ἤλγησας οὐδέν, * ἀλλ' ἠθελήθης. * Παράλυτον σφίγξας, * οὐ κατεπονήθης· * Πηρὸν πάλιν λόγῳ * ὀμματώσας, ἀγαθέ, * ἀπαθὴς διέμεινας, * ὁ υἱὸς καὶ Θεός μου.

« tem ex amore recipit filius et Deus « meus.

6. « Dimitte igitur, mater, dimitte luctum. « Te enim lugere minus decet, quæ a gratia « cumulata nomen habes; quod ergo noli « gemitu contegere; noli te insciis connu« merare, sapientissima Virgo! In medio « manes thalamo meo : cave ne, ac si extra « iaceas, animam tuam tabefacias. Cunctos « in thalamum, sicuti tuos famulos, con« voca; cursu enim prosequetur te quisque, « o sacrata, ut primum dixeris : Ubi est fi« lius et Deus meus?

7. « Acerbam ne reputes hanc diem in « qua patior; propter hanc enim suavis ego « e superis descendi, sicut manna, haud « quidem in montem Sina, sed in uterum « tuum : in eo siquidem coagulatus sum, uti « David præfatus est. Quid sit coagulatus « mons intellige, augusta! Ego quippe sum, « qui Verbum cum essem, in te caro factus « fuerim. In qua igitur carne patior, in ea« dem et morior. Ne ergo fleas, mater, ve« rum malim exclames : Ultroneus pati vo« luit filius ac Deus meus. »

8. — « Ecce, inquit, o fili, ab oculis meis « dum fletus cohibes, cor meum eo magis « concutis, neque valet taceri meditatio mea. « Quid mihi dicis, viscera mea : Nisi patiar, « Adamo nulla sanitas? attamen sine dolore « tam multos sanasti. Leprosum mundasti, « nec doluisti, sed voluisti. Paralytico ner« vos firmans, non fatigasti. Cœcum rursus « verbo dum visu donasti, o bone, dolore « caruisti, filius ac Deus meus.

6. τὴν λ. ἀπ. T. — ὅτι κεχαρ. C, T. — τὸν κλαυθμὸν T. — ὁμοιώσῃς σεαυτὴν T, nec male. Cf. Cant. XI, tr. 1. — ἐμμέσῳ ὑπ. C. — πᾶς γὰρ τρ. τρόμῳ ὑπακούει T.

7. διὰ σοῦ γὰρ T. — μάννα νῦν κατῆλθεν T. — ὄρος. Ps. LXXVII, 16. — οἰκῶν ἐν ταύτῃ καὶ σώζω. τί οὖν κλάιεις μ. μ. κράξον ἐν χαρᾷ πόθῳ πάθος δέχ. T.

8. Vacuus manet in codice unius troparii locus, etsi vel acrostichidi perficiendæ nil omnino desit. Verum hic plura docto viro ἀσύνδετα sunt, cui aliud exordium placet : εἰ σύ, φησί, τέκνον.... τὸν κλαυθμὸν ἀποσοβεῖς. « Si tu, fili,... lacrymas cohiberi jubes. » Sane præstat ἀποσοβῶν T pro ἀποσοβῶ C. — καρδ. συντρίβῃς T. — σπλάγχνον. Cf. super. tr. 4, pro quo T τέκνον. — εἰ μὴ πάθῃς C, contra πάθω T, quod usum vett. melius refert. — λεπρόν, Luc. V, 12. Marc. 1, 40. — καθήρας καὶ T. — σὺ om. C, T. — ἐβουλήθης T. — παράλυτον

θʹ. Νεκροὺς ἀναστήσας, * νεκρὸς οὐκ ἐγένου, * οὐδ' ἠγέρθης ἐκ ταφῆς· * πῶς οὖν φῄς· Εἰ μὴ πάθω, * εἰ μὴ θάνω, * ὁ ταλαίπωρος Ἀδὰμ * οὐχ ὑγιαίνει; * Κέλευσον, καὶ ἤδη * ἐγείρεται, καὶ στεῤῥῶς * κλίνην βαστάζει. * Εἰ δὲ κατετέθη * ἐν τῷ τάφῳ ὁ Ἀδὰμ, * ὡς Λάζαρον πρώην * ἐξανέστησας φωνῇ, * οὕτω καὶ τοῦτον· * δουλεύει σοι πάντα, * ὡς κτίστῃ τῶν πάντων. * Τί οὖν τρέχεις, τέκνον; * μὴ ἐπείγου πρὸς σφαγὴν, * μὴ θελήσῃς θάνατον, * ὁ υἱός καὶ Θεός μου.

9. « Mortuos dum excitasti, haud mortuus es, nec surrexisti e tumulo : cur dixisti : Nisi patiar, nisi moriar, infelici Adamo nulla salus? Impera, et iam exsurgit, et lectum strenue portat. Etiamsi iacuerit in sepulchro Adamus, ut Lazarum paulo ante verbo excitasti, ita et istum. Tibi omnia serviunt, ut omnium conditori. Cur igitur, fili, properas? Noli festinare ad cædem, neu lubens moriare, filius ac Deus meus. »

ιʹ. Οὐκ οἶδας, ὦ μῆτερ, * οὐκ οἶδας ὃ λέγω· * διὸ ἄνοιξον τὸν νοῦν, * καὶ εἰσοίκισον ῥῆμα * ὃ ἀκούεις, * καὶ αὐτὴ καθ' ἑαυτὴν * νόει ὃ λέγω· * οὕτως ὃν προεῖπες * ὁ Ἀδὰμ, ὁ ταπεινὸς, * ὁ ἀῤῥωστήσας * οὐ μόνον τὸ σῶμα, * ἀλλὰ μᾶλλον τὴν ψυχὴν, * ἐνόσησε θέλων· * οὐ γὰρ ἤκουσεν ἐμοῦ, * καὶ κινδυνεύει. * Γνωρίζεις ὃ λέγω, * μὴ κλαύσῃς, ὦ μῆτερ, * μᾶλλον οὕτω κράζον· * Τὸν Ἀδὰμ ἐλέησον, * καὶ τὴν Εὔαν οἴκτειρον, * ὁ υἱὸς καὶ Θεός μου.

10. — « Haud nosti, o mater, haud nosti quod aio. Ideo mentem aperi, et recipe intus verbum quod audis, ac tecum ipsamet intellige sermonem meum. Sic ille quem modo nominasti, Adam ille humilis et infirmus, non corpore tantum, sed magis anima, sponte ægrotavit, me quippe non audivit, periculumque obiit. Percipis quod dico; ne plores, o mater, sed potius clama : Miserere Adami, et Evæ propitius esto, filius et Deus meus.

ιαʹ. Ὑπὸ ἀκρασίας * καὶ ἀδηφαγίας * ἀῤῥωστήσας ὁ Ἀδὰμ, * κατηνέχθη εἰς ᾅδου * κατωτάτου, * καὶ ἐκεῖ τὸν τῆς ψυχῆς * πόνον δακρύει. * Ἡ τάλαινα Εὔα, * τοῦτον ἐκδιδάξασα * τὴν ἀταξίαν, * σὺν τούτῳ στενάζει· * σὺν αὐτῷ γὰρ ἀῤῥωστεῖ, * ἵνα καὶ συμμάθῃ * τοῦ φυλάττειν ἰατροῦ * παραγγελίαν· * συνῆκας ὃ λέγω, * καὶ ἄρτι ἐπέγνως, * τί οὖν κλαίεις, μῆτερ; * μᾶλλον οὕτω κραύγασον, * ὅτι θέλων ἔπαθεν * ὁ υἱὸς καὶ Θεός μου.

11. « Ob intemperantiam et voracitatem Adamus æger factus, iacuit in inferno profundissimo, et ibi animæ suæ infortunium plorat. Eva etiam misera, quæ ipsum docuit rebellem esse, cum eo gemit; cum eo namque ægrotat, ut simul ediscat servare medici præceptum. Intellexisti quod aio, iamque edocta, cur igitur fles, o mater? Potius ita clama : Sponte passus est filius et Deus meus. »

ιβʹ. Ῥημάτων δὲ τούτων * ὡς ἤκουσε, τότε * ἡ ἀμώμητος ἀμνὰς * ἀπεκρίθη πρὸς ἄρνα· * Κύριέ μου, * ἔτι ἅπαξ εἰ λαλῶ, * μὴ

12. Verba hæc postquam audivit, tunc respondit intemerata ovis ad agnum : « Domine mi, si iterum loquor, ne mihi ira-

σφίγξας nervose semper Romanus. — δυνατὲ ἀπ. μεμένηκας T, electa varietate.

9. οὐδὲ ἐτέθης ἐν τάφῳ π. ο. λέγεις T. om. εἰ μὴ θάνω. — om. C στεῤῥῶς. — εἰ δὲ καὶ ἐν τάφῳ κατεχώσθη ὁ Ἀδὰμ ὡς λ. τάφου ἐξ. T. — ὡς πλάστῃ T. — μὴ φιλήσῃς θάν. T.

10. ᾧ λέγω T. — τὸ ῥῆμα C, T. — νόει ἃ λέγω οὗτος ὃν προειπὼν ὁ ταλαίπωρος Ἀδὰμ T. — οὕτως οὖν προειδὼς Ἀδὰμ C. — ἀλλὰ καὶ τὴν ψ. C. ἀλλὰ γὰρ τὴν ψ. T. — ἤκουσέ μου C, T. — ἐπέγνως ὃ λέγω T. — Εὔαν λύτρωσαι C.

11. ὑπὸ ἀσωτείας T. — ἕως ᾅδου C, T. — Εὔα δὲ ἡ τοῦτον διδάξασα τὴν ἀποταξίαν, C, multiplici notarii peccato, quibus hoc adde : ἵνα μάθωσι φυλάττειν ἰατροῦ παραγγελίαν συνῆκας κἂν ἄρτι, pro quibus T : ποτὲ τὴν ἀταξίαν... ἵνα μάθωσιν ἅμα τοῦ φυλάττειν

ὀργισθῇς μοι· * λέγω σοι ὃ ἔχω, * ἵνα μάθω παρὰ σοῦ * πάντως ὃ θέλω· * ἂν πάθῃς, ἂν θάνῃς, * ἀναλύεις πρὸς ἐμέ; * ἂν περιοδεύσῃς * σὺν τῇ Εὔᾳ τὸν Ἀδὰμ, * βλέπω σε πάλιν; * οὕτω γὰρ φοβοῦμαι, * μήπως ἐκ τοῦ τάφου * ἀναδράμῃς, τέκνον, * καὶ ζητοῦσα σὲ ἰδεῖν * κλαύσω, κράξω· Ποῦ ἐστιν * ὁ υἱὸς καὶ Θεός μου;

ιγ΄. Ὡς ἤκουσε ταῦτα, * ὁ πάντα γινώσκων * πρὶν αὐτῶν γενέσεως, * Μαριὰμ ἀπεκρίθη· * Θάρσει, μῆτερ, * ὅτι πρώτη με ὁρᾷς * ἀπὸ τῶν τάφων· * ἔρχομαι γὰρ δεῖξαι * πόσου σκότου τὸν Ἀδὰμ * ἐλυτρωσάμην, * καὶ πόσους ἱδρῶτας * ἔσχον ἕνεκεν αὐτοῦ· * δηλώσω τοῖς φίλοις, * τὰ τεκμήρια δεικνὺς * ἐν ταῖς χερσί μου, * καὶ τότε θεάσῃ * τὴν Εὔαν, ὦ μῆτερ, * ζῶσαν ὥσπερ πρώην, * καὶ βοήσεις ἐν χαρᾷ· * Τοὺς γονεῖς μου σέσωκας, * ὁ υἱὸς καὶ Θεός μου.

ιδ΄. Μικρὸν οὖν, ὦ μῆτερ, * ἀνέχου, καὶ βλέπεις * πῶς καθάπερ ἰατρὸς * ἀποδύομαι, φθάνων * ὅπου κεῖνται, * καὶ ἐκείνων τὰς πληγὰς * περιοδεύω, * τέμνων ἐν τῇ λόγχῃ * τὰ πωρώματα αὐτῶν * καὶ τὴν σκληρίαν· * λαμβάνω καὶ ὄξος, * καὶ αὐτῶν στύφω πληγήν· * τῇ μήλῃ τῶν ἥλων * ἐρευνήσας τὴν νομὴν, * χλαίνῃ μοτώσω· * καὶ μὴν τὸν σταυρόν μου * ὡς νάρθηκα ἔχων, * τούτῳ χρῶμαι, μῆτερ, * ἵνα ψάλλῃς συνετῶς· * Θέλων πάθος ἔλυσεν * ὁ υἱὸς καὶ Θεός μου.

« scaris. Dico tibi quod habeo, ut sciam a « te omnino quid optem; si passus, si mor- « tuus es, redibisne ad me? Si visitaveris « Evam simul et Adamum, tene iterum vi- « debo? hæc mea formido est, ne unquam a « sepulchro sursum excurras, o fili, ne quæ- « rens te videre, fleam, clamem : Ubi est « filius ac Deus meus? »

13. Audiens hæc, qui omnia novit antequam fiant, Mariæ respondit : « Confide, « mater, quod prima tu me videbis sursum « e sepulchris. Venio enim ut ostendam a « quanta nocte Adamum redemerim, et quot « sudores pro eo sustinuerim; quæ amicis « declarabo, certa ferens in manibus meis « argumenta; et ipsa tunc videbis, o ma- « ter, Evam priori vitæ restitutam, et cla- « mabis lætabunda : Parentes meos tu sal- « vasti, filius ac Deus meus.

14. « Modicum igitur, o mater, exspecta, « et vides quomodo medici instar accingor, « properans ubi iacent, ut eorum plagas vi- « sitem, et ope lanceæ dividam eorum callo- « sitates et duritiem; acetum quoque sumo, « et reduco vulnus eorum, et specillo clavo- « rum scrutatus ulcus, lænam ad saniem « immittam. Profecto cruce mea ut myro- « thecio utor, idque tibi præsto, mater, ut « ex animo psallas : Volens dolorem sustulit « filius ac Deus meus.

τοῦ ἰατρ. συνῆκας κἂν ἄρτι γνωρίζεις ἃ λέγω πάλιν, μῆτερ, κράξον τὸν Ἀδὰμ εἰ συγχωρεῖς, καὶ τὴν Εὔαν σύγγνωθι, haud indigna quæ serventur.

12. πρὸς τὸν ἀρνὸν C. — ἀρνὸς recentiorum est pro ἀρήν. — ἐὰν εἴπω C, T. — ὄντως ἃ θέλω T. — ἀναλύειν, *solvere* ancoram, est etiam vel *discedere* vel *regredi,* quo sensu Polybius IV, 68 : ἀνέλυε τὴν αὐτὴν ὁδὸν ἐν ᾗπερ ἧκε, « eadem qua venerat, reversus est via. » — περιοδεύῃς C. — post μήπως C tantum habet κλαύσω καὶ κράξω· ποῦ ἐστιν. omissa T supplevit.

13. γενέσ. αὐτῶν C, T. πρὸς Μαρ. T. — πρὸς τὴν Μαριὰμ C. — πρώτη. Post Ambrosium, alterum habes et priscum testem, B. Virgini Christum e tumulo primum apparuisse. — τὸν τάφον, ἐ. γ. σοι δ. T. — πόσοις πόνοις τὸν Ἀδ. T. — ὡς πρώην C. — μου ἔσωσεν T.

14. ἀνασχοῦ C, T contra rhythm. — καὶ φθάνω δ. κ. κἀκείνων τὰς ψυχὰς π. τέμνω τῇ λ. C. καὶ τούτων τὰς T. — τῇ σμίλῃ *unguento* T, prorsus inepte. — ἐρευν. τ. πληγὴν χλαίνῃ μοττόνων sic T. — νάρθηκα. Exquisita et rara melodus venatur, ut crucis honore dissimulato, cœlestem medicum exornet. Hic νάρθηξ ferula est, ex qua ad unguenta et pharmaca servanda capsulæ, ναρθήκια, olim fabrefiebant. Notum est ex Plutarcho in Alex. c. VIII, insertam fuisse in Darii tabernaculo capsulam id genus regiam, cui Alexander

ιε΄. Ἀπόθου οὖν, μῆτερ, * ἀπόθου τὴν λύπην, * καὶ πορεύου ἐν χαρᾷ, * ἐγὼ δι' ὃ κατῆλθον, * ἤδη σπεύδων, * ἐκτελέσαι τὴν βουλὴν * τοῦ πέμψαντός με· * τοῦτο γὰρ ἐν πρώτοις * δεδογμένον ἦν ἐμοὶ, * καὶ τῷ πατρί μου, * καὶ τῷ πνεύματί μου * οὐκ ἀπήρεσέν ποτε * τὸ ἐνανθρωπίσαι, * καὶ παθεῖν με διὰ τὸν * παραπεσόντα. * Δραμοῦσα οὖν, κόρη, * ἀπάγγειλον πᾶσιν· * ὅτι πάσχων πλήττει * τὸν μισοῦντα τὸν Ἀδὰμ, * καὶ νικήσας ἔρχεται * ὁ υἱὸς καὶ Θεός μου.

15. « Dimitte igitur, mater, dimitte luctum, et perge cum gaudio; ego propterea veni, en propero, ut faciam voluntatem eius qui misit me; illud enim in primis decretum mihi est, nec Patri meo, nec Spiritui meo displicuit, hominem me fieri, et pro lapso pati. Cursu igitur festinans, o Virgo, renuntia omnibus illud : Hic patiens vulnerat Adami osorem; ut qui vincat illum, vadit filius ac Deus meus.

ις΄. Νικῶμαι τῷ πόθῳ, * νικῶμαι, ὦ τέκνον, * καὶ οὐ στέγω ἀληθῶς, * εἶναι μὲ ἐν θαλάμοις, * σὲ ἐν ξύλῳ· * ἐν οἰκίᾳ εἶναι μὲ, * σὲ δὲ ἐν τάφῳ· * ἄφες οὖν συνέλθω, * θεραπεύει γὰρ ἐμὲ * τὸ θεωρεῖν σέ, * κἂν ἴδω τὴν τόλμαν * τῶν τιμώντων τὸν Μωσῆν· * ἐκεῖνοι γὰρ δῆθεν * ὡς ἐκδικοῦντες αὐτὸν, * κτεῖναι σὲ ἦλθον. * Μωσῆς δὲ τοῦτο * τῷ Ἰσραὴλ εἶπεν, * ὅτι μέλλεις βλέπειν * ἐπὶ ξύλου τὴν ζωήν. * Ἡ ζωὴ δὲ τίς ἐστιν; * ὁ υἱὸς καὶ Θεός μου.

16. — « Vincor amore, vincor, o fili, nec prorsus fero, in conclavi esse me, te in ligno; me domi, te in tumulo. Sine ergo te comiter; medela hæc mea est, te contemplari, etiam si videam audax facinus colentium Moysis legem. Eius quippe ut vindices, ruunt ad te occidendum. Moyses autem Israeli hoc prædixit : Tu olim videbis in ligno vitam. Vita autem qualis est? filius ac Deus meus.

ιζ΄. Οὐκοῦν εἰ συνέρχῃ, * μὴ κλαύσῃς ὡς μήτηρ, * μηδὲ πάλιν πτοηθῇς, * ὅταν ἴδῃς στοιχεῖα * σαλευθέντα· * τὸ γὰρ τόλμημα δονεῖ * πᾶσαν τὴν κτίσιν· * πόλος ἐκτυφλοῦται, * καὶ οὐκ ἀνοίγει ὀφθαλμοὺς, * ἕως ἂν εἴπω· * ναὸς τὸν χιτῶνα * ῥήξας, κράξει κατὰ τῶν * τοιαῦτα τολμώντων· * ἡ γῆ καὶ

17. — « Me igitur si comitaris, ne plora sicut mater, neque etiam stupe, quando videbis succussa elementa. Tantum enim facinus omnem movet creationem : cœlum cœco simile oculum pandere negat, donec ego loquar. Templum, disrupto velo, clamabit adversus tanta audentes. Terra cum

collecta Homeri et Aristotelis opera commisit. Inde ἡ ἐκ τοῦ νάρθηκος ἔκδοσις. Adisis Cic. de Fin. II, 7 : « Medicamenta illa tanquam de *narthecits* promunt. » Cf. Bœttiger *Sab.* I, p. 76, qui de nartheciis disseruit. Wolf. Prolegg. CLXXXII. Recole demum cant. VIII, 20, ubi crux cum cistula haud minus apte confertur, quæ non medicamenta, sed gemmas contineat. — τοῦτον γρ. C. τούτων T. — συν. πάσχων πάθος C, T.

15. Ἀπόθου τὴν λύπην, ὦ μῆτ. T. — ἐγὼ γὰρ C. — δι' ὃν T. — κατῆλθον δεῖ με ἐκτ. C. — ἐκ πρώτης T. — οὐθὲν τοῦ ἐν. C. — διὰ αὐτὸν T. — δραμοῦσα, ὦ μῆτερ T.

16. στέργω T. inde in utroque salebræ : ἵν' ἐγὼ μὲν (f. ex εἶναι μὲ) ἐν θαλάμοις (θαλάμῳ T.) σὺ δὲ ἐν ξύλῳ (εἶναι add. T.) ἵν' ἐγὼ (ἐγὼ μὲν T.) ἐν οἰκίᾳ, σὺ δὲ ἐν τάφῳ (μνημείῳ T.) ἄφες οὖν C, T. Quæ si tu diuturna mecum trutina expendas, concedis quæ emendari necesse fuit. — τοῦ θεωρεῖν C. σε κατεἴδω T. — ἐκείνου γὰρ δῆθεν οἱ τυφλοὶ κτεῖναι σὲ ἦλθον· Μωσῆς δὲ καὶ τοῦτο ita C, pro quibus T : αὐτὸν γὰρ ὡς δῆθεν ἐκδικοῦντες οἱ τυφλοὶ κτεῖναι σὲ θέλουσιν· Μωσῆς δὲ τούτῳ. Omnia lectori religiose permittimus, meliora recipimus, donec tertius saltem codex sedeat arbiter.

17. οὐκοῦν οὐ συν. μ. κλ. ὦ μῆτερ T. — ἐὰν ἴδῃς T. — τόλμ. βαρεῖ T. — καὶ οὐκ lege pro metro cum elisione. — τοὺς ὀφθαλμοὺς C. sequimur T cum vett. poetis apud Suidam αἰθέρος ὀφθαλμός. De luna Æschyl. S. 378 : νυκτὸς ὀφθαλμός. Inde alia series T : ἕως ἂν εἴπω· ἡ γῆ καὶ θάλασσα τότε σπ. φυγεῖν, ναὸς τ. χ. ῥήξει τότε κατὰ τῶν τοῦτο

ἡ θάλασσα τότε * σπεύσουσι φεύγειν, * τὰ ὄρη δονοῦνται, * οἱ τάφοι κινοῦνται· * ὅταν ἴδῃς ταῦτα, * ἐὰν πτήξῃς ὡς γυνὴ, * ἐμοὶ κρᾶξον· Φεῖσαί μου, * ὁ υἱός καὶ Θεός μου.

« mari certatim aufugient, montes quatien-
« tur, sepulchra excitabuntur. Hæc quando
« videris, si muliebri pavore pateris, ad me
« clama : Parce mihi, filius meus ac Deus
« meus. »

ιη΄. Υἱὲ τῆς παρθένου, * Θεὲ τῆς παρθένου, * καὶ τοῦ κόσμου ποιητά! * Σοῦ τὸ πάθος, σοῦ τὸ βάθος * τῆς σοφίας. * Σὺ ἐπίστασαι ὃ ἦς * καὶ ὃ ἐγένου. * Σὺ παθεῖν ἐθέλων, * κατηξίωσας ἐλθεῖν· * θέλων τοῦ σώζειν, * σὺ τὰς ἁμαρτίας * ἡμῶν ἦρας ὡς ἀμνός. * Σὺ ταύτας νεκρώσας * τῇ σφαγῇ σου, ὡς σωτὴρ, * σῶσον τοὺς πάντας. * Σὺ εἶς ἐν τῷ πάσχειν * καὶ ἐν τῷ μὴ πάσχειν. * Σὺ εἶς θνήσκων καὶ σώζων. * Σὺ παρέσχες τῇ σεμνῇ * παῤῥησίαν κράζειν σοι· * Ὁ υἱὸς καὶ Θεός μου.

18. O fili Virginis, Virginis o Deus, mundique creator! tua passio tua est altitudo sapientiæ. Tu nosti solus quod eras et quod factus es. Tu pati volens, dignatus es venire. Tu volens salvare nos, nostra peccata tulisti, ut agnus. Tu noxas necans tua nece, ut qui salvator es, salvos fac omnes. Tu unus es, sive patiaris, sive non patiaris. Tu solus moreris et salvas. Tu sanctæ Virgini fiduciam dedisti clamandi ad te : Filius meus ac Deus meus!

τολμ. τὰ ὄρη δονοῦνται, pergit : οἱ τάφοι καινοῦνται, ὅταν ἴδῃς ταῦτα et cætera quæ lacunam C restituunt, in quo : κινοῦνται, ὅταν εἴπῃς· ποῦ ἐστιν, nec plura.

18. βάθος Rom. XI, 33. — σὸν τὸ πάθ. C. — σὸν τὸ βάθος C, T. — θέλων C. ἠθέλησας, μὴ λιπὼν τοὺς οὐρανοὺς, ἦλθες ἐν κόσμῳ· σὺ τὰς ἁ. ἡ. ἦρες T. — ὦ σῶτερ ἔσωσας πάντας T. — οὐ εἶ ὁ θνήσκων C. σὺ εἶ θνήσκων, σῶσον T. Manum de tabula, dum notetur ultimo, singulas hujus epiphonematis acclamationes a pron. : σοῦ vel σὺ consulto ac nervose exultare.

XV.

CANTICUM DE PETRI NEGATIONE.

α΄. Ὁ ποιμὴν ὁ καλὸς,
ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς
ὑπὲρ τῶν προβάτων,
σπεῦσον, σῶσον,
ἅγιε, τὴν ποίμνην σου.

β΄. Τῶν φοβερῶν κυμάτων ἐπιλησθεὶς,
καὶ τῷ ῥητῷ τῆς κόρης ἀλλοιωθεὶς,
ὁ Πέτρος ἔλεγε· Χριστὲ, ὁ Θεὸς,
τῇ ζάλῃ βυθιζόμενος,

1. O pastor bone,
qui animam tuam ponis
pro ovibus tuis,
festina, salva,
o sancte, gregem tuum.

2. Horrendis se ereptum fluctibus immemor,
et verbo puellæ mutatus,
Petrus aiebat : « Christe, o Deus,
« procella immersus,

Satis amplum XV canticum totumque novum excurrit in XXIII troparia et versus nonaginta novem supra quadringentos, ex unico cod. corsinio, f. 91-94, in quo inscribitur : τῇ αὐτῇ ἡμέρᾳ εἰς τὴν ἄρνησιν τοῦ Πέτρου, ἦχ. πλδ΄ φέρον ἀκροστιχίδα· τοῦ ταπεινοῦ Ῥωμανοῦ αἶνος.

1. Brevis, concinna et ingenua de bono Pastore antistropha canam redolet antiquitatem.

2. ἐπιλησθεὶς pro ἐπιλαθόμενος, etsi intelligi queat de tempestate a Christo sedata, quum tamen dictio sit insolentior, vide an malueris ἐπιμνησθεὶς, ac si Petrus senserit se tam in procella

ἀναξίως ἐδειλίασα,
καὶ λόγῳ ἐρωτώμενος,
ἀρνήσει ὑποπέπτωκα,
ἀλλὰ δακρύων βοῶ σοι·
Σπεῦσον, σῶσον,
ἅγιε, τὴν ποίμνην σου.

« indigno pavore captus fui,
« ac verbo tantum interrogatus,
« negando cecidi.
« Flens autem ad te clamo :
« Festina, salva,
« o sancte, gregem tuum. »

γ'. Τὸν νοῦν ἀνυψώσωμεν,
τὴν φρένα πετάσωμεν,
τὸ πνεῦμα μὴ σβέσωμεν,
τῇ ψυχῇ διαναστῶμεν,
καὶ σπουδάσωμεν σχεδὸν συμπαθεῖν
τῷ ἀπαθεῖ.
Ἀφήσωμεν πάντα
λογισμὸν πολυμέριμνον,
καὶ προσκολληθῶμεν
τῷ ἐν σταυρῷ.
Ἄγωμεν πάντες, εἰ δοκεῖ,
ἅμα τῷ Πέτρῳ,
εἰς τοῦ Καϊάφα
τὴν τότε αὐλήν.
Βοήσωμεν Χριστῷ
τὰς τοῦ Πέτρου πάλαι φωνάς·
Κἂν ἐν ξύλῳ ἀνέλθῃς,
κἂν ἐν τάφῳ κατέλθῃς,
μετὰ σοῦ πάσχομεν, καὶ θνήσκομεν,
Σπεῦσον, σῶσον, καὶ κράζομεν·]
ἅγιε, τὴν ποίμνην σου.

3. Sursum mentem attollamus,
ingenii pandamus alas,
spiritum haud extinguamus,
anima enitamur ad sublimia,
ac fere unanimi studio æmulemur
condolere cum impassibili.
Mittamus omnem
multarum turbam sollicitudinum,
et adhæreamus
affixo in cruce.
Conveniamus omnes, si placet,
una cum Petro,
in illud quod Caiphæ
fuit olim atrium.
Christo clamemus,
qua olim voce Petrus :
« Etiam in lignum si ascenderis,
« etiam in tumulum si descenderis,
« tecum patimur, et morimur, et clamamus:]
« Festina, salva,
« o sancte, gregem tuum. »

δ'. Οὐ μάτην ἐμνήσθημεν * τοῦ Πέτρου, φιλόχριστοι, * ἀλλ' ἵνα ζηλώσωμεν * τὴν ἀγάπην τὴν τοῦ φίλου, * μὴ τὴν ἄρνησιν τοῦ ὄντως δειλοῦ * καὶ τὴν φυγήν. * Τῷ φίλτρῳ γὰρ Πέτρος * ὑπερζέσας τὸ πρότερον, * τῷ φόβῳ ἐσείσθη * μετὰ μικρόν. * Ὅμως δεξάμενος αὐτοῦ * τὴν προθυμίαν, * τῇ ταλαιπωρίᾳ * συνέγνω Χριστὸς, * εἰδὼς τὴν ἀσθενῆ * αὐτοῦ φύσιν καὶ ταπεινὴν, τὴν ἑκάστῳ ἀνέμῳ * καμπτομένην καλάμην, * τὴν

4. Nec frustra meminerimus Petrum, Christi amatores, sed ut dilecti imitemur charitatem, non eiusdem ignavi prorsus negationem et fugam. Vi enim amoris Petrus prius supra modum effervescens, post modicum tempus, pavore motus est. Attamen Christus, cui accepta est prompta eius voluntas, infortunio condoluit, probe sciens debilem illius et infimam naturam, arundinem omni vento agitatam, quæ semper a periculo refugit, et

quam coram ancilla fuisse ὀλιγόπιστον. Certa mihi est emendatio. — ἀξίως ἐδειλίασα, prorsus inepte cod.

3. In cod. prænotatur : πρὸς τό · τὰ ῥήματα τοῦ Χριστοῦ, ac si idem esset hirmus quam in superiori XII cantico; sed manifesto librarii sphalmate, quod ex tota amborum hymnorum fabrica deprehenditur. — εἰς τὴν τοῦ Καϊάφα τότε αὐλὴν C. — Nisi obstarent duo aut tria troparia, v. antepenultimus in hexasyllabum et octosyllabum apte divideretur.

4. τὴν om. C ante τοῦ φίλ. — μὴ egregie pro ἵνα μὴ τὴν ἄρν. — καλάμην. Cf. Job XIII, 25; Matth. XI, 7.

ἀεὶ φεύγουσαν τὸν κίνδυνον, καὶ κράζουσαν· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ε'. Ὑμεῖς οὖν, φιλήκοοι, * τοῦ Πέτρου ἀκούσαντες, * τὰ ὦτα πετάσωμεν, * καὶ τοῖς τοῦ Εὐαγγελίου * ἐπακούσωμεν ῥητοῖς καὶ αὐτοῖς * δῶμεν τὸν νοῦν· * φησὶ γὰρ Ματθαῖος, * ἐν τῇ βίβλῳ διέγραψε· * Μετὰ τὸ δειπνῆσαι, * εἶπε Χριστός· * Τέκνα μου, φίλοι μαθηταὶ, * τῇ νυκτὶ ταύτῃ, * ἀρνεῖσθε μὲ πάντες, καὶ φεύγετε μέ. * Καὶ ὁμοθυμαδὸν * ἐκπλαγέντων, Πέτρος βοᾷ· * Καὶ εἰ πάντες ἀρνοῦνται, * ἀλλ' ἐγὼ οὐκ ἀρνοῦμαι. * Μετὰ σοῦ ἔσομαι, καὶ ᾄσομαι, καὶ κράζω σοι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ς'. Τί λέγεις, διδάσκαλε, * ὁ Πέτρος ἀντέφησεν; * ἐγὼ σὲ ἀρνήσομαι; * ἐγὼ λείπω σὲ, καὶ φεύγω; * καὶ οὐ μνήσκομαι τῆς κλήσεως σοῦ * καὶ τῆς τιμῆς; * Ἀκμὴν ἐνθυμοῦμαι, * πῶς τοὺς πόδας μου ἔνιψας, * καὶ λέγεις· ἀρνοῦμαι * σὲ, λυτρωτά; * ἔτι λογίζομαι, σωτὴρ, * πῶς τὸν νιπτῆρα * προσῆλθες βαστάζων * τοῖς ἴχνεσι μοῦ, * ὁ φέρων τὴν ξηρὰν, * καὶ κατέχων τὸν οὐρανόν· * ταῖς χερσὶν, αἷς ἐπλάσθην, * νῦν τοὺς πόδας ἐπλύθην, * καὶ σὺ βοᾷς, ὅτι σκανδαλισθεὶς οὐ κράζω σοι· * Σπεῦσον, σῶσον * τὴν ποίμνην σου;

ζ'. Ἀκμὴν, ἀναμάρτητε, * ἀκμὴν, ἀτελεύτητε, * τὸν νόστον τοῦ δείπνου σου * ἐν τῷ στόματί μου ἔχων, * οὐκ αἰσχύνομαι ἀρνήσασθαι σοῦ * τὴν δωρεάν; * Ἢ γένωμαι, οἴμοι! * προδότης ὁ μύστης σου; * Καλὸν τὸ θανεῖν με, * μᾶλλον ἢ ζῆν, * εἴπερ λανθάνω ἀληθῶς * τοῦ μυστηρίου, * οὗ οἶδα, καὶ εἶδον, * καὶ πάλιν ὁρῶ· * συμφέρει γὰρ

clamat : « Festina ad salvandum, o sancte, « gregem tuum. »

5. Vos igitur, strenui auditores, qui audivistis Petrum, expandamus aures, et Evangelii verba recolamus, mentemque illis præbeamus. Ait enim Matthæus, in libro quem scripsit : « Postquam cœnatum est, dixit « Christus : « Filii mei, cari discipuli, hac « nocte, me negatis omnes, et fugitis me. » Quibus turbatim expaventibus, Petrus clamat : « Etiamsi negant omnes, ego vero non « nego. Tecum ero, et cantabo, et clamabo « tibi : Festina, salva, o sancte, gregem « tuum. »

6. « Quid ais, magister, reposuit Petrus? « Ego te negabo? Ego te desero et fugio, « neque memor sum a te esse mei vocatio« nem et honorem? Adhuc mecum cogito, « quomodo pedes mihi ablueris; et tu dicis « negaturum me esse te, o redemptor? Ad« huc considero mecum, o salvator, quomodo « accesseris, pelvim afferens ad pedes meos, « tu qui aridam sustines, continesque cœlum; « istisque manibus, quæ me confinxerunt, « nunc pedes ablutus sim; et tu effaris, fu« turum esse offensioni te mihi, non amplius « clamanti : « Festina ad salvandum, o « sancte, gregem tuum?

7. « Adhuc, innocentissime, adhuc, sem« piterne, convivii tui dulcedinem in ore meo « habens, non erubescam donum negare « tuum? Mihi ne fiat, væ mihi! ut traditor « sim, ego tuus sacerdos? Præstat mori longe « quam vivere, si me unquam fugiat myste« rium quod agnovi, quod vidi, quod ite« rum intueor; namque mihi præstat vi-

5. φησὶ.... διέγραψε vix notanda temporis varietas, quam toties deprehendimus, Cf. Matth. XXVI, 34, 35. f. leg. ἣν ἔγραψε vel ἐν ᾗ βίβλῳ. — ἀρνεῖσθαί με C. qui iterum με om. add. autem πάντων ante ὁμοθυμαδόν.

6. σὲ λείπω C. — ἀκμὴν iterum nota cum ἔτι, eodemque sensu, ut in tr. 7 et supra cant. XIV, 3. — σὺ om. C ante βοᾷς, et habet : σκανδαλίζομαι καὶ οὐ κράζω σπ.

7. ἔχω, οὐκ αἰσχύνομαι C. — εἰ γένομαι C. —

ἐμοὶ, * πρὸς τὸν ᾅδην ζῶντα δραμεῖν *. Κολληθῇ μοῦ ἡ γλῶσσα * ἄρτι τῷ λάρυγγί μου, * ἐάν σε ψεύσωμαι, ἢ παύσωμαι τοῦ κράζειν σοι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

η'. Πρὸς ταῦτα τὰ ῥήματα * ὁ πλάσας τὰ σύμπαντα * τῷ Πέτρῳ ἀντέφησε· * Τί οὖν λέγεις, φίλε Πέτρε; * οὐκ ἀρνήσῃ μὲ, οὐ φεύγεις ἐμὲ, * οὐ καθελεῖς; * κἀγὼ τοῦτο θέλω· * ἀλλ' ἡ πίστις σου ἄστατος, * καὶ οὐκ ἀντιβαίνεις * τοῖς πειρασμοῖς· * μέμνησαι πῶς παρὰ μικρὸν * κατεποντίσθης, * εἰ μὴ τὴν παλάμην * σοὶ ἐπέδωκα· * ἐπέζευσας σὺν μοὶ * ἐν θαλάσσῃ, ὥσπερ κἀγὼ, * ἀλλ' εὐθέως ἐσείσθης, * καὶ ταχέως ἐσχίσθης· * λοιπόν σε ἔφθασα, καὶ κράζοντα καὶ λέγοντα· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

θ'. Ἰδοὺ καὶ νῦν λέγω σοι, * ὅτι πρὶν ἀλέκτορα * φωνῆσαι, τρὶς ψεύσῃ με· * καὶ ὡς κύματα θαλάσσης * περικλύζει καὶ βυθίζει τὸν νοῦν, * τρίτον ἀρνῇ. * Καὶ τότε μὲν κράξας, * νῦν δὲ κλαύσας, εὑρήσεις με, * οὐ χεῖρά σοι δόντα, * καθὼς τὸ πρίν· * ταύτῃ γὰρ κάλαμον λαβὼν, * ἄρχομαι γράφειν * συγχώρησιν πᾶσι, * τοῖς ἐκ τοῦ Ἀδάμ. * Ἡ σάρξ μου ἡ ἁγνὴ, * ὥσπερ χάρτης γίνεται μοὶ, * καὶ τὸ αἷμά μου μέλαν, * ὅθεν βάπτω καὶ γράφω, * νέμων τὴν δωρεὰν ἀδιαδόχως κράζουσι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

« vum ad inferna currere. Adhæreat nunc « lingua faucibus meis, si te fallam, si desinam ad te clamare : Festina, salva, o sancte, gregem tuum. »

8. Ad hæc verba, rerum omnium creator ita Petro respondit : « Quid ergo faris, dilecte Petre? Tu me non negabis, non fugies, non depones? Et ego velim hoc : est « vero fides tua caduca, neque obsistis tentationibus. Memento quomodo fere in mare « mersus fueris, nisi manum tibi porrexissem. Ambulavisti mecum, ut egomet, in « æquore, sed cito emotus es, et subito disiectus. Porro adfui promptus tibi, et clamanti et aienti : Festina ad salvandum, o « sancte, gregem tuum. »

9. Ecce nunc etiam dico tibi : « Priusquam « gallus vocem dederit, ter in me peierabis; et quum maris fluctus ambierint et « merserint animum, ter negabis. Tunc « vero ad me dato clamore, nunc autem « flens, invenies me, non manum tibi dantem, ut antea; manu quippe sumens calamum, scribere incipio veniam omnibus ex « Adamo natis. Hæc mea purissima caro veluti charta fiet mihi; hic sanguis meus, « atramentum; unde hauriens ego scribam, « gratiæ dona continuo dividens clamantibus : Festina ad salvandum, o sancte, gregem tuum. »

λανθάνω ἀληθῶς : latens detege Romani acumen, ἀληθὴς ab λανθάνω expiscantis. — καὶ ἴδον C. — λάρυγγί μου. Ps. CXXXVI, 6.

8. Ob vocem θέλω, more Romani, proxime appositam placet καθελεῖς. καθελῶ pro καθαιρήσω frequens mutatio est τοῖς ο', ut ps. XXVII, 7, et in N. T. Luc. 1, 52. καθετεῖς cod. portentose, f. pro καταθεῖς *contradicis*. — ἐπέδωκά σοι C. — σὺν ἐμοὶ id. — καὶ λοιπὸν ἔφθασά σε κρ. C.

9. Hiante licet acrostichide, eo minus putem quidquam deesse in hoc continuo sermone, quod ει uno iota exprimi soleat. — περικλύζων καὶ βυθίζων, quod facile torquebit oblitum vecordiæ novissimorum notariorum, qui fortasse emendandi pruritu barbare dixerunt in plurali περικλύζουν καὶ βυθίζουν, unde altera corruptela, quam recipi nefas. Ubique præsens esse pro futuro, omnino penes melodos est; lex enim rhythmi omnia dominatur. Exaggerata de fluctibus metaphora, ut biblica est, sponte fluit e superioribus. Cf. Ps. XLI, 8; LXVIII, 2, 3. — De νῦν δὲ, præmisso τότε, cf. Viger. p. 426, et cant. 1, 19. — πάλιν cod. Tam apte ac liberaliter suggessit vir amicus μέλαν, illi ut non assentire, nec plaudere nequiverim. In sequentibus statim arrisit : ὅθεν βάπτω καὶ γράφω, oportuit enim recedere ab illa codi-

ι'. Νῦν ὅτι μοι ἔφησας, * ὁ Πέτρος ἐβόησε, * νῦν ὅτι μοι ἔδειξας, * ὅτι τρίτον σε ἀρνοῦμαι, * ἐμφανίσω σοι κἀγὼ τὴν ἐμὴν * γνώμην, σωτήρ. * Εἰ γὰρ καὶ γινώσκεις, * πρὶν εἰπεῖν με, φιλάνθρωπε, * ἀλλ' ὅμως δηλῶ σοι * ἅπερ φρονῶ· * ἐπὶ ἀγγέλων καὶ βροτῶν, * καὶ σοῦ τοῦ κτίστου * τῶν ἄνω καὶ κάτω, * νῦν ὁμολογῶ· * κἂν δεῖ με νῦν θανεῖν, * οὐκ ἀρνοῦμαι σέ, λυτρωτά, * μετὰ σοῦ θέλω ζῆσαι, * μετὰ σὲ δὲ μὴ ζῆσαι· * διὰ τί βλέπω γὰρ τὸν ἥλιον, μὴ κράζων σοι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου;

ια'. Ὁ Πέτρος μὲν πρόθυμος, * ὡς φίλος ἐπίσημος· * ὁ πλάστης δὲ ἕτοιμος * βοηθῆσαι πάλιν Πέτρῳ, * ὡς εἰδὼς αὐτοῦ τὸ ὀλισθηρὸν * καὶ τὸ θερμόν. * Τοιαῦτα δὲ λέξας * καὶ ἀκούσας ὁ Κύριος, * ἐπείγετο θέλων * πρὸς τὸ παθεῖν, * ὑπὸ ἀνόμων κρατηθείς, * ὡς ἐβουλήθη, * ὑπὸ τοῦ Ἰούδα, * ὡς οἶδε, πραθείς· * καὶ εἰσῆλθε, εἰς τὴν * Καϊάφα τότε αὐλήν· * ἠκολούθει δὲ Πέτρος, * ἵνα ἴδῃ τὸ τέλος, * καὶ ἰδὼν ἔπτηξεν, ἐτρόμασεν, ἐκραύγασε· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιβ'. Ὑπὸ διαθέσεως * πολλῆς ὁ ἀπόστολος * τῷ ὄχλῳ συμπλέκεται, * καὶ εἰσέρχεται σπουδαίως· * καὶ γενόμενος ἐντὸς τῆς αὐλῆς, * βλέπει ἐκεῖ * τὸ πῦρ δεδαιμένον, * τὸν χορὸν προκαθήμενον, * Χριστὸν παρεστῶτα * τῷ ἱερεῖ· * καὶ μὴ βαστάσας τὸ κακόν, * ἤδη δακρύει, * καὶ τύπτει τὸ στῆθος, * καὶ λέγει σιγῇ· * Δεδέσμευσαι, Χριστέ, * καὶ ἀνέχῃ, καὶ καρτερεῖς· * ἐνεπτύσθης τὴν ὄψιν, * ὥπερ κρύπτει τὰς ὄψεις * χερουβείμ, τρέμοντα καὶ φρίττοντα καὶ

10. « Nunc quoniam mihi testatus es, retulit Petrus, quoniam mihi nunc revelasti ter me negaturum esse te, meam quoque tibi mentem expandam, salvator; etiamsi id scias, priusquam eloquar, o hominum amator, nihilominus manifestabo tibi quæ sentio: coram angelis et mortalibus, et coram te, creator supernorum et infernorum, nunc confiteor : Etiamsi oporteat me mori, non te negabo, redemptor, tecum volo vivere, haud vero vivere post te. Ut quid enim solem hunc videam, quin ad te clamem : Festina, salva, o sancte, gregem tuum? »

11. Petrus quidem alacri animo erat, ut insignis amicus; paratus autem erat conditor, ut Petro propitius adesset, utpote eius videns lubricam et fervidam indolem. Hæc postquam dixisset Dominus et audivisset, properabat ad patiendum, ab impiis haud aliter superatus quam voluit, ab ipso Iuda, ut censuit, venditus. Et venit in atrium Caïphæ : sequebatur autem Petrus, ut videret finem. Et vidit, horruit, tremuit, exclamavit : « Festina, salva, sancte, gregem tuum. »

12. Angustia in multa, apostolus media turba involvitur, et procedit animose; ac perveniens intra vestibulum, videt ibi focum accensum, turbam circum positam, Christum pontifici astantem; nec ferens hoc piaculum, statim lacrymatur, et pectus percutit, et clam ait : « Ligatus es, o Christe, et pateris « et sustines! Sputo vultus squallet, ad quem « facies cherubim occultant, tremuntque ac

cis scriptura : βαπτίζω καὶ γράφω, δωρεὰν νέμων ἀδιάδοχον κράζουσι.

10. ἐπὶ iam vidimus esse *coram*. Hic quasi iuramenti vim addit ac testimonii, sacris præsentibus, cœlestium et terrestrium, ἐπὶ ἀγγέλων καὶ βροτῶν, fere ut notat Viger. p. 615, VIII.

11. ὑπὸ Ἰούδα, ὡς οἶδεν, πραθεὶς καὶ ἦλθεν εἰς τὴν τοῦ Καϊάφα C. Emendationi adde, cum satis otiosum videatur illud Καϊάφα τότε αὐλήν, legi posse cum Evangelio : τοῦ ἀρχιερέως αὐλήν, sensu et metro simul perfectis. — ἐτρόμασεν pro ἐτρόμησεν cod. constanter, ut cant. III, 5, XIII, 3.

12. ὑποδιαθέσεως liquido codex una voce, quid istoc velit? An fortasse ὑπὸ δειλιάσεως « præ multo timore? » — δεδεμένον καὶ τὸν χόρτον καθίμενον cod. ex ἰωτακιζόντων vecordia, quibus idem insonuit δεδεμένον et δεδαιμένον a δαίω. Ne autem foco *soluto* fenum *stratum* adiiciatur, necesse fuit χόρ-

λέγοντα· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιγ΄. Ῥαπίζῃ, διδάσκαλε, * καὶ ζῶ, καὶ προσέχω σοι; * ὑβρίζῃ, φιλάνθρωπε, * καὶ ὁρᾷ ἡ γῆ, καὶ στέγει, * καὶ οὐ σχίζεται τοῦ καταπιεῖν * τοὺς ἀπειθεῖς; * ἐμπαίζῃ, καὶ βλέπων * οὐρανὸς οὐχ ἑλίσσεται, * οὐκ ἀγανακτοῦσιν * οἱ ἐν αὐτῷ; * καὶ οὐ θυμοῦται Μιχαὴλ, * σοῦ ῥαπισθέντος, * καὶ καίει καὶ φλέγει * τοὺς ἐπὶ τῆς γῆς; * καὶ στέγει Γαβριὴλ, * καὶ οὐ φλέγει τοὺς τολμηρούς; * εἰ καὶ πᾶσαι δυνάμεις * αἱ τῶν ἄνω σιγῶσιν, * ἀλλ' ἐγὼ πλήττομαι, καὶ φύρομαι, καὶ κράζω σοι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιδ΄. Ὡς ταῦτα δὲ ἔφησεν, * ὀλίγον ἡσύχασε, * καὶ ὑπὸ ἐκπλήξεως * συσχεθεὶς, διὸ προεῖπεν· * ἀλλ' ἐξαίφνης ὁ σιγήσας καλῶς * ἔφη κακῶς, * ἵνα ἀληθεύσῃ * ὁ Χριστὸς, ἡ ἀλήθεια, * καὶ γένηται ψεύστης * πᾶς γηγενής. * Τί οὖν ἐροῦμεν, ἀδελφοὶ, * ὅτι ὁ Χριστὸς * ἵνα ἀληθεύσῃ, * ἀρνεῖται Κηφᾶς; * μὴ γένοιτο, ἵν' ὡς * ἐγὼ εἴπω περὶ Χριστοῦ· * ἀλλ' ἵν' ὄντως βοήσω, * ὅτι πάντα προβλέπει, * καὶ δηλοῖ πάντα, καὶ προασφαλίζει κράζοντας· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιε΄. Μικρὸν οὖν ἡσύχασεν * ὁ Πέτρος, ὡς ἔφημεν, * ὀλίγον ἐπαύσατο * ἀπὸ τῆς ἀδημονίας, * καὶ ἐκάθητο ἐντὸς τῆς αὐλῆς, * σύννους, στυγνός. * Παιδίσκη δὲ μία * τοῦτον περιεβλέπετο, * καὶ περιεκύκλου * τὸν

« trepidant, et aiunt : Festina, salva, sancte, gregem tuum.

13. « Virga cæderis, magister, et ego vivo, « tibique attendo! Vituperaris, o hominum « amator, et videt terra, et tolerat, nec finditur ad devorandum impios! Illuderis, et « cœlum testis non convolvitur, neque indignantur eius incolæ! Haud irascitur Michaël, dum flagellaris, neque urit et « consumit habitantes orbem! Et æquo fert « animo Gabriel, neque inflammat insultantes! Etiamsi omnes supernæ virtutes sileant, ast ego stupefio, et confundor, et « exclamo tibi : Festina, salva, sancte, gregem tuum. »

14. Hæc locutus, parumper quievit, et præ stupore coactus, ideo loqui cœperat. Sed repente qui silebat probe, prave effatus est, ut verus ostenderetur Christus, ipsa Veritas, mendaxque fiat omnis homo. Quid igitur dicemus, fratres? Siccine, ut Christus verus asseratur, Cephas eum negat? Absit ut ita de Christo loquar! Sed ut iure contester, quod ipse omnia prospicit, et significat omnia, et præmunit sic invocantes : « Festina, salva, sancte, gregem tuum. »

15. Paulisper igitur supersedit Petrus, uti diximus; aliquandiu respiravit ab angore, et sedit intus atrium, cogitabundus, mœstus. At ancilla una ipsum circumspicere, in gyro obsidere, discipulum scrutari sursum et deor-

τον in χορὸν mutare, etiam tonico id exigente accentu, et suadentibus Luc. XXII, 55; Ioan. XVIII, 18.

13. Καὶ βλέπει ὁ οὐρανὸς καὶ οὐχ ἑλίσσεται καὶ C. οὐκ ἀγαν. C. — καὶ καίει. Sic cod. Veteres, qui negationem iterant, ut nos, dixissent καὶ οὐ καίει, at non ita seriores, a quibus sæpenumero, ut a melodis, negatio omittitur. Cf. Iac. III, 14; II, Cor. XII, 21 etc. Iacobs in Ælian. *Animal.* II, 182; Boissonade ad Nicet. p. 390. — τῆς om. cod. ante γῆς. — πᾶσαι αἱ δυν. C. — καὶ καίει cod. C. Nescio an hic, ob perpetuam seriem non sit legendum καὶ οὐ καίει, ut supra καὶ οὐκ ἀγανακτοῦσιν, jam non læso metro, si duriuscula elisio liceat, a qua etiam delicatuli poetæ non refugiunt, cum Nazianzenus, ludendo fortasse, cecinerit ab initio ad Seleucum v. 1, 2 : χαίρειν κελεύω τὸν καλόν τε κἀγαθὸν υἱὸν Σέλευκον.

14. Art. ante Χριστὸς om. reposui, ut infra ὅτι ὁ Χρ. — ἵν' οὕτως εἴπω C. ὥς pro οὕτως melodo placet. Cf. infra trop. 18. — καὶ δηλοῖ καὶ προασφαλίζεται τοὺς κράζοντας C.

15. ἔνδον τῆς C. περιεκύκλου. Cum cætera verba exquisita et apte posita, tum etiam vox ista περιεκ. graphicam non dedecet lepidamque scenam, sed vix latino interpreti obviam. cf. Iob. XIX, 12, ubi

μαθητὴν, * ἄνω καὶ κάτω ἀκριβῶς, * καὶ καταγνοῦσα, * καὶ καταλαβοῦσα * βοᾷ πρὸς αὐτόν *· Καὶ σύ ποτε σὺν τῷ * Γαλιλαίῳ ἦσθα σαφῶς. * Ὁ δὲ Πέτρος πρὸς ταύτην· * Οὐ γινώσκω τίς ἐστιν· * ἀγνοῶ ἄνθρωπον, ὃν κηρύττουσιν, κράζοντες· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιϛ΄. Ἀφῆκας, ἀπόστολε, * ταχέως τὸ κράτημα, * καὶ κόρη σε ἔρρηξεν· * ἀλλ' ἀνάστα, καὶ ἐξάλλου, * καὶ ἀνάλαβε τὴν πρώτην ἰσχὺν, * ὡς ἀθλητής· * οὐκ ἔχεις τὴν πάλην * πρός τινα δυνατώτερον. * Καὶ πῶς κατηνέχθης * λόγῳ ψιλῷ; * κόρη προσῆλθέ σοι μικρὰ, * ἥτις καὶ τάχα * ψελλίζουσα εἶπεν, * ἃ εἶπεν πρὸς σέ· * καὶ σὺ ὥσπερ βρυγμὸν, * κατεδέξω τὸν ψελλισμόν· * ἀπεκρίθης πρὸς ταύτην· * Οὐ γινώσκω τὸν ἄνδρα, * ἀγνοῶ ἄνθρωπον, ᾧ λέγουσιν οἱ κράζοντες· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιζ΄. Νομίζων ὁ δίκαιος * ὅτι τὸ κοράσιον * τοῖς ἔσω προβέβλητο, * τὴν αὐλὴν καταλιμπάνει, * καὶ προκύψας τῷ πυλῶνι αὐτῆς, * πίπτει κἀκεῖ. * Παιδίσκη γὰρ ἄλλη * προσελθοῦσα, ὡς γέγραπται, * τοῖς ἐμμαινομένοις * οὕτω βοᾷ· * ὅτι καὶ οὗτος ὁ ἀνὴρ * τῷ Ναζωραίῳ * συνῆν, ἔστι δῆλον. * Καὶ πρὸς ταῦτα δὲ * Κηφᾶς ἠμείψατο * ἐκπλαγεὶς καὶ θορυβηθείς· * Οὐ γινώσκω τὸν ἄνδρα, * οὐκ ἐπίσταμαι τοῦτον, * ἀγνοῶ ἄνθρωπον, ᾧ λέγουσιν οἱ κράζοντες· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιη΄. Οὐκ οἶδας τὸν ἄνθρωπον, * ὦ Πέτρε; ὡς ἔφησας; * οὐκ οἶδας τὸν ἄνθρωπον; * μή τι οὕτω θέλεις λέγειν, * ὅτι ἄνθρωπον οὐκ οἶδας αὐτόν, * ἀλλὰ Θεόν; * μὴ ἄρα διδάξαι *

sum, et illi agnito, deprehensoque clamitare : « Et tu oppido olim cum Galilæo eras! » Cui autem Petrus : « Nescio quis sit, « non novi hominem, cui reboant, aientes : « Festina, salva, sancte, gregem tuum. »

16. Amisisti cito, apostole, robur tuum, et puella te confregit. Sed resurge, et exsilito, ac resume priorem virtutem, athletæ instar. Luctam non habes cum potentiore. Et quomodo deiectus es exili verbo? Puella tibi imprimitur exigua, quæ et forte nugans, effutiit quæ tibi dixit; tu vero, sicut leonis rugitum, sannas excepisti, ad eam respondisti : « Virum non cognosco, haud novi hominem, « cui dicunt hi clamantes : Festina, salva, « sancte, gregem tuum. »

17. Ille modo iustus se ab ancilla digito monstrari sentiens iis qui intus erant, atrium deseruit, acclinisque eius foribus, hic quoque labitur. Altera famula aggressa, ut scriptum est, insanientibus ita clamat : « Et iste « sane homo Nazareni comes erat, absque « dubio est. » Ad hæc Cephas respondit, mente conturbatus et terrefactus : « Non co« gnosco virum, non novi illum, ignoro « hominem, cui clamitantes aiunt : « Fes« tina, salva, sancte, gregem tuum. »

18. Haud novisti hominem, o Petre? itane dixisti? Haud novisti hominem! Nonne id dicere ita vis, ut non eum modo hominem agnoscas, sed Deum? Nonne alacriter enixus

Vulgata fere similia vertit. — ἀκριβῶς κατανοοῦσα C. — σὺν τῷ, rara quidem in melodis suspensio versus et sensus, cf. can. metr. VI. — Π. πρὸς αὐτὴν C. — ἀγνοῶ τοῦτον ὃν κηρ. Ἰησοῦν. Quod nomen sacrum ægre excludimus, eo tamen facilius huc intrusum, quod duabus litterulis ιν contrahi solet, ut ibi in cod. Cæterum cum enallage respicitur ad hosanna puerorum.

16. In fine ὃν λέγ. C, tum ea quæ superioribus emendandis inserviunt.

17. γέγραπται. Matth. XXVI, 71; Marc. XIV, 50. — συνῆν καὶ δῆλός ἐστι π. τ. δὲ Κ. ἀπεκρίθη θορυβηθείς· οὐ γιν. C. quibus emendandis additur ἐκπλαγεὶς, his enim synonymis veteres cum θορυβεῖσθαι utuntur. — cod. om. οἱ ante κράζοντες.

18. ὡς iterum pro οὕτως et ironice. — Iam vide

τοὺς ἀνόμους ἐσπούδασας, * ὅτι Θεὸς πέλει * ὁ σταυρωθείς; * εἰ γὰρ καὶ ἔπαθε σαρκὶ, * σάρκα ὁ φέρων, * ἐκ τῆς ἀμιάντου * ἀσπόρως τεχθεὶς, * Θεός ἐστιν αὐτὸς, * καὶ μὴ θνήσκων, θνήσκει σαρκί· * ὡς ὁρᾶται, κρατεῖται· * ὡς δὲ μὴ θεωρεῖται, * οὐδενὶ πρόσκειται, εἰ μή τι δ' ἂν τοῖς κράζουσι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

ιθ΄. Ὑμνοῦμέν σε, Κύριε, * ὅτι ἀγαθὸς ψαλμός. * Αἰνοῦμέν σε, ἅγιε, * ὅτι σὺ πάντα ὑπέστης. * Καὶ ὁ Πέτρος δὲ οὐδὲν ὑποστὰς, * ψεύδεταί σε· * αὐτὸς ἐμαστίζου, * καὶ ὁ Πέτρος ἠρνεῖτό σε, * μηδὲν ὑπομείνας * ὁ ἀθλητής· * ἤδη γὰρ δεύτερον βληθεὶς * ὑπὸ θηλειῶν, * τὸ τρίτον ἡττᾶται * ὑπ' ἄλλων ἀνδρῶν· * καὶ γὰρ μετὰ μικρὸν * προσελθόντες ἄλλοι τινὲς, * ἐπιτίθενται Πέτρῳ, * καὶ ἀρνεῖται μεθ' ὅρκων. * Καὶ εὐθὺς τοῦτον ὄρνις ἤλεγξε, καὶ ἔκραξε· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

κ΄. Ἀκούσας τοῦ ὄρνιθος * ὁ Πέτρος φωνήσαντος, * εὐθέως ἐβόησε, * στεναγμῷ μετὰ δακρύων· * Οἴμοι! οἴμοι! ποῦ ἀπέλθω; ποῦ στῶ; * ποῦ δὲ φανῶ; * τί λέξω; τί πράξω; * τί ἀφήσω; τί λήψομαι; * τί εἴπω; τί δράσω; * τί ὑποστῶ; * ποίαν θρηνήσω μου πληγήν; * πρώτην; δευτέραν; * τριπλῆ γὰρ ὀδύνη * ἐπῆλθεν ἐμοὶ, * τρισσῶς ὁ δολερὸς * ἔβαλέ με τὸν ἀφελῆ, * ἄφνω νῦν ἐτοξεύθην, * φανερῶς κατεβλήθην. * Ποῦ οὐ τοῦτον νοῦν μετεώρισα, καὶ οὐκ ἔκραξα· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου;

κα΄. Ἰσχύς μου καὶ ὕμνησις * ὑπάρχεις, φιλάνθρωπε, * μὴ ἐγκαταλείπῃς με. * Ταῦτα Πέτρος ἔφη κλαίων, * ὅτε ἤρχετο πρὸς τοὺς

es impios edocere, Deum esse qui cruci affixus est? Etiamsi enim infirma in carne fuerit, carnem ferens, natus sine semine ex intacta Virgine, Deus ille est; et qui immortalis est, moritur carne; qua cernitur, tenetur; qua vero visum fugit, nemini adiacet, nisi illis tantum qui clamant : « Festina, « salva, o sancte, gregem tuum. »

19. Canimus te, Domine, quia bonus est psalmus. Laudamus te, sancte, quia tu omnia sustinuisti. Petrus vero nihil sustinens, tibi mentitur. Tu verbera passus es, et Petrus te repudiabat, nihil omnino passus, imbellis athleta. Iam semel et iterum impetitus a feminis, tertio ab aliis vincitur hominibus. Namque mox grassantes nonnulli trepidum Petrum adoriuntur; et negat cum iuramentis. Ac subito avis illum redarguit, et clamavit : « Festina, salva, sancte, gregem « tuum. »

20. Audita galli canentis voce, Petrus statim eiulavit, singultu fletibus mixto : « Heu « mihi! Heu mihi! Quo ego abeam? Ubi « stem? aut ubi cernar? Quid dicam? quid « agam? quid omittam? quid assumam? quid « eloquar? quid faciam? quid feram? Qualem meam lugebo plagam? an primam? « an alteram? En trina in me calamitas irruit. Triplici me ictu pepulit incallidum « astutus hostis. Confestim ego telis confossus sum, palam prostratus. Quomodo hanc « mentem non erexi, nec clamavi : Festina, « salva, o sancte, gregem tuum?

21. « Virtus mea et laus mea tu es, clementissime. Ne derelinquas me. » Hæc flendo Petrus, quando rediit ad discipulos

cur pluries supra ἄνθρωπον retinere aut restituere maluerim. — ἀλλὰ θεόν. Dum dicitur : « *non solum* hominem, *sed etiam* Deum, » satis fit hellenismo N. T. et seriorum. Cf. Act. V, 4 : οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. I Cor. XV, 10 : οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ.

19. ὅτι σὺ πάντα. Cf. can. metr. XII, de hoc v. 4, tum can. XIII de v. 6, 8. — ψεύδεταί σὲ, ἠρνεῖτο σὲ pro melodia ex lege XIII. — ὁ ἀθλητὴς ironice, uti paulo ante ὁ δίκαιος. — ὑπὸ θηλειῶν cf. pro acc. can. XI. — ἡττ. ἀπ' ἄλλων C.

20. οἴμμοι sic ter cod. — εἴπω; τί ποιήσω; C. — ποῦ τὸν νοῦν τοῦτον C. ποῦ causa fuit cur οὐ exciderit. De ποῦ pro πῶς vel ποῖ, ut tr. 19, cf. cant. IX, 10; XIV, 1, inter plura.

21. Etsi στήσας placeret post χεῖρας δὲ, uti ra-

μαθητὰς * τοῦ λυτρωτοῦ· * τὰς χεῖρας δὲ θήσας * ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, * ἐβόησεν· Οἴμοι! * δοῦλοι Χριστοῦ, * ἴδε πεπλήρωται, φησίν, * ἡ προφητεία * ἐπὶ τῇ ἀρνήσει * ἐμοῦ τῇ τριπλῇ. * Δακρύσατε ἐμὲ, * καὶ θρηνοῦντες λέγετέ μοι· * Ποῦ ὁ πόθος καὶ ζῆλος; * ποῦ ἡ πίστις καὶ νῆψις; * ποῦ ὁ νοῦς οὗτος, ὡς ἐρέμβετο, οὐκ ἔκραζε· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου;

redemptoris; manusque capiti suo imponens, erupit : « Hei mihi! famuli Christi, ecce, ait, « impleta est prophetia de negante me, ter« que negante. Flete super me, et geme« bundi dicite mihi : Ubi amor et zelus? Ubi « fides et vigilantia? Cur mens hæc, dum va« gabatur, non clamavit : Festina, salva, o « sancte, gregem tuum? »

κβ'. Νικᾶται ὁ εὔσπλαγχνος * τοῦ Πέτρου τοῖς δάκρυσι, * καὶ πέμπει τὴν ἄφεσιν· * τῷ λῃστῇ γὰρ ὁμιλήσας, * ὑπηνίττετο τὸν Πέτρον, ἐκεῖ * ἐν τῷ σταυρῷ· * Λῃστὰ φίλε, λέγων, * μετ' ἐμοῦ ἔσῃ σήμερον, * ἐπειδὴ ὁ Πέτρος * ἔλιπέ με· * ὥσπερ ἐκείνῳ καὶ νῦν σοὶ, * καὶ τοῖς ζητοῦσι * παρέχω τὰ σπλάγχνα, * φιλάνθρωπος ὤν· * δακρύων, ὦ λῃστὰ, * ἐμοὶ λέγεις· Μνήσθητί μου. * Καὶ ὁ Πέτρος δὲ κλαίων, * μὴ ἐάσῃς με, κράζει· * διὸ ταὐτὸ καὶ σοὶ κἀκείνῳ λέγω, κράζουσι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

22. Vincitur qui benignus est Petri lacrymis, et veniam mittit. Cum latrone enim collocutus, alludebat Petro, dum illic in cruce dixit : « Dilecte latro, mecum eris in « paradiso hodie, postquam Petrus deseruit « me. Tam illi quam tibi et cunctis inquiren« tibus pando mea viscera, qui misereor ho« minum. Flens tu, o latro, dicis mihi : « Memento mei! Et Petrus cum lacrymis : « Ne me deseras, clamat. Tibi igitur, sicut « illi, aio idem, una clamantibus : Festina, « salva, o sancte, gregem tuum.

κγ'. Οὐδεὶς ἀναμάρτητος, * οὐδεὶς ἀκατάβλητος· * μὴ ὀλιγωρήσητε, * ἐγὼ μόνος δίχα μώμου, * ὅθεν ἅπασιν ὑμῖν ἐφαπλῶ * τὴν δωρεάν. * Ἀλλ' ἴσως ἐρεῖ τις· * πόθεν τοῦτο, ὦ ἄνθρωπε, * ὅτι ἀνεκλήθη * Πέτρος πεσών; * ἤδη δεικνύω ἀκριβῶς * καὶ διὰ τίνος * ἐπέμφθη τὸ δῶρον * τῷ Πέτρῳ ποτέ· * ἀγγέλου ἦν φωνὴ * ὁμιλοῦντος ταῖς γυναιξὶν, * ὅταν εἴπητε πᾶσιν, * εἴπατε καὶ τῷ Πέτρῳ· * Μὴ φοβοῦ, εἶπεν ὁ διδάσκαλος, ἀνάκραξον· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

23. « Nullus est sine peccato, nullus insu« perabilis. Nolite torpescere. Solus ego sum « sine labe, unde etiam omnibus exero « meam gratiam. » — Sed dicet forte aliquis : Unde scis, mi homo, revocatum fuisse Petrum post lapsum? Iam ostendo affatim, quali etiam pacto donum olim ad Petrum pervenerit. Angeli enim ea vox erat, loquentis cum mulieribus : « Cum dixeritis omni« bus, dicite et Petro. Ne timeas, inquit ma« gister, clama iterum : Festina, salva, o « sancte, gregem tuum.

rius illud θήσας retinendum, cum θήσαντες habeat Const. Porphyrog. in *Adm.* L. III, 148 C, teste Lobeck l. c. p. 721. Ἰδὲ atticorum lædit metrum, sed ἴδε Nostri passim ut et seriorum est. Cf. Mœris p. 193 et cant. VII, 19. — μου τῇ τριπλῇ C. — ἡ νῆψις C. — ὃς ἐρέμβετο C. Quod Plutarcho notum, Hesychio intelligitur πλανᾶται, Phavorino autem ex Suida ἐρέμβοντο est ἀπεπλανῶντο.

22. ἔλιπε μὲ vi melodiæ, ut supra, et mox in 24 πταῖσμα ποτέ. — ὁμοίως κἀκείνῳ καὶ σοὶ C. — λέγεις μοι C. — διὰ τοῦτο σοὶ κἀκείνῳ καὶ λέγω σὺν τοῖς κρ. C.

23. πᾶσιν ὑμῖν C. — Solus per se mundus Christus, omnibus dat tergendi labes gratiam, uni vero matri suæ charismata dedit immaculati conceptus et sanctissimæ integritatis. — ἀνεκλίθη C. Convertit se poeta, semper theologus, ad Novatianos, Constantinopoli diu florentes, quæ tamen multam innuunt vetustatem.

κδ΄. Συνάντησον, ἅγιε, * καὶ δέξαι τὸν Κύριον, * πρὸς σὲ πορευόμενον * ἐκ ταφῆς, ὡς ἐκ παστάδος· * δι' ἐμοῦ γὰρ τοῦ ἀγγέλου αὐτοῦ * λέγει πρὸς σέ· * Εἰπὲ νῦν τῷ Πέτρῳ· * Μὴ τὴν ἄφεσιν ἀπογνῷς, * ἀλλ' εὔχου μὴ πίπτειν * εἰς πειρασμόν. * Μὴ οὖν λεγέτω τις ὑμῶν, * ὅτι τῷ Πέτρῳ * οὐ συνεχωρήθη * τὸ πταῖσμα ποτέ· * συγχώρησιν Χριστὸς * θέλων δοῦναι, ἦλθεν εἰς γῆν, * καὶ σταυρῷ προσηλώθη, * καὶ ταφῇ παρεδόθη· * συγχωρεῖν ἔγερσιν ὑπέγραψε τοῖς κράζουσι· * Σπεῦσον, σῶσον, * ἅγιε, τὴν ποίμνην σου.

24. « Occurre, sancte, et excipe Dominum « ad te accedentem e tumulo, velut e thalamo; qui per me angelum suum ait tibi : « Dic nunc Petro : Noli veniam desperare, « sed ora, ne cadas in tentationem. » Nullus ergo vestrum dicat, Petro nunquam condonatum fuisse delictum. Misericordiam Christus volens largiri omnibus, venit in terram, et crucis clavis confossus est, et tumulo traditus est, in quo subscripsit se largitorem resurrectionis esse clamitantibus : « Festina, « salva, o sancte, gregem tuum. »

24. ἀπογνῷς τὴν ἄφησιν cod. — συγχωρῶν ἔγερσιν C. — ὑπέγραψε, ac si titulum resurrectionis scripserit τῇ ταφῇ, veluti τῇ στήλῃ. Digna nobili poeta coronis, et iusta melodi epigraphe συντακτική. Valedicere autem ego nolim, quin fatear tam in illo cantico quam in sequente, nimis plura esse impedita, frigida, turgida; quæ si genuina sunt, aut iuvenem aut senescentem melodum arguunt. Certe, ne alia tetigerim, tam rara in cæteris omnibus hymnis quam frequentia in his duobus sunt abrupta versuum puncta, desinentium in ὅτι XVI, 5, 17; εἰς τὴν XV, 11; 15; σὺν τῷ XV, 15; τὸν XVI, 3; ἕως XVI, 13; ἵν' ὡς XV, 14; ὡς XV, 21; μηδὲ XVI, 5; καὶ XVI, 12; οὐκ XVI, 20; γὰρ XVI, 9. 11 etc. Quæ quum alibi perrara sunt, idcirco vel post hæc licet maneat canon metricus noster VI. — Demum adde metrum ideo nobis, forsitan et melodo rem facessivisse, quod brevissimi versus, inter ampliores succedanei, musam anhelantem impediebant.

XVI.

CANTICUM DE PASSIONE.

α΄. Τῆς ἔχθρας ἐλύθη τὸ τύραννον,
τῆς Εὔας ἐπαύθη τὸ δάκρυον,
διὰ τοῦ πάθους σου, φιλάνθρωπε,
Χριστὲ, ὁ Θεός.
Ἐν αὐτῷ γὰρ ὁ θανὼν ἀνακεκαίνισται,
δι' αὐτοῦ δὲ ὁ λῃστὴς εἰσοικίζεται,

1. Iræ tyrannicum iugum excidit,
Evæ desivit fletus,
per passionem tuam, hominum salvator,
Christe, o Deus!
Per eam enim mortuus redivivus est,
per eam latro domi recipitur;

Prorsus unus est codex corsinius, in quo supersit ultimum feriæ VI maioris canticum, de quo editi omnino silent. Scatet hiatibus et anfractibus, unde sententia, ne de melodia loquar, vix integra manet. Haud parum auxit difficultatem lex ἐφυμνίων, hic sane ardua et salebrosa, qua melodus, fortasse invitus, dum Christum caneret patientem, perpetuas debuit choreas Adami exercere, ἵνα χορεύῃ ὁ Ἀδάμ, idque percurrens troparia XXIV, sive versus 352. Canticum in corsin. inscribitur : Ἕτερον κοντάκιον ἁγίας παρασκευῆς, ἤγουν εἰς τὸ πάθος, ἦχ. γ', φέρον ἀκροστιχίδα· Εἰς τὸ πάθος ψαλμὸς Ῥωμανοῦ. fol. 98-100.

1. τὸ τύραννον sic cod. Exorditur melodus ab insolenti neutro nomine; minus rarum est, neque omnino classicis ignotum, neutrum adiectivum, pro nomine sumptum. Apposite Const. Psellus *Chald.* 30 : τὸ παρθένον οὐ προϊεῖσα, quod male

μόνος χορεύει ὁ Ἀδάμ.
β'. Ἔκστηθι σήμερον, οὐρανέ!
δῦνον εἰς χάος, ὦ γῆ!
μὴ τολμήσῃς, ἥλιε,
σὸν δεσπότην κατιδεῖν
ἐπὶ τοῦ ξύλου βουλήσει κρεμάμενον.
Ῥαγήτωσαν πέτραι·
ἡ γὰρ πέτρα τῆς ζωῆς
νῦν τοῖς ἥλοις τιτρώσκεται.
Σχισθήτω τοῦ ναοῦ τὸ καταπέτασμα,
σώματος δεσποτικοῦ
λόγχῃ νυσσομένου
ὑπὸ ἀνόμων ἁπλῶς·
πᾶσα ἡ κτίσις τοῦ κτίστου
τὸ πάθος φρίξῃ, στενάξῃ,
μόνος χορεύῃ ὁ Ἀδάμ.

solus chorum Adamus agit.
2. Stupeas hodie, cœlum!
I præceps in chaos, o terra!
Tu ne audeas, sol,
tuum videre Dominum
e ligno sponte pendentem!
Discindantur saxa:
vitæ enim petra
nunc clavis perforatur.
Dividatur templi velum,
dum corpus Dominicum
lancea penitus transagitur
ab impiissimis hominum.
Creatura cuncta creatoris
supplicium horreat, ingemiscat;
solus chorum ducat Adamus.

γ'. Ἰλῶ, ὦ σῶτέρ μου, τὰ ἐμὰ, * ἵν' ἐγὼ λάβω τὰ σά· * κατεδέξω τὸ παθεῖν, * ἵνα τῶν παθῶν ἐγὼ * καταφρονήσω· θανάτῳ ἀνέζησα, * ἐτέθης ἐν τάφῳ, * καὶ εἰς οἴκησιν ἡμῖν * ἐδωρήσω παράδεισον· * εἰς βάθος κατελθὼν, ἐμὲ ἀνύψωσας· * πύλας ᾅδου κατιδὼν, * πύλας αἰωνίους * ἀνέῳξάς μοι, σῶτερ, * πάντα ὑπέστης διὰ τὸν * πεσόντα, πάντα ἠνέσχου, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

δ'. Σὲ τὸν κρατοῦντα τῇ σου χειρὶ * ἅπαντα γῦρον τῆς γῆς, * συλλαβόντες ἄνομοι, * ἤγαγον νῦν εἰς αὐλὴν * τοῦ Καϊάφα, τὸν κόσμῳ ἀχώρητον· * καὶ ὅτε σε εἶδον * οἱ μὴ βλέποντες νοΐ, * ἐκμανῶς ἀνεβόησαν· * Ὁ νόμον καὶ Μωσῆν ὑβρίζων ἤλυθεν· * ὅστις οὖν τιμᾷ Μωσῆν, * καὶ τὸν νόμον σέβει, * οὗτος δείξῃ τὸν ζῆλον. * Μηδεὶς οὖν

3. Te miseruit, o Salvator, rerum mearum, ut ego tua capessam; pati annuisti, ut ego passiones spernam; morte revixi; iacuisti in sepulchro, et nobis domicilium dedisti paradisum. Descendens ad ima, me sursum evexisti. Portas inferni despiciens, æternales mihi fores aperuisti, salvator. Omnia sustinuisti propter lapsum hominem; omnia tulisti, ut chorum agat Adamus.

4. Te, qui palma tua universum telluris ambitum tenes, quum impii comprehendissent, ecce nunc te ducebant in atrium Caïphæ, te quem capere mundus nequit; et ubi te conspexerunt, qui mente cœcati erant, amentia capti clamarunt: « Hic « ad legem Moysemque insultandum venit! « Quisquis igitur Moysem veretur et legem

contra metrum emendant: τὸ παρθένιον οὐ προΐεῖσα. fort. mel. in fine: ἵνα χορεύῃ.

2. Hirmi versus 2 fere semper in paroxytonum exit; unde, sed invito codice, legesis: δῦνον, ὦ γῆ, εἰς χάος. — Versus autem 12, 13, 14 ita vitiis plerumque laborant, ut ægre certus eorum rhythmus statuatur. — τοῦ ante ναοῦ om. C. — In v. 5 et 9 similibus melodia grandior affectatur. — v. 12 f. ἁπλῶς ὑπὸ ἀνόμων. Incertus, ut dixi, modulus est.

3. Ἰλῶ σωτὴρ C. σῶτερ μοῦ pro iusta melodia. Immo εἶλες legi Vir Cl. iubet, cum sequenti λάβω optime opponatur, neque ullum acrostichidi detrimentum sit: « Sumpsisti mea, tua ut sumerem. » Quibus succinit solemnis in liturgia Græcorum acclamatio: τὰ σὰ ἐκ τῶν σῶν. — ἵνα ἐγὼ τῶν παθ. καταφρ. C. — σῶτερ om. C.

4. τῇ χειρὶ πάντα C. — καὶ μόνον σε ἴδον C. — νοΐ. Cf. Phryn. p. 453. — ἐλήλυθεν C. ἤλυθεν plus semel cum veteribus ac sæpissime cum classico

ῥᾳθυμησάτω, * ὁ (πλάνος γὰρ) παθεῖν ἧκεν, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ε'. Ταῦτα μὲν κράζοντος τοῦ λαοῦ, * ἔφησεν ὁ ἱερεύς· * Οὐ καλῶς εἶπον τὸ πρίν· * συμφέρει ἀπολέσθαι * τοῦτον μόνον, καὶ μὴ ὅλον τὸ ἔθνος μου; * Τίς εἶδεν ἀσπίδα, * ἀντὶ τοῦ ἰοῦ αὐτῆς, * [ἴαμα φέρουσαν πληγαῖς;] * Τίς ἐθεάσατο φλόγα δροσίζουσαν; * Τίς ἀκήκοέ ποτε * ψεῦδος ἀληθεῦον, * ὡς Καϊάφας μηδὲ * θέλων προφητεύει, ὅτι * ὑπὲρ πάντων θνήσκει σωτήρ, * ἵνα χορεύῃ ὁ Ἀδάμ;

ς'. Οὕτω μὲν ἔφησεν ἱερεύς, * τοῦτο δὲ οὐ συνῆκεν· * οὐ γὰρ εἴασεν αὐτῷ * φθόνος, ἀλλ' ἠρέθιζε * πρὸς φόνον· φθόνῳ ὁ φόνος παρέπεται, * καὶ μάρτυς ὁ Ἄβελ, * ὑπὸ Κάϊν φθονηθεὶς, * φονευθεὶς δὲ μετέπειτα, * ὡς δὲ καὶ ὁ Χριστὸς ἑκὼν ὑπήνεγκε * τὴν λαοῦ ὀργὴν παθεῖν· * καὶ στοργὴν δεικνύων, * ἰάτρευε τὰ πάθη, * καὶ ἀντὶ εὐχαριστίας * τυθεὶς, σταυροῦται καὶ θνήσκει, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ζ'. Πλήθει θαυμάτων ἀντιπαθῶν * ὁ ὄχλος τῶν ἀνόμων· * Ἆρον, σταύρωσον αὐτὸν, * ἀνεβόων στήσαντες * παρὰ Πιλάτῳ τὸν πάντα συστήσαντα· * τὸν μέλλοντα κρίνειν * βασιλεῖς τε καὶ πτωχοὺς, * κριτηρίῳ παρέστησαν· * τὸν δίκαιον κριτὴν κρῖναι ἐδίκασαν· * καὶ τὸν ῥύστην, ὡς λῃστὴν, * ἠθέλησε δή-

« colit, zelum ostendat. Nemo ergo segnior « sit; erroneus sane hic venit ad patiendum, « ut tripudiet Adamus. »

5. Hæc vociferante populo, pontifex aiebat : « Nonne recte prius dixi : expedit ut « pereat iste solus, neque universus populus « meus? » Quis vidit aspidem pro ipsius veneno dantem plagis medelam? Quis aspexit ignem versum in rorem? Quis audivit unquam mendacium vera locutum, qualis invitus Caïphas vaticinatur, pro omnibus mori salvatorem, ut lætetur Adamus?

6. Sic ait pontifex, id vero non intellexit, obstitit enim illi invidia, immo eum ad cædem impulit. Invidiam cædes sequitur; et testis Abel, Caïni livore pressus, deinde occisus : sicut et ipse Christus sponte sustinuit pati odium plebis; amoremque ut ostenderet, morbos sanabat; et loco grati animi, mactatus crucifigitur, atque moritur, ut lætetur Adamus.

7. Multitudini miraculorum refragans turba impiorum : « Tolle, crucifige eum! » clamabat, dum Pilato sisterent eum qui omnia consistere fecit; dum eum qui iudicaturus est reges et pauperes, tribunali addicebant. Æquum iudicem in iudicium traxerunt; et sospitatorem ut latronem palam occidere, non recu-

Nazianzeno, carm. 54 v. 1, 2, 3 ter, etc. BB p. 952. — καὶ σέβει τὸν νόμον C. — ὁ γὰρ πλάνος ἧκει παθεῖν C.

5. Malit aliquis, melodiæ sollicitus : ὡς συμφέρει ἵνα εἷς ἀπόληται καὶ μὴ ὅλον τὸ ἔθνος μου. Ultimam vocem cod. om. — αὐτῆς. Mirere hic velim incredibilem ἰωτογραφούντων vesaniam, qui scripturire ausi sunt : τίς ἴδεν ἀσπίδα ἀντὶ τοῦ υἱοῦ αὐτῆς, quibus tamen puncta præfixit notarius, medicam sollicitans manum. At idem ita cohorruit, viso aspide, immo aspidis *filio*, ut totum v. 8 sicco pede transiliens, in alteram folii 99 paginam se reciperet : omissa ego utcumque restitui. — f. τίς φλόγα. — μὴ θέλων C. — f. σωτὴρ θνήσκει.

6. ὁ ἱερεὺς — αὐτῷ ὁ φθ. — φθόνῳ φόνος C. — πάσχων. Hic multa mihi fere desperata. Nam pro v. 10 et 11 legitur in cod. πάσχων λαὸν παθὼν εἰς ὀργὴν. ἐκείνῃ στοργὴν δεικνύων, ac deinde pro v. 14, θνήσκει σταυροῦται, nec plura. τυθεὶς addo et καί ante θνήσκει.

7. f. ὁ τῶν ἀνόμων ὄχλος — παραστήσαντες Πιλάτῳ τὸν πάντα συστησάμενον C. — κατεδίκασαν tum ἠθέλησε φονεῦσαι ὁ ζῶν ἀδήλως, αὐτὸς δὲ εἰ πάθῃ σιγῶντως στέγει ἄλαλος καὶ ἱστήκει C. Sic multa usque in finem luxata et ἀνίατα. — Sanamus tamen periculo nostro, neque etiam omittatur, quæ Romano placet, homophonia εἰ πάσχει, στέγει... ἄλαλός στήκει, de quo verbo cf. cant. XIII, 10. — Αὐτὸς δὲ emphasin redolet, de qua cf. cant. II, p. XVIII, n. 5, *Hymnogr. de l'Egl. grecque*.

λως * φονεῦσαι ζῶν ἀδήλως· * αὐτὸς δὲ εἰ πάσχει, στέγει, * σιγῶν καὶ ἄλαλος στήκει, * ἵνα χορεύῃ ὁ Ἀδάμ. *

η΄. Ἄφωνος ἵστατο ὁ βροντῶν, * λόγου ἐκτὸς ὁ Λόγος. * Εἰ γὰρ ἔῤῥηξε φωνὴν, * οὐχ ἡττᾶτο, καὶ νικῶν * οὐκ ἐσταυροῦτο, καὶ Ἀδὰμ οὐκ ἐσώζετο. * Διὸ ἵνα πάθῃ, * ὁ δρασσόμενος σοφοὺς, * σιωπήσας παρίστατο. * Ὁρῶν οὖν ὁ κριτὴς Χριστὸν σιγήσαντα, * ἀπορίᾳ συσχεθεὶς, * ἔφη· Τί ποιήσω * τῷ οὐδὲν μὴ λαλοῦντι; * ἔνοχός ἐστιν ὧν ἡμεῖς * αἰτούμεθα ὅθεν θνήσκῃ, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

θ΄. Θάνατον ὤφληκα νῦν ἐγὼ, * ἔφησεν ὁ σωτήρ μου * πρὸς τὸν ἄνομον λαὸν, * (τὸν Πιλᾶτον λόγων γὰρ * οὐδ' ἀξιοῖ, λογισάμενος ἄλογον,) * ἀνθ' ὧν Ἰαείρου * τὸ θυγάτριον ἐγὼ * λόγῳ μόνῳ ἀνέστησα, * ἀνθ' ὧν μονογενῆ τῆς χήρας ἤγειρα, * καὶ τὸν Λάζαρον φωνῇ * τρέχοντα τὸν ἄπνουν * ἀνέδειξα τοῖς πᾶσιν· * μὴ διὰ ταῦτα, ἢ μᾶλλον * ἀντὶ τούτων πάσχω, θνήσκω, * ἵνα χορεύῃ ὁ Ἀδάμ;

ι΄. Ὅτε δὲ ἤκουσεν ὁ λαὸς * τὸν μελίῤῥυτον Λόγον, * ὡς πικρίας ἐμπλησθεὶς, * ἀνεβόα· Οὐκ ἀντὶ * τούτων σταυροῦσαι, ἀλλ' ὡς λύσας σάββατον. * — Καὶ τί ἐστι κρεῖττον, * θεραπεῦσαι ἀσθενῆ, * ἢ τηρῆσαι τὰ σάββατα; * καὶ ἐκ κόλπων παρεγενόμην πατρικῶν * χάριν μόνου σαββάτου; * ἀλλ' ὡς τῶν ἀνθρώπων * ἠσθένησεν ἡ φύσις, * καὶ εἶδον ἐξ ὕψους ταῦτα, * κατῆλθον πάσχειν καὶ θνήσκειν, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ια΄. Σάββατον ᾅδης οὐ δειλιᾷ, * τοῦτο οὐ φεύγει. Ἄλλος * οὐκ ἰᾶται ἀσθενεῖς, * εἰ

savit inique vivens. Ipse autem si patitur, sustinet fortiter, statque silens et mutus, chorum ut Adamus agat.

8. Sine voce stabat altitonans; expers verbi Verbum. Voce enim si erupisset, iam invictus erat; victorque, non affigebatur cruci, nec saluti Adamus reddebatur. Ideo ut pateretur, tacens stetit, qui sapientes in astutia capit. Iudex ergo intuens Christum silentem, cunctabundus ait : « Quid faciam nihil di-
« centi prorsus? Reus est criminum, propter
« quæ a nobis mors ejus petitur, ut choro
« exultet Adamus. »

9. — « Morte nunc idcirco damnatus sum, ait salvator meus ad scelestum populum (nam ne verbis quidem dignatur Pilatum alloqui, mutum eum iumentum æstimans), propterea
« quod Iaïri filiam ego erexi uno verbo; pro-
« pterea quod unigenitum viduæ suscitavi,
« et Lazarum exanimem ad mea iussa cur-
« rentem omnibus ostendi. Nonne propter
« hæc, immo etiam quamvis hæc fecerim
« patior, morior, ut Adamus exultet? »

10. Hæc ubi plebs audivit mellifluo ab ore Verbi, ac si amarulenta ructaret, erupit :
« Ea propter minime cruciaris, sed quia sol-
« visti sabbatum. » — « Et utrum præsta-
« bilius, sanarene languidum, an servare
« sabbata? An paternis e sinibus exivi ego
« tantum propter sabbatum? Verum cum lan-
« gueret hominum natura, idque ab alto vi-
« derem, descendi ut patiar et moriar, unde
« Adamus exultet.

11. « Sabbatum Orcus non formidat, ne-
« que refugit. Alter nullus sanat ægrotos,

8. καὶ Ἀδὰμ cum crasi. — χάριν — τῷ μὴ λαλοῦντι οὐδὲν id. — ἡμεῖς fort. ἧμεις, et ἵνα pro ὅθεν. — αἰτούμεθα, ὅθεν καὶ θνήσκει C.

9. θάνατον ὀφείλω C. — οὐδὲ λόγων γὰρ ἠξίου C. — ἔδειξα πᾶσιν, μὴ τάχα διὰ ταῦτα μᾶλλον ἀντὶ τούτων C.

10. ὡς πικρίαν ἐμπλ. ἀνεβόα· ἀντὶ τούτων οὐ σταυροῦσαι, ἀλλ' ὡς λύσας τὸν θάνατον, καὶ τί καλόν ἐστι; ita C, immani sphalmate, quod feliciter tollit emendatio, nisi malueris : στ. ὡς λύσας δὲ σαββ. De σταυροῦσαι cf. cant. VIII, 10. — πατερ. παρεγενάμην C. — μόνου et sequentia ἀλλ' ὡς τῶν ἀνθρ. in luxato cod. desunt. Rhythmus etiam requirit τοῦ σαββάτου ἕνεκα. — καὶ ἴδεν C. melius pro melodia : εἶδον δὲ ταῦτα ἐξ ὕψους. — Demum ὃς καὶ ἦλθον C, nec plura. — paulo supra f. mel. ἢ ἐκ κόλπ.

11. μόνος ὁ δεσπότης τοῦ σαββ. ἐγὼ σταυρ. De correctione cf. Matth. XII, 8; Luc. VI, 5. — ἐνόσει,

μὴ μόνος κύριος * ὁ τοῦ σαββάτου, ἐγὼ ὁ σταυρούμενος. * Πολλῶν γὰρ σαββάτων * φύλαξ γέγονε τυφλὸς, * καὶ τὸ πάθος οὐκ ἤμβλυνεν· * ἐφύλαξε πολλὰ πολλάκις σάββατα * ὁ παράλυτος, ὀκτὼ * καὶ τριάκοντα γὰρ * ἔτη ἐνόσει, ὅμως * οὐκ ἰαθεὶς ἐκ τῆς κλίνης * ἠγέρθη, ἕως οὗ ἦλθον, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ιβʹ. Ψόγον ἠκούσατε ἐκ πολλῶν * τῶν παροικούντων κύκλῳ· * Οἱ τηροῦντες σάββατα, * καὶ μισοῦντες ἅπαντα * ἔθνη, ποῦ, εἶπον, ἐστὶν ὁ Θεὸς αὐτῶν, * τὰς νόσους σοβέων * αὐτῶν, καὶ ὑπὸ αὐτῶν * διὰ νόμου τιμώμενος; * Τοιαῦτα λέγοντες, καὶ οἱ ἐχθροὶ ἡμῶν * ἐμυκτήριζον ἡμᾶς * ὀνειδίζοντες, καὶ * ἡμῶν καταλαλοῦντες· * πάντας ἐγὼ τῷ σαββάτῳ * ἰῶμαι, δόξαν παρέχων, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ιγʹ. Ἄδικος ἔδοξα, δικαιῶν * πόρνην μετανοοῦσαν, * τὴν τοὺς πόδας τοὺς ἐμοὺς * διδασκάλους σωφροσύνης * κεκτημένην, τὴν καλῶς μοι πιστεύσασαν, * τὴν βρέξασαν ἴχνη, * ἃ οὐκ ἔβρεξε βυθὸς, * ψιλοῖς τότε τοῖς δάκρυσι, * τὴν μύρῳ κεφαλὴν ἐμὴν ἀλείψασαν, * ἣν ὁ πρόδρομος θιγεῖν, * ἐφοβήθη ἕως * ἐκέλευσα, τὴν ταῦτα * πᾶσι δηλοῦσαν πρὶν ἃ νῦν * ὑπομένω, θέλων, πάσχων, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

ιδʹ. Λέγοντος ταῦτα μὲν Ἰησοῦ * ἤκουσεν αἱμοβόρος * ὁ ἀνήμερος λαὸς, * καὶ ὡς λέων ὤρυσε * τοῦ ἁρπάσαι τὴν ψυχὴν τοῦ ἀμνοῦ Χριστοῦ. * Πιλᾶτος δὲ τούτων * τὴν βουλὴν ἀναπληρῶν, * εὐθὺς πρᾶον ἐμάστιξεν. * Ἐπὶ τὸν νῶτόν σου αὐτὸς ἐτέκτηνε, * σὺ δὲ τὴν τούτου πλευρὰν * ὄναρ βασανίζων, * ἀνέδειξας ἰσχύν σου· * τοῦτο γυνὴ γὰρ

« præter eum solum, qui sabbati Dominus « est, ego cruci affixus. Multa certe sabbata « servavit cœcus, neque ægritudinem hebe« tavit. Plurima plurimo tempore sabbata « custodivit paralyticus : octo enim et tri« ginta annos ægrotavit : verumtamen haud « e lecto sanus exilivit, donec venerim, ut « exultet Adamus.

12. « Contumelias audivistis, quas multi « advenæ oggerunt : « Isti sabbatorum cul« tores, qui gentes aversantur omnes, ubi, « aiebant, eorum Deus est, qui morbos illo« rum abigat, et ab illis sit ex lege glorifi« catus? » Talia effutientes, nostri quoque « inimici deridebant nos, et conviciis ac ma« ledictis impetebant. Ego omnes in sabbato « medeor, gloriam largitus, unde Adamus « exultet.

13. « Iniquus æstimatus sum, iustificans « meretricem pœnitentem, quæ ad pedes « meos, veluti pudicitiæ magistros, discipli« nam edocta, in me probe credidit; quæ « tunc vestigia, abysso maris intacta, puris « abluit lacrymis; quæ unguento caput lenivit « meum, quod præcursor tangere subhor« ruit, donec iuberem; quæ demum eadem « omnibus prænuntiavit, quæ nunc susti« neo, ultro patiens, ut exultet Adamus. »

14. Iesum talia fatum plebs audivit, sanguinis sitibunda, populus immanis, leonisque more rugiit, animam ut raperet agni illius Christi. Pilatus autem, dum istorum vota complet, illico verberavit mansuetum. Tuo in dorso fabricavit, tu vero ipsius pungens uxorem in somno, vim ostendisti tuam. Hæc quippe idipsum declaravit, contestans : « Tu

ἀλλὰ ὅμως οὐκ ἰάθη, κλίνης οὐκ ἠγέρθη, ἕως οὐκ ἦλθον, idem C sic, omnino ad interpretum crucem.

12. σοβέων pro contr. σοβῶν. Sed ecce codex : μισοῦντες γὰρ ἔθνη πάντα εἶπον... τ. νόσους σοβεῦ (sic) et in fine, ἡμῶν omisso : καὶ καταλ. ἐγὼ τῷ σαββ. πάντας ἰατρεύω. Cf. Luc. XXIV, 18; Gen. XII, 10; XX, XXI, etc.

13. Καὶ πόρνην C. — ἕως ἐκελεύσθη τὴν ταῦτα προδηλοῦσαν ἃ νῦν ὑπομένω, θέλων γὰρ πάσχων C, extra metrum perpetuo.

14. λέγοντος μὲν ταῦτα τοῦ Ἰησοῦ C. — ἀνήμερος δράκων, v. supra cant. VI, 13. — ὠρυᾶτο sic C. — τὸν πρᾶον ἐμ. ἐπὶ νώτῳ σου, αὐτὸς δὲ id. Ps. CXXVIII, 3. — τ. τ. πλευρὰν βασανίζων ἔδειξας τὴν ἰσχύν σου, γυνὴ γὰρ τοῦτο πρωῒ ἐδήλου C. Cf. hirmum et recole Matth. XXVII, 19; Gen. II, 22. Eodem sensu

ἐδήλου, * βοῶσα· Σὸν κριτὴν κρίνεις, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

« iudicem tuum iudicas, ut Adamus exultet. »

ιε'. Μάστιγας φέρει ὁ λυτρωτὴς, * δέσμιος ὢν ὁ ῥύστης, * βουληθεὶς καὶ ἐκτανθεὶς * ἐπὶ ξύλου, ἐν στύλῳ * ὁ στερεώσας νεφέλην πρὶν, ὁ Μωσῆ * καὶ Ἀαρὼν λαλῶν, * ὁ τοὺς στύλους τοὺς τῆς γῆς * στερεώσας, προσδέδεται * ἐπὶ στύλῳ· ὁ δείξας τῷ λαῷ ὁδὸν * ἐν ἐρήμῳ (πύρινος * πρὸ αὐτῶν γὰρ τότε * ἐφαίνετο), ὁ στῦλος * στύλῳ προσήφθη· ἡ πέτρα * ἐκτείνεται ἐπὶ ξύλου, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

15. Verbera sustinet redemptor; vinctus, qui liberator est; ultroneus et vi extentus in ligno, qui olim nubem in columnam densavit; qui Moysi et Aaroni locutus est; qui terræ columnas firmavit, columnæ alligatus est; qui viam populo ostendit in deserto (flammeus enim tunc ante eos apparuit), columna columnæ aptata est. In ligno petra extenditur, ut exultet Adamus.

ιϛ'. Ὅμως μαστίξας τὸν ἰατρὸν, * νίπτεται τὰς παλάμας * ὁ Πιλᾶτος ἐπ' αὐτῷ, * διὰ τούτου προσδοκῶν * ἀθωοῦσθαι· ἀλλ' εὑρέθη ὑπεύθυνος, * καὶ γὰρ φραγελλώσας * παρεδίδου τῷ σταυρῷ, * ὡς ἀθῶος εἰπών εἰμι. * Τίς ἤκουσέ ποτε φονέως λέγοντος * τῇ μαχαίρᾳ τῇ αὐτοῦ· * Ἐν σοὶ ἀποκτείνας, * δίκας οὐ δώσω; ξίφει * χρώμενος τῷ τῶν ἀνόμων, * Πιλᾶτε, κρῖνε τὸν ζῶντα, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

16. Verbera ubi medico dedit Pilatus, manus ob illum lavat, opinans inde se insontem fieri (at vero reus inventus est, utpote qui flagellatum cruci tradidit) : « En ego innocens sum, inquiens. » Quis unquam audivit homicidam aientem gladio suo : Per te ego qui occidi, non dabo pœnas? Ense scelestorum usus, Pilate, iudica viventem, ut exultet Adamus.

ιζ'. Σταύρωσον, ἤκουσεν ὁ φονεὺς * τῶν ἀσεβῶν κραζόντων, * καὶ τὸ θέλημα αὐτῶν * ἀνεπλήρου, παραδοὺς, * οὐκ ἐξ ἀνάγκης, βουλήσει σταυρούμενον· * ἀκούσας γὰρ ὅτι * ἐστὶ Καίσαρος ἐχθρὸς, * ἐπτοήθη ὁ δείλαιος· * τοῦ παντοκράτορος, οὐ γὰρ τοῦ Καίσαρος * θέλει εἶναι δυσμενής· * τῆς ζωῆς ζωὴν νῦν * ὁ προτιμῶν, ἀθῶος * οὐκ ἔστιν, ὁ διὰ τούτων * ἀνόμων κτείνας τὸν κτίστην, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

17. « Crucifige! » ita scelestos clamantes audiit homicida, eorumque voluntatem implevit, tradens eum, qui haud invitus, sed ultro cruci affixus est. Ut enim audiit hoc : « Inimicus est Cæsaris, » expavit ignavus; Dei omnipotentis, non vero Cæsaris vult esse inimicus : Vitæ qui vitam prætulit suam, insons non est, qui scilicet per istos nefarios occidit creatorem, ut Adam exultet.

πλευρὰ apud Nazianz. BB. II, p. 654 v. 457. p. 997 v. 37, p. 1129 p. LVI v. 3. Quoad ὄναρ om. præpos. cf. cant. IV, 6, Lobeck ad Phryn. p. 422.

15. Crescunt spinæ et vepres; nam codex : ὁ στερεώσας ἐν στύλῳ πρὶν νεφέλης Μωϋσῇ κ. ἀ. λ. ὁ τῆς γῆς τοὺς στύλους στερεώσας ἐπὶ στύλῳ προσδέδεται, ὁ δείξας τῷ λαῷ ὁδὸν εἰς ἔρημον· πύρινος γὰρ πρὸ αὐτῶν ἐφαίνετο, ὁ στῦλος στύλῳ προσήφθη, πέτρα ἐπὶ ξύλου, καὶ λαξεύεταί μοι ἡ ἐκκλησία, ἵνα... quæ ultima glossema videntur ad explicandum ἡ πέτρα. Utcumque pro metri ratione correximus. At locum fortasse integrum Josephus hymnographus recinebat, dum similia semel et iterum ederet (Pentecost. ed. rom. p. 342 col. 1, 363 col. 2) ζωῆς τὴν πέτραν — προσηλωθεῖσαν ξύλῳ τῷ τοῦ σταυροῦ, — πέτραι καθορῶσαι πάλαι φόβῳ πολλῷ διεῤῥάγησαν, καὶ ἥλιος — τὸ φῶς ἀπέκρυψε. — Πέτραι τὴν πέτραν — τῆς ζωῆς ὅτε κατεῖδον — πέτρας ἀρθεῖσαν ὕπερθεν, — ἐν τῷ κρανίῳ διεῤῥάγησαν· — καὶ ἥλιος τὰς αὐγὰς — ἐναποκρύψας, σκοτασμὸν — βοῶν ἐνδέδυται· — πάντα τὰ ἔργα Κυρίου — τὸν Κύριον ὑμνεῖτε.

16. διὰ τούτου προσδοκήσας C. — εἰμὶ εἰπὼν τίς ἤκ. π. φονεῦ sic cod. — τῷ ξίφει τῶν ἀνόμων χρώμενος πιλ. κρῖνε id. — πιλᾶτ os cod etsi nomin. pro vocat. non sine art usurpetur.

17. τὸν βουλήσει. — εἰ γὰρ C. — De παντοκρά-

ιη'. Ῥίψας τὸ ἔγκλημα καθ' αὐτοῦ, * κτείνει Χριστὸν δι' αὐτῶν, * ὑπουργοὺς αὐτοὺς εὑρὼν * τοὺς εἰπόντας· Τὸ αὐτοῦ * αἷμα ἐφ' αὐτοὺς σὺν τοῖς ἡμῶν γένηται * υἱοῖς μὴ τεχθεῖσιν. * ὢ πατέρων τῆς ἀρᾶς. * χείρονα εὐτρεπίζοντες * τοῖς γόνοις, τῇ πληγῇ πληγὴν προσέθηκαν, * δίκην ἕλκοντες κακῶν * εἰς γενεὰς αὐτῶν * εἰς αἰῶνα· ἡμεῖς δὲ * ἡμῶν σωτῆρος τὸ αἷμα * λαβόντες, ἔχομεν λύτρον, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

18. Reatum vertens in semetipsum, occidit Christum ope eorum, ministros sibi eos reperiens, qui dixerunt : « Sanguis eius super « nos et super filios nostros, super nondum « natos! » O patrum diræ! natis deteriora parantes, vulneri vulnus adiecere, qui vindictam criminum appellant in soboles eorum, per sæculum! Salvatoris vero nostri sanguinem nos sumentes, redemptionem habemus, ut Adam exultet.

ιθ'. Ὤλετο δίψῃ ὁ γηγενής, * καύσωνι κατεφλέχθη, * ἐν ἐρήμῳ πλανηθεὶς * καὶ ἀνύδρῳ, παύσασθαι * τὴν αὐτοῦ δίψαν οὐχ εὗρεν ὁ δύστηνος· * διό, ὁ σωτήρ μου, * ἐπὶ τοῦ σταυροῦ νυγείς, * νάματα ζωῆς ἔβλυσας, * βοῶν διὰ πλευρᾶς· Εἰ σὺ ἐπιδιψῇς, * πίε ἐξ ἐμῆς πλευρᾶς, * καὶ οὐ μὴ διψήσεις * ποτὲ εἰς τὸν αἰῶνα. * ταύτης διπλοῦν ὂν τὸ ῥεῖθρον, * ποτίζει, λούει ῥυπῶντας, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

19. Interiit siti terrigena, æstu combustus est; in eremo palabundus et arido loco, sitim unde expleret, non invenit infelix. Idcirco, mi Salvator, in cruce confossus, vitæ latices effudisti, clamans apertum per latus tuum : « Si tu sitias, bibe ex latere meo, ne« que sities unquam in æternum. » Duplex quum sit latex eius, potat et lavat sordidos, ut Adamus exultet.

κ'. Μήτις οὖν τὴν πλευρὰν τὴν Χριστοῦ * εἴπῃ ψιλοῦ ἀνθρώπου, * ἄνθρωπος γὰρ ἦν Χριστός, * καὶ Θεὸς ἦν, καὶ οὐχὶ * σχισθεὶς εἰς δύο, εἷς ἦν ἐξ ἑνὸς Πατρός, * καὶ πάσχων καὶ θνήσκων, * εἰ καὶ μὴ νεκρούμενος, * ὡς Θεός· ἀληθῶς παθεῖν * ἠνέσχετο, τὰ πάντα γὰρ ὑπέμεινεν, * ἀψευδῶς τε καὶ ἑκών; * οὔτε ἐξ ἀνάγκης, * ὡς ἔφη Ἡσαΐας· * καὶ νῦν πληρῶν τὰ ῥηθέντα, * ὁ σωτήρ μου πάντα φέρει, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

20. Nemo igitur hoc latus Christi dicat esse puri hominis. Homo quippe Christus et Deus erat, neque in duos divisus : unus erat ex unico Patre, et patiens et moriens, nec tamen mortuus, quatenus Deus; qui ut vere pateretur, sustinuit omnia, sine fictione et sponte, neque ex necessitate, ut dixit Isaias. Quæ verba et nunc adimplens, salvator meus omnia subit, ut Adamus exultet.

κα'. Ἄλλος δὲ τύπος τοῦ Ἰησοῦ * γέγονεν ὁ προφήτης * Ἰωνᾶς· ἐν τῇ γαστρὶ * κήτους γὰρ καταποθεὶς * ἐνεκρύφθη, ὡς ἐν τά-

21. Alter Iesu typus Ionas propheta fuit; in ventre enim ceti absorptus occultus est, sicut in sepulcro Dominus. Ille exivit e

τωρ cf. cant. XX, 6. — ζωὴν νῦν προτιμήσας, ἀθῶος οὐκ ἔσται ὁ διὰ τῶν ἀνόμων C.

18. τὸ αἷμα αὐτοῦ ἐστὶν ὑπ' αὐτοὺς σὺν τοῖς τέκνοις υἱοῖς C. De αὐτοὺς pro ἡμᾶς αὐτοὺς Cf. Hermann. in Soph. O. T. 706. — τὸν χιτῶνα εὐτρεπίζοντος γόνοις C. Rupto octosyllabico metro monemus aliud hic latere, quod emendando quæsivimus. — εἰς τὰς γενεὰς αὐτῶν εἰς αἰῶνα· ἡμεῖς δὲ τοῦ σωτῆρος C.

19. ἀνύδρῳ καὶ ἰάσασθαι τὴν δίψαν cod. — om. id. ὁ ante σωτήρ. — ζωῆς νάμ. C. — πλευρᾶς ἐπιεδίψησας, πίεται (f. πίετε, immo πῖθι) ἐμῆς πλευρᾶς, καὶ οὐ μὴ διψήσηται (f. διψήσετε) εἰς τὸν αἰῶνα· διπλοῦν ταύτης τὸ ῥεῖθρον, λούει καὶ ποτίζει τοὺς ῥυπωθέντας, ἵνα cod.

20. ταύτην τὴν πλευρὰν εἴπῃ cod. — Ad sequentia cf. cant. XIV, 19. — ἄνθρωπος γὰρ Χριστὸς ὁ Θεὸς καὶ ἦν οὐ σχιζόμενος εἰς δύο, εἷς ἐστιν C. — πάσχων αὐτὸς θνήσκων καὶ μὴ νεκρ. Θεὸς ὡς ἀλ. παθ. ἠνέσχ., ἅπαντα γὰρ ἀψευδῶς ἑκὼν ὑπέμεινεν οὐκ ἐξ ἀνάγκης, ὡς ἔφη Ἡσαΐας, νῦν πληρῶν σωτήρ μου πάντα φέρει id.

21. γέγονεν προφήτης Ἰωνᾶς ἐν κοιλίᾳ τοῦ κήτους καταποθεὶς ἐπέμφθη ὡς ἐν τάφῳ ὡς ἐκεῖνος id. — μετὰ

φῳ ὁ Κύριος· * ἐκεῖνος ἐξῆλθεν * ἐκ τοῦ κήτους μετὰ τρεῖς, * ὡς Χριστὸς ἐκ τοῦ μνήματος· * ἐκεῖνος Νινευὶ κηρύξας ἔσωσε· * πᾶσαν γῆν δὲ ὁ Χριστὸς * ἐλυτρώσατό τε * καὶ ὅλην οἰκουμένην· * πάντα ἡμῖν ἐν προφήταις * δηλώσας, ἦλθε πληρῶσαι, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

κβ΄. Νίκην παρέχων τοῖς ταπεινοῖς, * δίκην τροπαίου φέρων * ἐπὶ ὤμων τὸν σταυρόν, * ἐξῆλθε σταυρωθῆναι, * καὶ τιτρώσκειν τὸν ἡμᾶς κατατρώσαντα· * πληρώσας γὰρ πάντα * ἃ ὠφείλομεν ἡμεῖς, * καὶ πρὸς θάνατον ἔτρεχε· * ῥαπίσμασί ποτε μορφὴν ὑπέθηκεν, * ἣν οὐ φέρουσιν ἰδεῖν * Σεραφείμ, τὰς ὄψεις * καλύπτουσιν αἰσχύνῃ· * διὰ πτόαν ἐνεδύθη * ἐθέλων χλαῖναν εἰς χλεύην, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

κγ΄. Ὄξος ἐπότισαν τὴν πηγὴν * τῶν γλυκερῶν ναμάτων, * καὶ χολὴν ἐπέδωκαν * μάννα ὑετίσαντι, * καὶ τὸ νᾶμα ἐκ τῆς πέτρας πηγάσαντι· * αὐτὸς δὲ καλάμῳ * τυπτηθείς, τὴν τοῦ ἐχθροῦ * ἐξορίαν ὑπέγραψε· * γυμνὸς ἐπὶ σταυροῦ σταθείς, ἀπέδυσε * τῆς ζωῆς τοὺς δυσμενεῖς· * τοῖς νεκροῖς καὶ ζῶσι * γέλωτα δείξας, ξύλου * κατενεχθείς, τῇ σινδόνι * εἰλήθη, δοθεὶς τῷ τάφῳ, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

κδ΄. Ὕμνησον τοῦτον, ὦ γηγενής, * αἴνεσον τὸν παθόντα, * καὶ θανόντα διὰ σὲ * καὶ ζῶντα μετ' ὀλίγον * θεωρήσας τῇ ψυχῇ, δέξαι ἡδονῇ· * τοῦ τάφου γὰρ μέλλει * ἐξανίστασθαι Χριστός, * καὶ καινίζειν σε, ἄνθρωπε· * ψυχὴν οὖν καθαρὰν αὐτῷ ἑτοίμασον,

bellua post tres dies, ut Christus e monumento. Ille Ninivitas prædicans salvavit; omnem vero terram Christus liberavit et universum orbem. Omnia quæ in prophetis prædicta nobis ostenderat, venit adimpleturus, ut Adamus exultet.

22. Victoriam præstans humilibus, trophæi instar crucem in humeris ferens, exiit ut crucifigeretur, et vulneraret eum qui nos sauciavit. Supplens enim omnia quæ debebamus nos, etiam ad mortem currebat. Sputis itidem hanc tradidit faciem, quam intueri non sustinent seraphim, qui præ pudore facies suas abscondunt; præ amore, ultro turpi diploide indutus est, ut exultet Adamus.

23. Aceto potaverunt fontem suavium lympharum, et fel dederunt illi qui manna ut pluviam misit, et fluenta ex petra derivavit. Qua arundine percussus est, hac sententiam exilii in hostem subscripsit. Nudus in cruce positus, vita exuit inimicos; mortuis ac viventibus lætitiam conferens, de ligno depositus, sindone involutus, tumuloque datus est, ut exultet Adamus.

24. Cui plaude hymnis, o terrigena; cane pro te passum et mortuum; et mox redivivum mente contemplatus, excipe eum cum lætitia; e tumulo namque surrecturus est Christus, teque, o homo, innovaturus. Mundam igitur para illi animam, ut aliquando te cœli

τρεῖς οὕτως ὁ Χριστὸς id. — πᾶσαν δὲ τὴν γῆν ὁ Χριστὸς ἐλυτρώσατο καὶ τὴν οἰκουμένην τὰ πάντα ἐν προφήταις ἡμῖν προδηλώσας id.

22. f. σταυρωθῆναι ὥρμησε, quod diligentem decet melodum et elegantem. Pergit cod. καὶ τρῶσαι. tum σεραφείμ, καλύπτουσιν γὰρ τὰς ὄψεις αἰσχύνῃ διὰ πτόην ἐν. ἐθ. χλαίνην. Et alia fort. luxata sunt, quæ, si mavis, aliter emenda : τὰς ὄψεις καλύπτοντα (ut cant. XV, 13) αἰσχύνῃ | · διὰ πτόαν ἐνεδύθη | ἐθέλων χλεύην ὡς χλαῖναν, ἵνα.. cf. Ps. XXXIV, 26, CVIII, 29. certe cod. habet θέλων χλαίνην εἰς χλεύην, ionica forma.

23. τῷ ante μάννα cod. add. et omitt. ante νᾶμα, item omittit δὲ post αὐτός. — τυπτηθεὶς Suidas habet. De aoristo recentiorum ἐτυπτήθην cf. Lobeck ad *Phryn*. 764. — νεκροῖς τε καὶ ζῶσι C. — Dein rhythmus requirere videtur χαρὰν δηλώσας. — κατενέχθη, σινδόνι εἰλήθη, τάφῳ δοθείς, ἵνα C.

24. f. ζῶντα καὶ μετὰ μικρόν. — ἡδονῇ δέξαι τὸν τάφον, μέλλει γὰρ C. — οὐρανόν σε κάτοικον ποιήσῃ ὁ βασιλεύς μου μικρὸν ὅσον ἥξει, καὶ χαρᾶς ἐμπλ. C. Utinam læti finem, portumque, sine novo nec desperato naufragio, attigerimus.

* ἵν' ἐνταῦθα οὐρανοῦ * κάτοικόν ποτέ σε * ποιήσῃ· βασιλεύς σου * ἥξει ταχέως, χαρᾶς τε * ἐμπλήσει τὴν ἐκκλησίαν, * ἵνα χορεύῃ ὁ Ἀδάμ.

incolam illic faciat. Rex tuus cito veniet, gaudioque implebit Ecclesiam, ut exultet Adamus.

XVII.

CANTICUM IN DOMINICA PASCHÆ.

α'. Εἰ καὶ ἐν τάφῳ
κατῆλθες, ἀθάνατε,
ἀλλὰ τοῦ ᾅδου
καθεῖλες τὴν δύναμιν·
καὶ ἀνέστης, ὡς νικητής,
Χριστὲ ὁ Θεός,
γυναιξὶ μυροφόροις
φθεγξάμενος· Χαίρετε,
καὶ τοῖς σοῖς ἀποστόλοις
εἰρήνην δωρούμενος,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν.

β'. Καταλαβοῦσαι
γυναῖκες τὸ μνῆμά σου,
καὶ μὴ εὑροῦσαι
τὸ ἄχραντον σῶμά σου,
ἐλεεινὰ δακρύουσαι,
ἔλεγον· Ἆρα
ἐκλάπη ὁ συληθεὶς
ἐκ τῆς αἱμόρρου τὴν ἴασιν;
ἆρα ἠγέρθη ὁ προειπὼν,
καὶ πρὸ τοῦ πάθους, τὴν ἔγερσιν;
Ἀληθῶς ἀνέστη Χριστὸς,
ὁ τοῖς πεσοῦσιν

1. Etsi in tumulum descenderis, o immortalis, inferni tamen subvertisti potentiam: atque surrexisti, ut victor, o Christe Deus, mulieribus unguentiferis edita voce: « Salvete! » tuisque apostolis pacem largitus, tu qui lapsis das resurgere.

2. Deprehenso mulieres tuo monumento, nec reperientes intemeratum corpus tuum, flebilia cum lacrymis verba aiebant: « Numquid ablatus est, cui erepta fuit medela ab « hæmorhoissa? num suscitatus est, qui prædixit se, vel antequam pateretur, redivi« vum? Vere surrexit Christus, qui lapsis « dat resurgere. »

Ut asperum, spinosumque fuit superius canticum, nimirum hebdomadi τῶν παθῶν dicatum, sic iucundus, hilaris et planus, ni fallor, hicce primus hymnus paschalis erit. Grandiuscula a tertio troparia sunt, quæ singula ad triginta fere decurrunt versiculos, adeo breves quidem et alacres, ut, quod nullibi viderim apud Romanum, semel et iterum στίχοι sint trium nec plurium syllabarum; ac pene omnes, quasi Pindari illius dithyrambis similes, festivo impetu ferantur, neque ulla rhythmi aut melodiæ angustia, quantumvis ardua, impediantur. Per me sane quisque miretur singularem vatis audaciam et solertiam, qui ne minima quidem sive verbis, sive metris illata vi, quamlibet transilit, veluti ludens et levi pede, difficultatem. Utinam Græci, qui publica consuetudine primum dumtaxat et tertium frequentant troparium, plura in editis libris retinuerint! Tres supersunt codices, in quibus poema inest integrum, mosquens. f. 278, corsin. f. 101-105, taurin. f. 177-183, quorum duo ultimi subsidia dederunt. In corsin. inscribitur: Κυριακῇ τοῦ Πάσχα κοντάκιον, ἦχ. δ', φέρον ἀκροστιχίδα· Τοῦ ταπεινοῦ Ῥωμανοῦ ὁ ψαλμός. Præter 25 versus inter priores, omnes ingenti numero 731 ignoti sunt.

1. μυροφόροις τὸ χαῖρε προσέταξας T.

2. Omnibus edd. et codd. præter corsin. hoc trop. deest. — placeret οὐχ εὑροῦσαι.

παρέχων ἀνάστασιν.
γ΄. Τὸν πρὸ ἡλίου ἥλιον,
δύναντα τότε ἐν τάφῳ,
προέφθασαν πρὸς ὄρθρον,
ἐκζητοῦσαι ὡς ἡμέραν,
μυροφόροι κόραι,
καὶ πρὸς ἀλλήλας ἐβόων·
δεῦτε, ὦ φίλαι,
ἀρώμασιν
ὑπαλείψωμεν
σῶμα ζωηφόρον
καὶ τεθαμμένον,
σάρκα ἀνιστῶσαν
τὸν παραπεσόντα Ἀδάμ,
κειμένην ἐν τῷ μνήματι.
Ἄγωμεν,
σπεύσωμεν,
ὥσπερ οἱ μάγοι,
καὶ προσκυνήσωμεν,
καὶ προσενέγκωμεν
τὰ μύρα, ὡς δῶρα,
τῷ μὴ ἐν σπαργάνοις,
ἀλλ᾽ ἐν σινδόνι
ἐνειλημένῳ·
καὶ κλαύσωμεν,
καὶ κράξωμεν·
Ὦ δέσποτα,
ἐξεγέρθητι,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν.
δ΄. Ὅτε δὲ ταῦτα ἑαυταῖς
ἔφησαν αἱ μυροφόροι,
ἐσκόπησαν καὶ ἄλλο,
ὅ ἐστι σοφίας πλῆρες,
καὶ φασὶν ἀλλήλαις·
Γυναῖκες, τί ἀπατᾶσθε;
πάντως οὐκέτι
ἐν τῷ τάφῳ
πέλει Κύριος.
Ἆρα ἕως ἄρτι
εἶχε κρατεῖσθαι,
ὁ ἡνιοχεύων
τὴν τῶν κινουμένων πνοήν;
ἀκμὴν νεκρὸς λελόγισται;

3. Ad Solem soli præeuntem, post ejus in tumulo occasum, ante auroram festinarunt, quasi diem exquirentes, unguentiferæ puellæ, invicem se alloquentes : « Adeste, o dilectæ! « unguentis subliniamus corpus vivificum, « etsi sepultum, ipsam carnem, quæ excitat « lapsum extra viam Adamum, quæ iacet in « monumento. Agite dum properemus, ma« gorum instar, et adoremus, et afferamus « unguenta, ut munera, ad eum qui non « fasciis, sed sindone involutus est. Et flea« mus, et clamemus : O Domine, exurge, « qui lapsis præstas resurgere. »

4. Hæc ubi inter se dixerunt unguentiferæ, aliud iam expenderunt consilium, prudentia plenum, et invicem aiebant : « Feminæ, ut « quid decipiamini? Omnino non est in tu« mulo Dominus! An hactenus teneri potuit, « qui habenis regit ventorum halitum? An « adhuc mortuus æstimatus est? Incredibile,

3. τὸν πρὸ ἡλίου ἥλιον. Apposite Hesychius : Ἥλιος, ὁ θεὸς καὶ τὸ ἄστρον, ne ad melitoniana nimis nota eamus. Cf. Ps. XVIII, 6; LXXI, 17. — δύνανται ποτὲ codd. et edd. τότε sensu et constanti rhythmo requiritur. — Per me licet legas προέφθ. τὸν ὄρθρον (verbum enim motus facile excludit præpos.), et more veterum verbo adhæreat partic. ἐκζητοῦσαι, a quo tota series pendet. — Perpetuum sequimur hirmum et constantem melodiam, ubi minus apte codd. et edd. legunt : ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν. — ἀνιστῶσαν f. pro ἀνιστᾶσαν, edd. et codd. more seriorum, ut in cant. XXI, 16. — κείμενον T. — προκομίσωμεν τὰ μύρα T et edd. τὰ μύρα ὡς δῶρα dividi in 2. versus suadent, præter concentum, omnia fere troparia.

4. Αἱ θεοφόροι ἐσκέψαντο T. — πάντως γὰρ ὅτι C, T, contra sensum. — Πάντως poetæ utuntur, etiam negatione sequente, ut Æsch. *Prom.* 333 et 1055. — mox τάφῳ, pro acc. idem est melodo quam ταφῇ, ex lege metrica XII. — ὁ Κύρ. C. T. — πάντως ἕως T, ne salvo quidem sensu, prorsus negativo. — κινουμένων f. « quidquid spirat et movetur. » — νεκρὸς κατάκειται T. — οὕτω κράξωμεν T. — ἀπέλθοι codd. — Μαρία καὶ ἴδῃ τὸν τά-

ἄπιστον,
ἄστατον
τοῦτο τὸ ῥῆμα·
διὸ συνίζωμεν,
καὶ οὕτω πράζωμεν,
ἀπέλθῃ Μαρία
ἐπὶ τὸ μνημεῖον,
καὶ οἷς ἂν εἴποι,
ἀκολουθῶμεν·
πολλάκις, ὡς
προείρηκεν,
ἐγήγερται
ὁ ἀθάνατος,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν.
ε'. Ὑπὸ δὲ τούτου τοῦ σκότου,
αἱ συνεταὶ ῥυθμισθεῖσαι,
προέπεμψαν, ὡς οἶμαι,
τὴν Μαγδαληνὴν Μαρίαν
ἐπὶ τὸ μνημεῖον,
ὡς λέγει ὁ Θεολόγος·
Ἦν δε σκοτία.
ἀλλ' ἐκείνῃ
πόθος ἔλαμπεν,
ὅθεν κατεῖδε
τὸν μέγαν λίθον
ἐγκεκυλισμένον
ἀπὸ τῆς θύρας τῆς ταφῆς,
καὶ εἶπεν ὑποστρέψασα·
Μάθετε,
μαθηταὶ,
τοῦτο ὃ εἶδον,
καὶ μή μοι κρύψητε,
ἐὰν συνοίδατε.
Ὁ λίθος οὐκέτι
καλύπτει τὸν τάφον.
Μὴ ἄρα ἦραν
τὸν Κύριόν μου;
οἱ γὰρ φρουροὶ
οὐ φαίνονται,
ἀλλ' ἔφυγον.
Μὴ ἐγήγερται
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν;
ϛ'. Τούτων ὡς ἤκουσε Κηφᾶς,
καὶ ὁ υἱὸς Ζεβεδαίου,
ἐξέδραμον εὐθέως,
ὡς ἐρίζοντες ἀλλήλοις·
τοῦ δὲ Πέτρου πρῶτος
εὑρέθη ὁ Ἰωάννης·

« importunum hoc verbum! considamus igitur, et ita agamus : eat Maria ad monumentum, et quæ retulerit, sequamur. Fortasse, ut prædixit, surrexerit immortalis, qui lapsis dat resurgere. »

5. Eadem sub nocte, prudentes puellæ, mente una conspirantes, præmiserunt, ut opinor, Mariam Magdalenam ad monumentum, enarrante Theologo; nox autem erat. Huic vero facem amor prætulit, unde et perspexit ingentem lapidem revolutum ab ostio sepulturæ, ac retroversa dixit : « Discite, discipuli, « id ipsum quod vidi, neu mihi quidquam « abscondite, si conscii mecum estis, lapis « haud amplius abscondit sepulcrum. Numquid abstulerunt meum Dominum? Quippe « custodes non comparent, quin aufugerunt. « Numquid exsurrexit, qui lapsis dat resurgere? »

6. Ubi hæc Petrus audiit, una et filius Zebedæi, subito cucurrerunt, ac si certatim contenderent; sed Petro citior inventus est Ioannes; verum etsi prævenerit, non intravit in monumentum; sed expectavit coryphæ-

φον καὶ ὡς ἂν T. — εἴπῃ C. — ἀκολουθοῦμεν C, T. — ὡς προεῖπεν, ἐξεγήγερται T.

5. τοῦ σκόπου T. — ῥυθμηθεῖσαι T. — σκοτία. Ioan. XX, 1. — πόθος κατέλαμπε C. — τὸ φῶς κατ. T. — μή με κρ. C, T. — ἐὰν νοήσητε T. Cf. cant. V, 7, rara quidem syntaxis in tersis poetis christianis, sed frequens in pseudo-nazianz. *Christo patiente* prol. v. 16, 17, tum 711, 912, 1788, etc. Cf. 1, Ioan. V, 15. — καλ. τὸ μνῆμα T. — οἱ φρ. γὰρ C, T. — ὡς ἐγήγερται C.

6. ἐξ. ταχέως T. — καὶ τοῦ πέτρ. C. f. pro accentu : εἰσῆλθεν οὐκ, ut cant. XVI, 20, raro tamen

ὅμως καὶ φθάσας,
οὐκ εἰσῆλθεν
ἔνδον μνήματος·
ἀλλὰ ἀναμένει
τὸν κορυφαῖον,
ἵνα ὡς ποιμένι
ἀκολουθήσει ὁ ἀμνὸς,
καὶ ὄντως οὕτως ἔπρεπε.
Πέτρῳ γὰρ
εἴρηται·
Πέτρε, φιλεῖς με;
καὶ τὰ ἀρνία μου,
ὡς θέλεις, ποίμαινε.
Τῷ Πέτρῳ ἐῤῥέθη·
Μακάριε Σίμων,
τὰς κλεῖς σοι δώσω
τῆς βασιλείας.
Τῷ Πέτρῳ πρὶν
ὑπέταξε
τὰ κύματα,
ἃ ἐπέζευεν,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν

ζ'. Ἀλλ' ὡς προεῖπον πρὸ μικροῦ,
Πέτρος τε καὶ Ἰωάννης
κατέλαβον τὸ μνῆμα,
δι' ὃ εἶπεν ἡ Μαρία·
καὶ εἰσῆλθον ἅμα,
τὸν Κύριον δὲ οὐχ εὗρον·
ὅθεν πρὸς ταῦτα
πτοηθέντες
εἶπον ἅγιοι·
Τίνος ἄρα χάριν
ἡμῖν οὐκ ὤφθη;
μὴ τὴν παῤῥησίαν
ἡμῶν ἡγήσατο πολλήν;
πολὺ γὰρ ἐτολμήσαμεν·
ἔδει γὰρ
ἔξωθεν
ἡμᾶς ἑστάναι,
καὶ περιβλέψασθαι
τὰ ἐν τῷ μνήματι.
Ὁ τάφος γὰρ οὗτος
οὐκέτι ὡς τάφος,
ἀλλ' ὄντως οἶκος
Θεοῦ ὑπάρχει·
ἐν τούτῳ γὰρ
ἐγένετο,

um, pastorem ut agnus pone sequeretur : quod sane et vere decuit; Petro enim dictum est : « Petre, amas me? Ergo meos, ut vis, « pasce agnos. » Petro dictum est : « Beate « Simon, tibi dabo claves regni. » Petro demum maris æquora, quæ calcavit, subegit qui lapsis dat resurgere.

7. At sicut antea dixi, Petrus et Ioannes perrexerunt ad monumentum, ob id quod Maria retulit, et simul intraverunt, nec vero Dominum repererunt : unde attoniti super hæc, aiebant sancti : « Quid erit cur nobis « non patuerit? Nimiamne censuit fiduciam « nostram? Multum quippe ausi fuimus : « oportuit enim stare nos foris, et circumspi- « cere in monumento. Sepulcrum illud non « est tumulo simile, sed vere domus Dei est, « quippe in qua mansit, et habitavit, et sibi « complacuit, qui lapsis dat resurgere.

melodi usu. — ἐντὸς C. — τοῦ μν. C, T. — ἵνα. ἀκολουθήσει pro subj. ut tr. 12 et alias, confirmante Herm. ad Viger. p. 851; Winer. l. l. p. 271. — ὁ ἀμνὸς T, rectius quam C ἀρνὸς seriorum. — εἴρηκεν T. — καὶ τὰ ἀρνία. Iterum καὶ intensive, ut illud Theogn. quod mox noster imitatur : δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν. — ποίμανον C. — Cf. Ioan. XXI, 15-18. Licentia quadam poetica, verba diu post resurrectionem dicta præoccupantur. — usitatius ἐῤῥήθη. Matth. XVI, 17. — βασιλ. πέτρῳ πρώην C. — κύματα ἐπέζευσεν T, ἃ omisso.

7. ἀλλ' ὥσπερ εἶπον T. — τε om. C post πέτρος, cui dextere supplevit T : καὶ ὁ Ζεβεδαίου. — f. διὸ εἵπετο μαρία « quare sequebatur. » — οἱ ἅγιοι C, T. — ἆρά τινος in utroque cod. læso accentu. — ἡμας ante ἑστάναι, postulat melodia, sed cf. cant. XII. ἡμᾶς σταθῆναι T. — ὄντως θρόνος T. Respicit Gen. XXVIII, 17 : ὡς φοβερὸς ὁ τόπος οὗτος, οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος θεοῦ.

καὶ ᾤκησεν,
καὶ εὐδόκησεν,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν.

η'. Περιετράπη οὖν ἡμῖν
ἡ παῤῥησία εἰς τόλμαν,
καὶ μᾶλλον ἐλογίσθη
καταφρόνησις τὸ θάρσος,
διὰ τοῦτο τάχα
οὐκ ὤφθη, ὡς ἀναξίοις.
Ταῦτα λαλούντων
τῶν γνησίων
φίλων πλάσαντος,
εἶπεν ἡ Μαρία
ἀκολουθοῦσα·
Μῦσται τοῦ Κυρίου,
καὶ ὄντως ἐρασταὶ θερμοί,
μὴ ὡς ὑπολαμβάνητε,
αὐτοὶ γὰρ
μείνατε,
μὴ ἀθυμεῖτε·
τὸ γὰρ γενόμενον
οἰκονομία ἦν,
ἵνα αἱ δὴ γυναῖκες,
ὡς πρῶται πεσοῦσαι,
ἴδωσι πρῶται
τὸν ἀναστάντα·
ἡμῖν θέλει
χαρίσασθαι
τό· χαίρετε,
αἱ πενθήσασαι,
ὁ τοῖς πεσοῦσι
παρέχων ἀνάστασιν.

θ'. Ἐπειδὴ οὕτως ἑαυτὴν
ἐπληροφόρει Μαρία,
παρέμεινε τῷ τάφῳ,
τῶν ἁγίων ἀπελθόντων·
ἀκμὴν γὰρ ἐδόκει
ὅτι ἐπήρθη τὸ σῶμα,
ὅθεν ἐβόα,
οὐ ῥήμασιν
ἀλλὰ δάκρυσιν·
Οἴμοι, ὦ Θεέ μου,
ποῦ σε μετῆραν;
πῶς δὲ κατεδέξω
κεχηλιδωμέναις χερσὶ
βαστάζεσθαι, ἀμώμητε;
Ἅγιος,

8. « Evasit igitur nostra libertas in audaciam, quin immo fiducia contemptus reputatur; ideo fortasse non illico comparuit, utpote indignis. » Dum hæc creatoris fideles amici loquuntur, ait Maria pone secuta : « Sacri alumni ac Domini vere ferventes amici, nolite sic iudicare. Manete vosmetipsi et ne desperetis. Quod enim accidit, quædam erat provida cura, ut prorsus mulieres, quæ priores ceciderunt, primæ viderent « suscitatum. « Salvete, vos quæ lugêtis, » nobis vult fausta voce dicere, ille qui lapsis « dat resurgere. »

9. Postquam ita se certiorem Maria fecit, sanctis recedentibus, remansit iuxta sepulcrum. Adhuc enim censebat ablatum esse corpus, unde exclamavit, non verbis, sed fletibus: « Heu mihi! Deus meus, quo te transtulerunt? Quomodo passus es te pollutis « ferri manibus, o immaculate? Sanctus!

8. Tenue mult's fortasse erit, sed nonnullis notatu dignum, cum habeant fata sua libelli, illud est, quod prima horum carminum editio usque ad v. 15 troparii 8 secundis ventis processerat, quum sive ob concilii vaticani gravissima momenta, sive ob adversas Urbis et orbis tempestates, interrupta inde opera et suspensa mœnia, ac pene desrupta ac desperata diu manserant. — ἡμῖν post τοῦτο male interponit C. — τῶν αληθῶν φίλων requirit acc.; excludit vero metrum τοῦ ante πλάσαντος, ut habent codd. — οὕτως θερμ. id. — f. legendum αὖθι γὰρ, invito C; audacius emendavit scriptor taurin. οὐχ ὡς ὑπολαμβάνητε, ἀλλ' ὑπομείνατε, μὴ ἀθ. τὸ γὰρ γινόμενον, iunctis versiculis 15, 16. — καὶ μὴ ἀθυμ. C. — ἴδωσι πρῶτον T. — f. ἡμῖν ποθεῖ pro rhythmo. — τοῖς πενθήσασι T. ταῖς πενθησάσαις C.

9. f. ἀπελθόντων τ. ἁγ. T. ἀπῆραν, melodo satis placere ἀπαίρειν, sequentia docent. — ὅθεν ἐλάλει T. — οὐχὶ ῥήμασιν codd. — f. τοῖς δὲ δάκρ. moduli gra-

Ἅγιος,
ἅγιος, κράζει
τὰ ἑξαπτέρυγα
καὶ πολυόμματα,
καὶ τούτων οἱ ὦμοι
μόλις φέρουσί σε·
καὶ πλάνων χεῖρες
ἐβάστασάν σε.
Ὁ πρόδρομος
βαπτίζων σε
ἐκραύγαζε·
Σύ με βάπτισον,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν·
ι'. Ἰδοὺ τριήμερος νεκρὸς
πέλεις, ὁ πάντα καινίζων·
ὁ Λάζαρον ἐγείρας
τέτταρας μετὰ ἡμέρας,
δείξας καὶ δρομαῖον
τὸν δεδεμένον κηρίοις,
κεῖσαι ἐν τάφῳ.
Ἀλλ' ἤθελον
σοῦ ἰδεῖν ταφὴν,
ἵνα ὡς ἡ πόρνη,
δάκρυσι βρέξω,
οὐ τοὺς πόδας μόνον,
ἀλλὰ καὶ ὅλον ἀληθῶς
τὸ σῶμα καὶ τὸ μνῆμά σου,
κράζουσα·
Δέσποτα,
ὡς τὸν τῆς χήρας
υἱὸν ἀνέστησας,
σαυτὸν ἀνάστησον!
ὁ τοῦ Ἰαείρου
τὴν παῖδα ζωώσας,
τί ἔτι μένεις
ἐν τῷ μνημείῳ;
Ἀνάστηθι,
ἐπίστηθι,
ἐμφάνηθι
τοῖς ζητοῦσί σε,
ὁ τοῖς πεσοῦσιν

« sanctus! sanctus! clamant Seraphim sex alis « et sexcentis oculis insignes, eorumque hu- « meri vix te sustinent; et impostorum ma- « nus abstulerunt te! Ille Præcursor, tingens « te, clamabat : Baptiza me, qui lapsis das « resurgere.

10. « En tertia die mortuus es, tu qui « omnia renovas; qui Lazarum suscitasti « quatriduanum, eumque fecisti accurrere, « vel fasciis devinctum, tu in sepulcro iaces! « Tuam videre avebam sepulturam, ut lacry- « mis perfundam, sicut meretrix, non tuos « tantum pedes, sed totum omnino corpus et « feretrum tuum, clamans : O Domine! sicut « viduæ filium suscitasti, temet excita! qui « Iaïri filiam vivificasti, cur adhuc in sepul- « cro iaces? Exoriare, adesto, manifestator « quærentibus te, qui lapsis das resurgere. »

tiu. οἴμοι Θεὲ C. μοι Ἰησοῦ μου, ποῦ σου T. ποῦ jam vidimus, ubi ποῖ expectatur. Cant. XIV, 1 v. 5. — βαστ. ἀθάνατε T. — σοι κράζει C. Is. VI, 2, 3; Apoc. IV, 8. mox recole cant. IV, 7 seqq.

10. μετὰ τέσσ. ἡμ. C, T. — καὶ δείξ. C. δρομ. δείξ. T. — τὸν κηρ. δεδ. C, T. — ἐν τάφῳ καὶ ὡς εἴθε εἶδον ποῦ ταφὴν T. — μὴ μόνον T. οὐ μόνον C. — σοῦ λέγουσα T. Huc usque melodus, more Græcorum, ut notatum in cant. XII, meretr:cem a Magdalena distinguit, nisi quis intelligat : « Ut feci, dum essem meretrix. » Cf. Marc. V, 22; Luc. VIII, 42. — ὁ τὴν Ἠέρου παιδίσκην ζωώσας, τί ὅτι ἔτει (l. ἔτι) μένεις ἐν τῷ τάφῳ T depravate. — ἀν. πιστώτηθι C, barbare. At minus apte cum cæteris eximiam strophen cohærere ne credas; neque mox ubi ὤφθη, facilius legas ἔφθη, ac si nondum Christus Magdalenæ visus, agnitusque fuerit. Melodus enim argutus puellam inducit secum tacite colloquentem, Christumque intus moventem, et clam se amantis pectori obvium ostendentem, priusquam in hortulano oculis detegatur apertis. « Cernit enim Jesum, licet nondum adesse intelligat, » inquit Cyrillus Alex. in hoc loco Io. XX, 14, et alibi : « Hortulanum eximio affectu Dominum vocat, persentiebat ibi Domini Jesu halitum. »

παρέχων ἀνάστασιν.
ια'. Νενικημένην τῷ κλαυθμῷ
καὶ ἡττημένην τῷ πόθῳ
ἰδὼν ὁ πάντα βλέπων
τὴν Μαγδαληνὴν Μαρίαν,
ἐσπλαγχνίσθη τότε,
καὶ ὤφθη λέγων τῇ κόρῃ·
Γύναι, τί κλαίεις;
καὶ τί ζητεῖς
ἔνδον μνήματος;
Εἶτα ἡ Μαρία
λέγει στραφεῖσα·
Κλαίω, ὅτι ἦραν
τὸν κύριόν μου ἐκ ταφῆς,
καὶ οὐκ οἶδα ποῦ ἔθηκαν·
πάντως δὲ
σόν ἐστι
τοῦτο τὸ ἔργον,
εἰ μὴ πλανῶμαι γάρ,
ὁ κηπουρὸς εἶ σύ·
διὸ εἰ ἐπῆρας
τὸ σῶμα, εἰπέ μοι·
κἀγὼ λαμβάνω
τὸν λυτρωτήν μου·
ἐμός ἐστι
διδάσκαλος,
καὶ κύριος
ὁ ἐμός ἐστιν,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.
ιβ'. Ὁ τὰς καρδίας ἐρευνῶν,
καὶ τοὺς νεφροὺς ἐμβατεύων,
εἰδὼς ὅτι γνωρίζει
τὴν φωνὴν αὐτοῦ Μαρία,
ὡς ποιμὴν ἐφώνει
τὴν μυκωμένην ἀμνάδα,
λέγων· Μαρία!
Ἡ δὲ εὐθὺς
ἡ γνωρίσασα·
Ὄντως ὁ καλός μου
ποιμὴν φωνεῖ με,
ἵνα τοῖς ἐννέα
καὶ ἐνενήκοντα ἀμνοῖς
λοιπὸν συναριθμήσει με.
Βλέπω γὰρ
ὄπισθεν
τοῦ με καλοῦντος,
ἁγίων σώματα,

11. Ut singultu devictam, et amore oppressam Magdalenam Mariam vidit, qui cuncta intuetur, commotus tandem est, et apparuit puellæ, dicens : « Mulier, quid plo- « ras? Quem ve quæris in monumento? » Tum Maria, retro se vertens, ait : « Fleo, quia « tulerunt Dominum meum ex tumulo, ne- « que scio ubi posuerunt eum. At certe tuum « istud opus est ; namque, nisi fallor, tu hor- « tulanus es, ideo si tu abstulisti corpus, dicito « mihi ; et ego sumo redemptorem meum; « meus est magister; certe Dominus meus « est, qui lapsis dat resurgere. »

12. Qui corda scrutatur, et renes pervadit, sciens quod vocem suam agnosceret Maria, uti pastor, sonum dat balanti agnellæ, aiens : « Maria! » Illa, statim comperiens, ait : « Vere bonus meus pastor suo me ore « vocat, ut cum novem et nonaginta ovi- « bus iam annumeret me : pone namque

11. κλαίεις, τίνα θέλεις C, T. — στραφεῖσα λέγει C. εἶπεν T. metri sui Noster adeo tenax est, ut facili crasi scripserit : κοὐκ οἶδα ποῦ. — ἐσόν ἐ. Sic T. — λοιπὸν εἰ ἐπεῖρες sic T. — ἐμὸς πέλει διό. C. — κύρ. ἐμὸς T.

12. νεφρούς. Ps. VII, 10; Jerem. XI, 20, XVII, 10. ἐμβατεύων, uti Romanus, alter melodus paschalis habet in cod. Vat. 771 : ὁ δὲ καρδίας καὶ νεφροὺς | ἐμβατεύων | ἔφη πρὸς αὐτούς. Ita et Georg. Pisida *adv. Sever.* 602 : ὁ τὰς ἐν ἡμῖν ἐμβατεύων καρδίας. — φωνεῖν cum accusat. ex unico fere et dubio Homeri exemplo, cæteroquin delicatus, poeta plus semel usurpat. Eodem modo τὰ δὲ γύναια ἐφώνησε, in Pentecost. rom. sabb. διακαινεσίμου, στιχ. ἀνάστ. — ἡ δὲ εὐθέως εἶπεν C, T. — οἴμοι ὁ καλὸς T. — δικαίων τάγματα T. — διὸ οὕτω C. — ἐμὸς πέλει C. — ὡς προεῖπον C, T, in quo : αὐτός ἐστιν ὡς πρ. κύριος ὁ ἐμός ἐστιν. Inde non discedat lector φιλάρχαιος, quin osculo excipiat renidentem boni pastoris imaginem, cum ove

ἀγγέλων τάγματα·
διὸ οὔτε λέγω
τίς εἶ ὁ καλῶν με;
σαφῶς γὰρ ἔγνων
τίς ὁ καλῶν με,
ἐμός ἐστι,
ὡς εἶπον πρὶν,
διδάσκαλος
τέ καὶ κύριος,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

ιγ'. Ὑπὸ δὲ πόθου τοῦ πολλοῦ
καὶ τῆς ἐμπύρου ἀγάπης
ἡ κόρη κατηπείχθη,
καὶ κρατῆσαι ἠβουλήθη
τὸν ἀπεριγράπτως
τὴν κτίσιν πᾶσαν πληροῦντα.
Ὅμως ὁ πλάστης
σπουδὴν αὐτῆς
οὐκ ἐμέμψατο·
ἀλλ' ἐπὶ τὰ θεῖα
αὐτὴν ἀνάγει,
λέγων· Μή μου ἅπτου!
Μὴ νόει μόνον με βροτόν·
Θεός εἰμι· μὴ ἅπτου μου,
ὦ σεμνή!
πέτασον
ἄνω τὸ ὄμμα
καὶ κατανόησον
τὰ ἐπουράνια·
ἐκεῖ ζήτησόν με,
καὶ γὰρ ἀναβαίνω
πρὸς τὸν πατέρα,
ὃν οὐκ ἀφῆκα·
αὐτοῦ εἰμι
ὁμόχρονος,
καὶ σύνθρονος
καὶ ὁμότιμος,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

ιδ'. Ῥητορευέτω δὲ λοιπὸν
ταῦτα ἡ γλῶττά σου, γύναι,
καὶ διερμηνευέτω
τοῖς υἱοῖς τῆς βασιλείας,
τοῖς νῦν προσδοκῶσι
τὴν ἔγερσίν μου, τοῦ ζῶντος·

« eum qui vocat me, video sanctorum cœtus, « angelorum acies. Unde id non dico : Quis « es tu, qui me vocas? Probe iam conscia quis « me vocet; meus est, ut modo dixi, et ma- « gister et Dominus, qui lapsis dat resur- « gere. »

13. Nimio autem amore ignitaque charitate pulsa puella est, ac tenere voluit eum, qui ambitu maior, totam complet creaturam; attamen conditor haud eius studium vituperavit, quin ad divina promovet, dicens : « Noli me tangere! neque in me solum « vide hominem, Deus sum; ac me tangere « nolis, o veneranda! Sursum attolle oculos, « et percipe cœlestia. Illuc me quærito, as- « cendo enim ad Patrem, quem non dimisi; « ipsi sum coæternus, in eodem throno, ea- « demque maiestate, qui lapsis do resur- « gere.

14. « Hæc deinceps enarret lingua tua, mu- « lier, et interpretetur filiis regni, qui expe- « ctant donec resurgam ego vivens. Festina,

balante ludentis, frequenti comitatu exultantis, qualem inter angelos et apostolos, myrteta inter et viridaria, veteres picturæ adumbrare solent.

13. πόθου τοῦ θερμοῦ T. — ἀναπληροῦντα T, omisso πᾶσαν. — τὴν σπ. αὐτῆς C, T. — ἀνῆγεν T. — μὴ μόνον βρ. με νόει C. εἰ μόνον T. — ἐκζήτησον οὖν με T, om. ἐκεῖ. — αὐτῷ T. πέλω C, T. — ὁμόθρονος ὡς σύγχρονος καὶ συνάναρχος T. Alterutra scriptura, æque vetus, egregia esto catholici dogmatis pronuntiatio.

14. Ῥητορευέτω τῷ λόγῳ T. Activ. contra morem veterum. — παραδοκοῦσι codd. miro consensu. — σπεῦσον καὶ φθάσον C. cf. trop. 16. σπεῦσον, μαρία, καὶ τοὺς μαθητάς μου T. — σάλπιγγός σου γλῶτταν μεγαλοφώνως C. σάλπιγγί σοι χρῶμαι μεγαλοφώνῳ T. — ἔγειρον C, T. — λαμπάδας ἅψουσιν C. — νυμφ. ἠγέρθη T. — καὶ οὐδὲν C, T. — ἔνδον pro acc. idem ac ἐντὸς ex lege XI. — ὅτι ἔρχεται T. Iterum nos melodus intueri jubet veteres illas musivi operis areas, quæ virgines cient

σπεῦσον, Μαρία,
καὶ μαθητὰς
μοῦ συνάθροισον·
σάλπιγγί σου γλώττης
μεγαλοφώνῳ
ἤχησον εἰρήνην
εἰς τὰς ἐμφόβους ἀκοὰς
τῶν κεκρυμμένων φίλων μου.
ἔγειρε
ἅπαντας
ὥσπερ ἐξ ὕπνου·
ἵν' ὑπαντήσωσι,
καὶ δᾷδας ἅψωσιν,
εἰπέ· Ὁ νυμφίος
ἀνέστη τοῦ τάφου,
οὐδὲν ἀφῆκεν
ἔνδον τοῦ τάφου,
ἀπώσασθε,
ἀπόστολοι,
τὴν νέκρωσιν,
ὡς ἐγήγερται
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.
ιε'. Ὡς οὖν ἀκήκοε σαφῶς
ὅλων τῶν λόγων τοῦ Λόγου,
ὑπέστρεψεν ἡ κόρη
καὶ φησὶ ταῖς ὁμοτρόποις·
Θαύματα, γυναῖκες,
ἃ εἶδον καὶ διηγοῦμαι·
μή τις οὖν δόξῃ
ληρήματα
μοῦ τὰ ῥήματα·
οὐ γὰρ ἐφαντάσθην,
ἀλλ' ἐνεπνεύσθην·
πέπλησμαι τῆς θέας
καὶ ὁμιλίας τοῦ Χριστοῦ·
καὶ πῶς, καὶ πότε, μάθετε·
ὅτε με
ἔλιπον
οἱ περὶ Πέτρον,
ἐγγὺς τοῦ μνήματος
ἱστάμην κλαίουσα,
διότι ἐδόκουν
ἐπῆρθαι τὸ σῶμα
τοῦ ἀθανάτου
ἐκ τοῦ μνημείου,
ἀλλὰ εὐθὺς
οἰκτείρας μου
τὰ δάκρυα,
ἐπεφάνη μοι
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν

« Maria, cœtumque meorum discipulorum « voca; oris tui tuba magna resonante, sona « pacem ad pavidas latentium amicorum meo« rum aures, experge fac omnes, quasi e « somno; ut obviam eant, et tædas accendant, « dicito : Sponsus resurrexit e tumulo; nihil « ibi reliquit; pellite, apostoli, stuporem, quia « surrexit, qui lapsis dat resurgere. »

15. Ubi perspicue audiit omnia Verbi eloquia, retro puella cucurrit, et ait suis sodalibus : « Sunt prodigia, o feminæ, quæ « vidi et refero. Nemo ergo deliria habeat « verba mea, haud enim insanivi, sed spiritu « afflata sum; impleor et visione et sermone « Christi; et quo pacto et undenam, audite : « Quando me reliquit Petrus, iuxta monu« mentum steti plorans, rata ablatum fuisse « corpus illius immortalis e feretro. At subito « misertus meorum fletuum, apparuit mihi « is qui lapsis dat resurgere.

ex auro micantes, sponsoque accurrentes ovanti, quales pene sub oculis meis salutare licet in renovata fronte basilicæ B. Virgini juxta ædes callistianas trans Tiberim consecratæ. Neque a nuptiali veterum pompa aberat lætus tibiarum sonus, haud inconcinne a melodo præmissus.

15. ὁμοτρόποις εἶπεν T, omisso φησί. — ὡς ληρήματα C. ὡς λῆρα εἶναι T. — τῆς θείας C, T. — τοῦ ambo om. ante Χριστοῦ. — διότι γὰρ ἐδόκουν ὅτι ἐπήρθη τοῦ τάφου τὸ θεῖον σῶμα τοῦ ἀθαν. εὐθέως δὲ οἰκτείρας T, infeliciter : — δάκρυα, εὐσπλαγχνίσθη μοι T.

ις'. Μετεποιήθη ἄθροον
εἰς εὐφροσύνην ἡ λύπη,
καὶ γέγονέ μοι πάντα
ἱλαρὰ καὶ γεγηθότα.
Οὐκ ὀκνῶ δὲ λέγειν·
ὡς Μωϋσῆς ἐδοξάσθην.
Εἶδον γὰρ, εἶδον,
οὐκ ἐν ὄρει,
ἀλλ' ἐν μνήματι,
οὐχ ὑπὸ νεφέλην,
ἀλλ' ὑπὸ σῶμα,
τὸν τῶν ἀσωμάτων
καὶ τὸν δεσπότην νεφελῶν,
τὸν πρὶν καὶ νῦν καὶ πάντοτε,
λέγοντα·
Μαριάμ!
σπεῦσον καὶ φράσον
τοῖς ἀγαπῶσί με,
ὅτι ἐγήγερμαι.
Ὡς κάρφος ἐλαίας
λαβοῦσά με γλώττῃ,
τοῖς ἐκ τοῦ Νῶε
εὐαγγελίζου,
ὡς πέπαυται
ὁ θάνατος·
ἀνέστην γὰρ,
καὶ ἐγήγερμαι,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν·

ιζ'. Ἀκηκοὼς ὁ σύλλογος
τῶν εὐσεβῶν νεανίδων,
συμφώνως ἀπεκρίθη
πρὸς τὴν ἐκδιηγουμένην·
Ἀληθὲς ὃ εἶπας,
καὶ συναινοῦμέν σοι πᾶσαι,
οὐκ ἀπιστοῦμεν·
ἀλλὰ ἡμῖν
τοῦτο θαυμαστὸν,

16. « Continuo conversus est in lætitiam « luctus, et cuncta mihi successere iucunda « et hilaria. Dicere non dubito, qua gloria « Moyses, eadem ego aucta sum. Vidi, vidi, « inquam, non in monte, at in monumento; « non sub nube, sed corpore tenus, illum « spirituum et nubium Dominum, ipsum heri, « et modo et semper, dicentem : Maria! Pro- « pera, et renuntia diligentibus me quod sur- « rexi; ut olivæ ramusculum, me ore tuo « tenens, Noe filiis bonum fer nuntium : En « excidit mors. Surrexi enim e monumento, « qui lapsis do resurgere. »

17. Ubi audiit cœtus piarum puellarum, concordi voce respondit ad nuntii interpretem : « Verum est quod dicis, et tecum « una omnes consentimus, nec fidem nega- « mus. Id solum stupefacit nos, quod usque « tunc in sepulcro fuerit, et annumerari per « tres dies inter mortuos vita sustinuerit; « quippe quin reverti debuerit ex inferis, « haud ambigimus, ideoque diximus : Ipse

16. ἀθρόον codd., attice emendavi, iubente rhythmo, uti iam in cant. VI, 11, 18; VIII, 8. Grammaticis autem reluctantibus, adsit nobis Gœttling in doctissimo commentario. *Allg. Lehre vom Accent der gr. Spr.* (ed. 1835, p. 295). ὥσπερ Μωσῆς T. — ἴδον γὰρ ἴδον C constanter. — οὐκ ἐν Χωρὴβ pene jubet accentus. — τῷ μνήμ. C, T. — ὑπὸ νεφέλης T. — τὸν πρὶν C. Melodus, Nazianzeni æmulus, geminis καὶ delectatur, cum impetu puellæ consonis. — φρ. τ. ἀποστόλοις μου T. — σημαίνουσα ὡς T. — In primis arrideret dividi ὡς κάρφος | ἐλαίας. uti in hirmo : τὰ μύρα | ὡς δῶρα. At rhythmo continuo plura obstant. — πέπ. ὁ κίνδ. C. — καὶ ἐγήγερται T. vers. om. C. Siste iterum, ἀρχαιολόγε, et osculo saluta symbolicam columbam, nova, nisi fallor, elegantia qua nil supra depictam, et græco penicillo, primo et fortasse unico rei allegoricæ exemplo; quippe columba, toties in christianæ artis suppellectile ramusculo ornata, jam nihil aliud esset quam Maria Virgo (cui facile hic Magdalena typum cedit), Christum in ulnis, et quasi novum puellum gestans e tumulo redivivum. Inter plura quæ animo ad hæc subeunt, pauca subdiderit Apollinaris, cujus prima vox εἶπα Romano fere solemnis est, ps. LIV, v. 7 :

εἶπα δέ· τίς κεν ἐμοὶ πτέρυγας πόροι οἷα πελείης,
ὄφρα δέμας καμάτοιο ποτώμενος ἀμπαύσαιμι;

17. Ἀκούσας τούτων ὁ χορὸς T. — συντόμως ἀπεκρίθη τῇ Μαγδαληνῇ Μαρίᾳ ἀληθῶς ὃ T. ἀληθῶς ἃ εἶπας C. εἶπας atticorum more, maxime tragicorum.

ὅτι ἕως ἄρτι
εἶναι ἐν τάφῳ,
καὶ συναριθμεῖσθαι
τοῖς τεθνεῶσιν ἡ ζωὴ
ἠνείχετο τριήμερος·
ὅτι γὰρ
ἤρχετο
ἐκ τῶν χθονίων
οὐκ ἠμφιβάλλομεν·
διὸ ἐλέγομεν·
τοῦ κήτους οἰκέτην
ἐξήγαγε πάλαι·
καὶ πῶς κρατεῖται
ὑπὸ θανάτου,
εἰ τοῦ θηρὸς
ἀνήρπασεν;
ἀνίσταται
καὶ ἐκ μνήματος,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

ιη'. Νῦν οὖν μὴ νόμιζε, σεμνή,
ὅτι χωλεύει ὁ λόγος·
ὀρθῶς ἡμῖν ἐφθέγξω
καὶ οὐδὲν σκαμβὸν ἐν τούτοις·
ἀληθὴς ὁ λόγος
καὶ προσηνής σου ὁ τρόπος·
ὅμως, Μαρία,
συγκοινωνεῖν
σοι βουλόμεθα,
ἵνα μὴ ἓν μέλος
ἡμῶν τρυφήσῃ,
μείνῃ δὲ τὰ ἄλλα
νεκρὰ καὶ ἄγευστα ζωῆς
ἐκείνης, ἧς ἀπέλαυσας.
Γένωνται
ἅμα σοι
στόματα πλεῖστα,
ἐπισφραγίζοντα
τὴν μαρτυρίαν σου·
ἀπέλθωμεν πᾶσαι
ἐπὶ τὸ μνημεῖον,
καὶ βεβαιῶμεν
τὴν ὀπτασίαν·
κοινὸν ἔστω,
συνόμιλε,
τὸ καύχημα,

« olim eduxit illum ceti incolam, et quo pacto « morte tenetur, si belluæ prædam rapuit? « Surrexit et ipse e monumento, qui lapsis dat « resurgere.

18. « Nunc igitur minime autuma, o ve- « nerata, lubricum esse verbum; recte nobis « locuta es, nec quidquam in his verbis obli- « quum est; immo vera sunt, et acceptum « tuum facinus. Attamen, o Maria, participes « tecum fieri volumus, ne, dum quid unum « ex nostro sodalitio exultet, cætera mortua « maneant, et sensu careant huius vitæ qua « frueris. Tecum ora omnium referta sint, « ad obsignandum tuum testimonium. Ea- « mus omnes ad monumentum, et confirme- « mus visionem : communis, cara soror, glo-

— ἀλλὰ μόνον C. — τοῦτο μόνον T. θαυμάζομεν C, T. — ἦν ἐν τῷ τάφῳ iid. — ὅτι γὰρ ἤμελλεν T. — ἐκ τῶν καταχθονίων οὐκ ἠμφιβάλαμεν C, in quo nota aor. byz. cf. cant. VI, 3 not. — χθονίων ἐλθεῖν ἠλπίζομεν T. — ἐξήγ. πρώην T. — εἰ τὸν θῆρα ἀνέπραξεν, ἐγήγερται ἐκ τοῦ μν. T. — Ac si melodus cyclum rei symbolicæ evolvere spoponderit, ita classicum canonem veterum pictorum religiose sectatur, ut post bonum pastorem, decem Virgines, columbam Noachinam, nunc transeat ad famigeratum Ionæ typum, cujus fortasse cantico hæc melodia eo loci intermissa fuit.

18. ὅτι φωλεύει fort. accersito elemento quam proximo : « latitat verbum » in tumuli specu. — obscura taurin. scriptura habere videtur κοιμᾶται et mox ἐν τούτῳ σκάζον. — ἀλλ' εὐθὺς ὁ λόγος C. — κοινωνῆσαί σοι C, T. Cf. Eph. V, 11. — μέλ. κατατρυφήσῃ T. — ξηρὰ καὶ T. — ζωῆς τῆς θείας ἀναστάσεως T. — ἔστω τὸ θέαμα τ. om. τὸ καύχημα. Quæ in hoc troparia minus apta videntur, arcana fortasse interpretatione ad solemnem agni paschalis communionem referenda sunt. Fidei protestatio solemnis est, cui vehemens spei et amoris plausus statim accedit, et si cui placent veteres quæ supra sunt, memoriæ, illi aderunt *Orantes*, oculis, palmisque ad cœlum extensis, cla-

ὃ παρέσχε σοι
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν·

ιθʹ. Οὕτω λαλῶν ὁ σύλλογος
τῶν θηλειῶν θεοφόρων
ἐξήρχετο τὴν πόλιν
μετὰ τῆς διηγουμένης,
καὶ ἰδὼν τὸν τάφον
ἀπομακρόθεν ἐβόα·
Ἴδε ὁ τόπος
ἢ μᾶλλον δὲ
κόλπος ἄχραντος!
ἴδε ὁ βαστάσας
τὸν βασιλέα!
ἴδε ὁ χωρήσας
ὃν οὐ χωροῦσιν οὐρανοὶ,
χωροῦσι δὲ οἱ ἅγιοι!
αἶνος σοί!
ὕμνος σοί!
ἅγιε τάφε,
μικρὲ καὶ μέγιστε,
πτωχὲ καὶ πλούσιε!
ζωῆς τὸ ταμεῖον,
εἰρήνης δοχεῖον,
χαρᾶς σημεῖον,
Χριστοῦ μνημεῖον!
ἑνὸς μνῆμα,
τοῦ κόσμου δὲ
τὸ καύχημα,
ὡς ἠθέλησεν
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

κʹ. Ὑμνολογήσασαι λοιπὸν
τοῦ ζωοδότου τὸν τάφον,
ἐστράφησαν καὶ εἶδον
τὸν καθήμενον τῷ λίθῳ·
καὶ ἀπὸ τοῦ φόβου
εἰς τὰ ὀπίσω ἀπῆλθον,
εὐλαβηθεῖσαι,
καὶ κλίνασαι
κάτω πρόσωπα,
καὶ μετὰ δειλίας
λαλοῦσαι ταῦτα·
Τί τὸ εἶδος τοῦτο;

« ria esto, quam tibi præstitit, qui lapsis dat « resurgere. »

19. Ea dum turmatim fantur Deiferæ feminæ, agmen exivit ab urbe una cum facti nuntia, visoque sepulcro, turba longe clamavit: « En locus, immo gremium intemeratum! En qui gestavit regem! En qui amplexus est quem cœli non ambiunt, continent vero sancti! tibi laus! tibi hymnus! o « sanctum sepulcrum, parvum et maximum, « egenum et opulentum! O vitæ promptuarium, pacis receptaculum, lætitiæ vexillum, Christi monumentum! unius memoria, orbis autem gloria! sicut voluit, qui « lapsis dat resurgere. »

20. Hymno deinde salutantes tumulum ubi vitæ dator iacuit, conversæ sunt, et viderunt sedentem quemdam in lapide, et præ pavore retro abierunt, horrore percitæ, pronæ deorsum, demisso vultu, cumque metu ita colloquentes: « Quid hoc spectaculi ge« nus? Cuiusve hæc forma est? Quis ille

mosæque et supplices, seu θεοφόροι mulieres, quæ uti priscas tragœdias, sic sacras picturas christianosque ritus personis suis implent.

19. θεοφ. θηλ. codd. — τὴν πόλιν pro ἐκ τῆς πόλ. ut alibi. — ἴδε ter et recte. Cf. VII, 19, XVI, 21 et Mœris p. 193. Attici, plerumque si ἰδὲ scripserint, haud semel vel metri gratia, vel ut vim verbis addant, accentum in penultima cient. Melodus hic veluti æstu lyrico raptus, sequitur Æschyl. *Suppl.* 349 : ἴδε με, *Eumen.* 125 : λάβε, λάβε, λάβε, φράζου. — τόπος μᾶλλον δὲ C, T. — κόλπος ἄφθαρτος T. οἱ οὐρ. C. — τὸ om. ante ταμεῖον codd. — f. pro melodia ἑνὸς μονή· σὺ αἶνος μνῆμα. T male, om. τοῦ, dein τὸ, quod et C. om. Sepulcrum perinde salutatur ac viventis Christi tabernaculum aut sacratæ hostiæ pixis; antiquissimo enim ritu inter paschalia eucharisticum ornatur sepulcrum, ex quo circumfusi *sancti* angelicas epulas et manibus excipiebant et pectore continebant : quis melodi omnia reserabit arcana?

20. κάτω κλ. καὶ τὰ πρ. codd. — τί τοῦτο τὸ εἶ.

ἢ τίνος πέλει ἡ μορφή;
τίς πέφυκεν ὃν βλέπομεν;
ἄγγελος;
ἄνθρωπος;
ἄνωθεν ἦλθεν;
ἢ τάχα κάτωθεν
ἡμῖν ἀνέτειλεν;
πῦρ, ὥσπερ φῶς, πέμπει,
ἀστράπτει, αὐγάζει·
φύγωμεν, κόραι,
μὴ φλογισθῶμεν!
Ὄμβρε Θεοῦ
οὐράνιε,
ἐπίσταξον
τοῖς διψῶσί σου,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

κα΄. Ψυχαγωγήσωσιν ἡμᾶς
νῦν, ὡς σταγόνες, οἱ λόγοι
τοῦ θείου στόματός σου,
ἡ χαρὰ τῶν θλιβομένων,
ἡ ζωὴ τῶν πάντων,
μὴ νεκρωθῶμεν τῷ φόβῳ.
Ταῦτα, ὡς οἶμαι,
ἐλίταινον
αἱ θεόπνευστοι,
ὅθεν ἐμειλίχθη
ὁ ἐν τῷ λίθῳ,
καὶ πρὸς τὰς γυναῖκας
φησί· Μὴ φοβεῖσθε ὑμεῖς,
ἀλλ' οὗτοι οἱ φυλάσσοντες
φρίξωσι,
πτήξωσι,
καὶ νεκρωθῶσιν
ἀπὸ τοῦ δείματος,
καὶ ἵνα μάθωσιν
ὡς καὶ τῶν ἀγγέλων
δεσπότης ὑπάρχει,
ὃν νῦν φρουροῦσιν,
ἀλλ' οὐ κρατοῦσιν.
Ἀνέστη γὰρ,
καθεύδουσιν,
οὐκ οἴδασι,
πῶς ἐγήγερται
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

« quem videmus? An angelus? an homo? « Desursumne venit? Aut forte ab inferis « exortus nobis est? Sicut ignis luce micat, « fulgurat, coruscat; fugiamus, o puellæ! « ne comburamur. O Dei imber cœlestis, ir- « rora sitientibus te, qui lapsis das resur- « gere.

21. « Nunc demulceant nos, ut stillicidia, « divini oris tui eloquia, tu lætitia oppresso- « rum, tu vita omnium, ne metu moriamur. »

Hæc, opinor, supplici voce orabant divinitus afflatæ mulieres: unde commotus his precibus, ille qui lapidi insidebat, ad mulieres ait: « Ne paveatis vos, sed custodes quotquot « trepident, stupeant, intereantque hor- « rore, et sciant angelorum hunc esse Domi- « num; quem nunc si custodiant, certe non « tenent. Surrexit enim, dum dormiunt, ne- « que viderunt quomodo experrectus sit, qui « lapsis dat resurgere.

ὸος iid. — ἔστιν T, om. πέλει. — ὥσπερ (om. T) πῦρ πέλει φῶς C, T. — πέλει bis T. ἀστραπὴν C, ἀστραπῇ T. — ὄμβρε θεῖε C, T. — διψ. σε C, τοῖς ὑμνοῦσί σε T.

21 τοῦ στόματός σου, λόγε T. — τῶν ἁπάντων C. — φόβῳ. Hactenus *Orantes*. Pergit in utroque tropario drama incœptum, in quo pompa ex baptisterio in tumuli apparatum sæpe structo, ad mensam eucharisticam ducebatur, simulque cum angelorum pane, solebant in confirmandos neophytos effundi, veluti divinus imber, sacri spiritus charismata. — ἐλιτάνευον C, T. — αἱ θεόπνευσται T. τὰς ὁσίας ἔφη T. — φρίξουσι, πτήξουσι C. καὶ ποτηθῶσιν T. — ἀπὸ τοῦ φόβου ὅτι καὶ C, T. — ἵνα iubentis modo sumitur, ut in Marc. V, 23; Eph. V, 23, nec ab hoc usu abhorrent vett. Soph. O. C. 155; de quo cf. Winer l. c. 295. — τῶν om. C ante ἀγγέλων — ὃ νῦν φωνοῦσιν T. — γὰρ ὁ κύριος καὶ οὐκ T. — ὡς καθεύδουσι καὶ οὐκ οἴδασι C, T. — ἔγνωσαν T.

κβʹ. Ἀθανατίσθητε λοιπὸν,
θήλειαι, μὴ νεκρωθῆτε·
τὸν κτίστην τῶν ἁπάντων
ἐκζητεῖτε θεωρῆσαι,
καὶ ἑνὸς ἀγγέλου
τὴν ὄψιν νῦν δειλιᾶτε·
δοῦλος ὑπάρχω
τοῦ τὴν ταφὴν
ἐνοικήσαντος·
τάξιν ὑπηρέτου
καὶ φύσιν ἔχω·
ὅπερ προσετάχθην,
ἐπέστην γνωρίσαι ὑμῖν·
ἐγήγερται ὁ Κύριος,
ἔτριψε
τὰς χαλκᾶς
πύλας τοῦ ᾅδου·
καὶ ἐξαλλόμενος,
οὕτως ἀνίστατο.
καὶ τῇ προφητείᾳ
ἐπέθηκε πέρας,
καὶ τῶν ἁγίων
ὕψωσε κέρας·
Δεῦτε, κόραι,
καὶ ἴδετε
ποῦ ἔκειτο
ὁ σωτὴρ ἡμῶν,
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

κγʹ. Λαβοῦσαι θάρσος ἄμεμπτον
ἐκ τῆς φωνῆς τοῦ ἀγγέλου,
φρονίμως αἱ γυναῖκες
ἀπεκρίθησαν πρὸς τοῦτον·
Ἀληθῶς ἠγέρθη
ὁ Κύριος, καθὼς εἶπας,
ἔδειξας ἡμῖν
τοῖς ῥήμασι
σοῦ τὰ πράγματα·
ὄντως γὰρ ἀνέβη
ἐκ τῶν χθονίων·
εἰ μὴ γὰρ ἠγέρθη
καὶ ἐπορεύθη ἐκ ταφῆς,
οὐκ ἂν αὐτὸς ἐκάθισας·
πότε γὰρ
στρατηγὸς,
τοῦ βασιλέως
παρόντος, κάθηται
ἢ διαλέγεται;

22. « Reviviscite jam, mulieres, nolite « metu exanimari. Exquiritis videre Creato- « rem omnium, et unius angeli visum nunc « perhorrescitis. Servus sum eius qui in hoc « sepulcro habitavit. Famuli conditionem et « naturam habeo. Quod mihi iussum est, « veni ut vobis notum facerem : Exsurrexit « Dominus, contrivit inferni ænea claustra, « indeque exsiliens, sic sursum erupit, ut « oracula ad exitum duceret, sanctorumque « cornu exaltaret. Venite, virgines, et videte « ubi iacuit salvator noster, qui lapsis dat « resurgere. »

23. Resumpta magna fiducia ab angeli voce, prudenter ad eum responderunt mulieres : « Re ipsa surrexit Dominus, ut dixisti; reve- « lasti utique nobis per tuos sermones, quæ « facta sunt : vere ascendit ab inferis. Nisi « enim surrexerit, et abierit e tumulo, neque « tu ipse sederes. Quando nam solet dux « coram imperatore sedere aut concionem « facere? Quod si in terris talia interdum

22. Ἀθαν. νυνὶ T. — κτ. τῶν ἀγγέλων T. — τί δειλιᾶτε T. — τὸν τάφον τοῦτον οἰκήσαντος C, T. — κλῆρον ἔχω ἅπερ T. — κηρῦξαι ὑμῖν ἠγέρθη γὰρ T. — συνέτριψε C. ᾅδου, καὶ σιδηροῦς μοχλοὺς αὐτὸς συνέθλασεν T.— ποῦ ἔκ. ὁ ἀθάνατος T. Angelus in sacra theurgia sacerdos, episcopus, pontifex est; cui munus ex ambone erat, resurgentis Dei magnalia profari, eiusque solemnem a morte, ab inferis et orco traducere triumphum.

23. Θάρσ. τὸ λοιπὸν T. — ἀλ. ἀνέστη T. — καθὼς uti ὥσπερ pro acc. ex can. XII, uti mox ἡμῖν pro ἧμιν. — ἔφης T. — ἐν τοῖς C. — καὶ τῷ ῥήματι καὶ τῷ σχήματι, εἰ μὴ γὰρ ἀνέστη ὁ ἐλεήμων, καὶ ἐξεπορεύθη ἐκ τοῦ σπηλαίου ἡ ζωὴ T audaci, ut libet, et arguta, ut solet, elegantia. — ἐκ τῶν καταχθονίων C. — ἐκ τῆς ταφ. C. — καὶ διαλ. T. — ἐν γῇ τὰ τ. T. — γὰρ id. om. ὅπου γὰρ θρόνος C. — καὶ ἄφθαστος C. — CF. Serg. tr. 9. Postquam Hierophantes

εἰ δὲ καὶ τελεῖται
ἐν τῇ γῇ τοιαῦτα,
ἀλλ' ἐν ὑψίστοις
οὐκ ἔστι ταῦτα·
ὁ θρόνος γὰρ
ἀθέατος
καὶ ἄφραστος,
ᾧ καθήμενος
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.
κδ'. Μίξασαι φόβῳ τὴν χαρὰν
καὶ εὐφροσύνῃ τὴν λύπην,
ὑπέστρεψαν τοῦ τάφου,
ὡς διδάσκει τὸ βιβλίον,
πρὸς τοὺς ἀποστόλους,
καὶ ἔλεγον αἱ γυναῖκες·
Τί ἀθυμεῖτε; τὰ πρόσωπα
τί καλύπτετε;
ἄνω τὰς καρδίας!
Χριστὸς ἀνέστη!
στήσατε χορείας,
καὶ εἴπατε ἅμα ἡμῖν·
ὁ Κύριος ἀνέτειλεν,
ἔλαμψεν
ὁ τεχθεὶς
πρὸ ἑωσφόρου.
μὴ οὖν στυγνάσητε,
ἀλλ' ἀναθάλλετε·
τὸ ἔαρ ἐφάνη·
ἀνθήσατε, κρίνα,
καρποφορίαν,
μὴ δυσφορίαν·
πάντες χερσὶν
κροτήσωμεν,
καὶ εἴπωμεν·
ἐξεγήγερται
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.
κε'. Οἱ δὲ ἀκούσαντες σαφῶς
καὶ εὐφρανθέντες τῷ λόγῳ,
ἐξέστησαν εὐθέως,
καὶ φασὶ πρὸς τὰς γυναῖκας·

« aguntur, at hæc in excelsis fieri nefas est : « ubi sane thronus exstat invisibilis, et ine- « narrabilis, in quo sedet, qui lapsis dat re- « surgere. »

24. Metum cum lætitia commiscentes et cum luctu gaudium, e tumulo, ut docet Scriptura, reversæ sunt ad apostolos, et dixerunt mulieres : « Quid animo excidi- « tis? vultus vestros ut quid luctu tegitis? « Sursum corda! Christus surrexit, exer- « cete choros, et dicite nobiscum : Do- « minus nobis exortus est. Illuxit, genitus « ante luciferum. Nolite ergo mœrere, sed « reflorescite. Ver apparuit; florete, lilia, « ad ubertatem frugum, non vero in sterili- « tatem. Omnes manibus plaudamus, et di- « camus : Surrexit, qui lapsis dat resur- « gere. »

25. Aperte cum hæc audiissent, verbisque collætantes, statim surrexere, et dixerunt

dogmata declaraverat, fieri solebat *symboli traditio*, ut aiebant, qua quisque neophytus tradita sibi, fere ut supra, capessere se et intelligere pronuntiabat.

24. τί τὰ πρόσωπα συγκαλύπτητε T. — τί λυπεῖσθε, τί ἀμφιβάλλετε C. — Χρ. ἀνειτεέλεν C. — χορείαν μύσται, καὶ εἴπατε ἡμῖν· ἐγήγερται ὁ Κύριος, ἔλαμψεν T. — νῦν πρὸ ἑωσφ. C. — ἀλλ' ἀναλάμψατε, τ. ἔ. ἐ. ἀνθήσατε, κλόνοι sic T, neuter refugit ab activo ἀνθεῖν, de quo cf. Lobeck ad Sophocl. *Aiac.* p. 93. — μὴ δυσχέρειαν C. — πάντες χεῖρας C, T. — ὅτι ἐγηγ. C. Introductis catechumenis, postquam diaconi et diaconissæ, iam non clamantes : « Foris, canes et profani! » sed neque iubentes lugere, prosterni, silere, ad accedendum provocavere illuminatos, albis vestitos, incipit coram omnibus sacra liturgia, ἄνω τὰς καρδίας! cum sequentibus ex arcani lege tacendis : inter quæ Agnus iterum in altari nascitur, ut in specu et ex tumulo, immo ut in sinu paterno : « Ante luciferum ego genui te! » quæ vox plane paschalis erat. Quibus consummatis, erumpit sacri convivii festivus hymnus : ἀλλ' ἀναθάλλετε, τὸ ἔαρ ἐφάνη κ. τ. λ.

25. ἐξίσταντο T. — φησὶ codd. — κόραι ἔγνωτε ὅπερ λ. T om. τὸ θαῦμα. — οὐ λαλεῖτε τὸ θαῦμα C. — ναί φησιν C, T. καὶ εἶπε T. — συνάθροισον ἡμᾶς T. — ἐπάτησας τὸν θάν. T. — ζητοῦσί σε T. Clauditur rite

Πόθεν τοῦτο, κόραι,
ἐμάθετε; ἢ τὸ θαῦμα
ἄγγελος εἶπεν;
Ναί! ἔφησαν,
καὶ εἶπε, καὶ ἔδειξε,
καὶ ὁ τῶν ἀγγέλων
θεὸς καὶ πλάστης
ὤφθη τῇ Μαρίᾳ,
καὶ ἔφη· Λέξον τοῖς ἐμοῖς·
ἐγήγερται ὁ Κύριος.
Δεῦτε οὖν,
ὡς κριοὶ,
καὶ ὡς ἀρνία
προβάτων, ἅπαντες
σκιρτῶντες εἴπωμεν·
ποιμὴν ἡμῶν, δεῦρο,
συνάγαγε ἡμᾶς,
τοὺς σκορπισθέντας
ὑπὸ δειλίας.
Πατήσας δὲ
τὸν θάνατον,
ἐπίστηθι
τοῖς ποθοῦσί σε
ὁ τοῖς πεσοῦσιν
παρέχων ἀνάστασιν.

κϛʹ. Συναναστήτω σοι, σωτηρ,
ἡ νεκρωθεῖσα ψυχή μου,
μὴ φθείρῃ ταύτην λύπη,
καὶ λοιπὸν εἰς λήθην ἔλθῃ
τῶν ᾀσμάτων τούτων,
τῶν ταύτην ἁγιαζόντων·
ὦ ἐλεήμων,
λιταίνω σε,
μὴ κατάλειπε
τὸν ταῖς πλημμελείαις
κατεστιγμένον·
ἐν γὰρ ἀνομίαις
καὶ ἁμαρτίαις ταῖς ἐμαῖς
ἐκύησέ με μήτηρ μου.
ἅγιε,
ἅγιε,
καὶ φιλοικτίρμων,
ἁγιασθήτω σου
ἀεὶ τὸ ὄνομα,
ἐν τῷ στόματί μου,
καὶ τοῖς χείλεσί μου,
ἐν τῇ φωνῇ μου,
καὶ τῇ ᾠδῇ μου·
δὸς χάριν μοι
κηρύττοντι

mulieribus : « Unde hoc, virgines, didici-
« stis? An prodigium angelus renuntiavit? » — « Utique, aiebant, et dixit et ostendit; et « ipse angelorum Deus ac conditor apparuit « Mariæ, et dixit : Id loquere meis : Sur-« rexit Dominus. Venite igitur, ut arietes et « agni ovium, omnes exultantes dicamus : « Pastor noster, adesdum, collige nos pa-« vore dispersos; et, morte conculcata, suc-« curre amantibus te, qui lapsis das resur-« gere. »

μῷ, * Κύριος σάλπιγγος φωνῇ. * Αὐτῶν οὖν συμψαλλόντων, * καὶ ἄνωθεν ὁρώντων, * μία ζεύγλη ἀγγέλων * ἦλθε πρὸς αὐτούς, * ὃν τρόπον διδάσκει * καὶ ἡ τῶν πράξεων βίβλος, * ὅτι τοῦ πλάστου * ἀναληφθέντος * καὶ τῶν ἁγίων * ἀτενιζόντων, * ἐπέστησαν ὡς ἄνθρωποι * δύο, λευκοὶ τῷ σχήματι, * βοῶντες· Τί ἑστήκατε; * τίνι ἐνατενίζετε; * τί θέλετε κατιδεῖν; * ἰδοὺ κάθηται Θεὸς * ἐπὶ θρόνου αὐτοῦ, * ἐβασίλευσεν ἡμῖν * ὁ βοήσας ὑμῖν· * Οὐ χωρίζομαι ὑμῶν.

ιϛ'. Μὴ θαμβῆσθε τὸ λοιπὸν, * ὦ Γαλιλαῖοι. * Ἰησοῦς γὰρ ὁ Χριστὸς, * ὃς ἀνελήφθη, * οὕτω καὶ ἐλεύσεται, * ὡς αὐτὸν ἐθεάσασθε * ἄνω παραγενόμενον· * σαφῶς γὰρ ἀνελήφθη, * οὐχὶ δὲ μετετέθη· * οὐχ ὡς Ἐνὼχ τὸ πρῶτον, * οὕτως Ἰησοῦς. * Ἐνὼχ γὰρ ἐκεῖνος * μετέστη τῶν ἐπιγείων, * οὐκ ἠξιώθη * τῶν οὐρανίων, * ἀλλ' ἀνετέθη * σκηναῖς δικαίων. * Ἠλίας μὲν τῷ ἅρματι * πυρὸς ἐπικαθήμενος * ἀνῆλθε, καὶ οὐκ ἔφθασε * τὸν οὐρανὸν, ὡς γέγραπται, * ἀλλ' ὡς εἰς τὸν οὐρανόν· * ὁ Θεὸς δὲ τοῦ Ἐνὼχ, * Ἠλιοῦ καὶ Θεὸς, * ἀνελθὼν εἰς οὐρανοὺς, * ἐδήλωσεν ὑμῖν· * Οὐ χωρίζομαι ὑμῶν.

ιζ'. Ἀλλ' ὡς ἤκουσαν εὐθὺς * τῶν λόγων τούτων, * οἱ τοῦ ῥύστου μαθηταὶ * ἀλλήλοις εἶπον· * Ὄντως μάρτυρες πιστοὶ * τῆς Χριστοῦ ἀναλήψεως * οὗτοι, ὡς ἐπουράνιοι· * εἰ μὴ γὰρ εἶδον τοῦτον * καθήμενον ἐν θρόνῳ, * οὐκ ἂν κάτω κατῆλθον * κηρῦξαι ἡμῖν· * ἀγγέλων δεσπόζει, * καὶ δι' ἀγγέλων ποιεῖται * τὰς φιλανθρώπους * οἰκονομίας· *

« nus in voce tubæ. » Quæ dum psallunt inter se et sublimia respiciunt, bini angeli ad eos venerunt, quemadmodum docet Actuum liber : Assumpto nempe Creatore, sanctisque lumina intendentibus, astiterunt quasi duo viri veste candidi, clamantes : « Quid statis? « Quid intuemini? quid vultis percipere? se- « det Deus in throno suo; nobis imperat, « qui dixit : A vobis non recedo.

16. « Ne posthac turbemini, o Galilæi! « Jesus enim Christus, qui assumptus est, « sic revertetur uti eum vidistis sursum » abeuntem. Manifeste enim assumptus est, « neque ut Enoch prius, ita translatus est Je- « sus. Nam Enoch ille a terrenis ablatus est, « necdum ad cœlestia cooptatus est; sed in- « sertus est justorum in tabernacula. Elias « quidem igneo curru vectus ascendit, non « autem in cœlum properavit, sed referente « Scriptura, quasi ad cœlum ivit. Deus vero « Enoch et Eliæ in cœlos ascendens, id vobis « declaravit: Non recedo a vobis. »

17. Quæ statim ut audivere verba, redemptoris discipuli invicem dixerunt : « Veri ac « fideles sunt Christi ascendentis testes, ut- « pote cœlestes spiritus. Nisi enim vidissent « eum in throno sedentem, haud infra descen- « dissent, ut nobis id renuntiarent. Angelorum « Dominus est, et per angelos exequitur « quæ pro hominum amore et salute dispo-

codd. — ἦλθε ἐπὶ γῆν T. Cf. Act. I, 11. — τίνι δ' ἐνατενίζετε T. — βοήσεις ὑμῶν C. Satis T linguæ fecit, non modulo, requirenti ὁ λέξας πρὸς ὑμᾶς, fere ut in 1 trop.

16. τὸ λοιπὸν, pro εἰς τ. λ. *abhinc, dein, postea*, quo sensu et usu melodis solemni reperitur non solum in sacris, ut Act. XXVII, 20, sed etiam in classicis, ut Xenoph. *Cyr.* 1, IV, 15. — ὃν τρ. ἐθ. T. — παραγενάμενον C. Hic vers. 7 nullo prorsus modo esse dividendum aperte demonstratur. — καὶ οὐχὶ μετ. T. Ἐνὼχ τὸ πρὶν C. — οὕτως ὁ Χριστὸς T. — τῶν ἐπ. μετ. καὶ οὐκ ἠξ. T. — ἀλλὰ μετετέθη σκ. ἁγίων C. cf. Eccli. XLIV, 16; Hebr. XI, 5. — Ἠλίας δὲ ὁ τὸ T. — τὸ πύρινον ἅρμα ἐπικ. codd. IV, Regg. II, 2, 11, vide sedulitatem eximii poetæ in scrutandis θεοπνεύστοις. — καὶ ὁ θ. Ἠλίου codd. — ἐμήνυσεν ὑμῖν T. ἡμῖν C.

17. Ἀλλ' ἀκούσαντες εὐθὺς τοῦτον τὸν λόγον sic T. — εἶπαν C. — ἀλλ. ὄντως π. μ. codd. — ἴδον C. — τοῦτο T. — ἐν τῷ οὐρανῷ codd. ἄνω addit T. — id. om. καθήμ. — οὐκ ἂν καθ. κ. codd. — κάτω κηρῦξαι iid. pro quo mel. τὸ εἰπεῖν ἡμῖν, ob accent. — δεσπόζειν T. id. om. ποιεῖται τὰς φιλανθρ. οἰκονομίας, legit καὶ δι' ἀγγ. καὶ ἀρχαγγέλων κυριεύειν ὁ ἀνατ. et post Μα-

ὁ ἀνατείλας * ἐκ τῆς Μαρίας, * ἐτέχθη, καὶ τὴν γέννησιν * ἐδήλουν τούτου ἄγγελοι· * ἠγέρθη, καὶ τὴν ἔγερσιν * ἐδήλουν τούτου ἄγγελοι· * ἀνῆλθεν εἰς οὐρανοὺς, * καὶ τὴν θείαν καὶ σεπτὴν * ἀνάληψιν αὐτοῦ * δι' ἀγγέλων ἀγαθῶν * ἐδήλωσεν ἡμῖν· * Οὐ χωρίζομαι ὑμῶν.

ιη'. Νευρωθῶμεν οὖν ἡμεῖς * κατὰ τῶν πλάνων· * ὁπλισθῶμεν ὁμαδὸν * τοῖς συκοφάνταις· * πάντες κοπιάσωμεν, * ἐπιμόνως παλαίσωμεν, * ἕως ἂν αὐτοὺς ῥήξωμεν· * εἴπωμεν παῤῥησίᾳ * πρὸς τοὺς τῆς ἀπωλείας· * Ποῦ ἐστιν, ὃν ἐν τάφῳ * εἴχετε νεκρόν; * ποῦ πέλει ἐκεῖνος, * ὃν στρατιῶται ἐτήρουν, * καὶ αἱ σφραγῖδες * ὑμῶν ἐφρούρουν; * ποῦ μετετέθη; * ποῦ ἀνελήφθη; * τίς τοῦτον ἀπεσύλησε; * τίς δὲ αὐτὸν ἐβάστασεν; * ἐκλάπη ἐκ τοῦ μνήματος; * πῶς νῦν τοῦ στερεώματος * ἀπέστειλε πρὸς ἡμᾶς, * καὶ ἐδήλωσεν ἡμῖν· * Μὴ πτοῆσθε αὐτοὺς, * οὐ νικῶσι γὰρ ὑμᾶς· * ὡς γὰρ εἶπον ὑμῖν, * οὐ χωρίζομαι ὑμῶν.

ιθ'. Οἱ τοῦ ῥύστου μαθηταὶ * φρονοῦντες οὕτω, * τοῦ κυρίου καὶ Θεοῦ * ἀναληφθέντος, * τότε καταβαίνουσιν * ἐκ τοῦ ὄρους γηθόμενοι, * ἅμα καὶ ἀγαλλόμενοι· * καὶ φθάσαντες τὰ κάτω, * ὡς ἡ γραφὴ διδάσκει, * κύψαντες προσκυνοῦσιν * τῷ ἄνω Θεῷ, * καὶ πλήρεις ἐπαίνων, * φωνὰς ἀφῆκαν τῷ ὄρει, * ὡς εὐφημοῦντες * τὸν ἐλαιῶνα, * ὅτι τοσοῦτον κατηξιώθη· * Τὸ ὄρος τὸ Σινάτιον, * λέγοντες, ὑπερέβαλες· * ἐκεῖνο γὰρ ἐδέξατο * τὰ τοῦ Μωσέως ῥήματα, * σὺ δὲ αὐτοῦ τοῦ Θεοῦ· * ἐν ἐκείνῳ νόμος ἦν, * ἡ χάρις δὲ ἐν σοί, * τὸν Μωσῆν καὶ πλάσασα, * καὶ λέξασα ἡμῖν· * Οὐ χωρίζομαι ὑμῶν.

κ'. Ὑπεράνω εἶ λοιπὸν * καὶ τοῦ Λιβά-

« suit. Ortus ex Maria, natus est, nativitatemque ejus angeli manifestarunt; surrexit, « eumque surrexisse angeli proclamarunt; a« scendit in cœlos, ac divinum mirabilemque « ascensum per bonos angelos testatus est « nobis : Non recedo a vobis.

18. « Corroboremur igitur adversus erro« neos. Turmatim arma stringamus in syco« phantas. Omnes enitamur, luctemur con« stanter, donec eos proscindamus. Confiden« ter dicamus ad perditionis alumnos : Ubi « est in tumulo quem mortuum duxistis? Ubi « jacet ille quem milites custodiebant, quem « sigilla vestra tegebant? quo translatus est? « Quo assumptus est? Quis eum furatus est? « Quisve asportavit? Direptus est e monu« mento? Quomodo nunc nobis misit e fir« mamento nuntios, nobisque edixit : Ne « timeatis eos, vos non victuri sunt; sicut « enim prædixi vobis, non recedo a vobis? »

19. Cum ita censerent liberatoris discipuli, tum assumpto Domino Deoque, descendunt e monte, lætabundi et exultantes; cum ad imum montem venissent, ut Scriptura docet, Deum supernum cernui adoraverunt; laudibusque abundantes, voces ad ipsum montem olivarum miserunt, veluti hymno eum celebrantes, quod tanto decore honoratus est : « Vel Sinæ verticem, inquiebant, « longe superasti; hic mons enim excepit « verba Moysis, tu vero vocem ipsius Dei; in « hoc lex erat, in te gratia, tum ea quæ Moy« sem fecit, tum quæ nobis dixit : Non re« cedo a vobis.

20. « Jam sublimior Libano es; Thabor et

ρίας inserit αὐτὴν φυλάξας πάλιν παρθένον. — ἐφάνη καὶ τ. ἔ. τούτου ἐδόουν T. ἔ. τούτου ἐδ. C.

18. ἐπιμ. πελάσωμεν C. — pro εἴπωμεν f. βοῶμεν ob melod. ἐφρούρουν πῶς ἀπεκλάπη. — ποῦ ἐφαντώθη C corrupte. — ἐκλάπη πρὶν C. — ob aor. ἀπέστειλε mel. f. πῶς οὖν τ. σ. — μὴ φοβεῖσθε T. — νικήσωσιν T.

19. οὕτω φρ. codd. — Χριστοῦ τε κ. θ. T. — ἀλλὰ καὶ ἀγ. T. — ὡσεὶ γρ. T. — ἄνω τῷ θ. C. — τοιοῦτον κατηξ. T. — f. melodiæ ergo lege βοῶντες pro λέγοντες. — Μωσ. ῥήματα T. — καὶ σὺ αὐτοῦ C. — ἡ δὲ χάρις C. — ἡ καὶ πλάσασα T. πλάσασα Μωσῆν C.

20. σοι ἐλαττ. T. — συνειπόντες C. — τοῦ πλάστου T. — τοὺς λ. α. codd. — pro μόνε f. τήν σου. — σοῦ.

νου * Θάβωρ καὶ Ἑρμονιεὶμ * σοῦ ἐλαττοῦνται, * ὅτι οὐκ ἐποίησεν * ἐν αὐτοῖς ὁ φιλάνθρωπος * ἅπερ ἐν σοὶ ἐποίησε. * Τοιαῦτα οὖν εἰπόντες, * οἱ μαθηταὶ τοῦ ῥύστου * ἔστησαν μέχρι τούτου * λόγους τοὺς αὐτῶν, * καὶ ἄραντες ἄνω * τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας, * ἐξιλεοῦντο * τὸν βασιλέα * τῶν οὐρανίων * καὶ ἐπιγείων * βοῶντες· Ἀναμάρτητε * μόνε, εἰρήνην δὸς ἡμῖν, * καὶ δι' ἡμῶν τῷ κόσμῳ σου· * οὐ στέγει γὰρ ὁ ἐχθρὸς * κατιδεῖν τὰ ὑφ' ἡμῶν * γινόμενα καλά, * αὐτὸν δὲ σόβησον * ἀφ' ἡμῶν σὺ ὁ εἰπών· * Οὐ χωρίζομαι ὑμῶν, * ἐγώ εἰμι μεθ' ὑμῶν, * καὶ οὐδεὶς καθ' ὑμῶν. *

« Hermon tibi subsunt, quia in illis amicus « hominum tanta non fecit, quanta in te « operatus est. » Talibus colloquentes liberatoris alumni, huc usque finem sermonibus posuerunt, oculisque ac manibus sursum erectis, regem cœlestium atque terrestrium supplici invocabant clamore : « Tu solus sine « peccato, da pacem nobis, et per nos mundo « tuo ! Non sustinet hostis tuus videre quæ « per nos pulchre facta sunt, sed propelle « eum a nobis, tu qui dixisti : Non recedo a « vobis, sum vobiscum, et nemo contra « vos. »

Hic πρεσβείαις τῆς τεκούσης σε add. T. — ἀλλὰ σόβ. αὐτὸν ἀφ' ἡμῶν ὁ εἰπὼν codd. ambo.

XX.

CANTICUM DE PENTECOSTE.

α'. Ὅτε καταβὰς,
τὰς γλώσσας συνέχεε,
διεμέριζεν ἔθνη ὁ ὕψιστος·
ὅτε τοῦ πυρὸς
τὰς γλώσσας διένειμεν,
εἰς ἑνότητα πάντας ἐκάλεσε·
καὶ συμφώνως δοξάζωμεν
τὸ πανάγιον Πνεῦμα.
β'. Ταχεῖαν καὶ σταθηρὰν

1. Quando descendens
linguas confudit,
divisit gentes Altissimus ;
quando igneas
linguas distribuit,
in unum omnes vocavit :
una ergo voce celebremus
sanctissimum Spiritum.
2. Prompta et fortia

Hæc Romanum cecinisse inter mæsta rei publicæ negotia, quæ non nisi obscure significantur, facile dixeris, tam ex flebili concentu quam ex gravitate procemii grandiusculo metro ordientis, illoque tono ultimo, qui simul ac alter βαρύς, sive sextus, pene totum Pentecostæ officium implet. Quibus sacris notum est accedere apud Græcos γονυκλισίαν, solemnesque veluti næmias, ad inchoandum ieiunium illud famosum, quod etiam nunc apud Slavos S. Petro αὐτολεξεὶ consecratur. Multa, ut in superioribus, sic in illo cantico ritus veterum christianorum referunt, Romanique et pietatem simul spirant et doctrinam eximiam. Est epigraphe in Corsinio : Κυριακῇ τῆς ν' κονδάκιον, ἦχ. πλδ', φέρον ἀκροστιχίδα· τοῦ ταπεινοῦ Ῥωμανοῦ. Constat v. 388, in trop. XX, quorum duo priora solum innotuere. Asservantur in codd. corsin. f. 119, 120 ; mosq. f. 312 ; taurin. f. 1-5, extra sedem in duobus posterioribus posita.

1. συνέχεε. Exquisite melodus, ut solet, sed duce altero vate Gregorio Nazianzeno, in or. XLI *de Pentecoste* : Ἐπαινετὴ μὲν καὶ ἡ παλαιὰ διαίρεσις τῶν φωνῶν...ἀξιεπαινετωτέρα δὲ ἡ νῦν θαυματουργουμένη· ἀπὸ γὰρ ἑνὸς πνεύματος εἰς πολλοὺς χυθεῖσα, εἰς μίαν ἁρμονίαν πάλιν συνάγεται. BB. t. I, 743. — καὶ pro διὸ more Rom. δοξάζομεν edd. ven.

2. σταθηρὰν sic edd. et codd. nostri. — πνεύματα

δίδου παραμυθίαν
τοῖς δούλοις σου, Ἰησοῦ,
ἐν τῷ ἀκηδιᾶσαι
τὰ πνεύματα ἡμῶν.
Μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν
ἐν θλίψεσιν,
μὴ μακρύνου τῶν φρενῶν ἡμῶν
ἐν περιστάσεσιν,
ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον,
ἔγγισον ἡμῖν, ἔγγισον
ὁ πανταχοῦ·
ὥσπερ τοῖς ἀποστόλοις σου
πάντοτε συνῆς,
οὕτω καὶ τοῖς σε ποθοῦσιν
ἕνωσον σαυτὸν, οἰκτίρμων,
ἵνα συνημμένοι σοι
καὶ ὑμνῶμεν καὶ δοξολογῶμεν
τὸ πανάγιον Πνεῦμα.

præbe solatia
tuis, o Iesu, famulis,
dum mœrore concidunt
nostri spiritus;
ne tu a nostris recedas mentibus
inter ærumnas;
ne procul a nostris animis abeas
in calamitatibus;
sed semper ad nos propera,
accede huc, accede,
tu qui ubicumque es:
sicut apostolis tuis
semper aderas,
ita et desiderantibus te
unum te fac, o misericors,
ut coniuncti tecum
et hymnis et divinis canticis celebremus
sanctissimum Spiritum.

γ. Οὐκ ἐχωρίσθης, σωτὴρ, * τῶν μαθητῶν σου τότε, * ὁδεύσας εἰς οὐρανούς· * καὶ γὰρ τὰ ἄνω φθάσας, * τὰ κάτω συνέχεις· * οὔτε εἷς γὰρ τόπος δίχα σου, * ἀχώρητε, * κἂν γὰρ γένηται, ἀπόλλυται * καὶ ἀφανίζεται, * καὶ ὡς Σόδομα γίνεται· * σὺ γὰρ ἵστης τὰ σύμπαντα, * πάντων κρατῶν. * Σὲ οὖν καὶ οἱ ἀπόστολοι * εἶχον ἐν ψυχαῖς· * διὸ ἐκ τοῦ Ἐλαιῶνος, * σοῦ ἀναληφθέντος, τότε * κατῆλθον χορεύοντες, * καὶ λέγοντες· Ταχὺ ἡμῖν πέμψον * τὸ πανάγιον Πνεῦμα.

3. A discipulis tuis, salvator, tunc non discessisti, quando in cœlos tendebas; superna enim dum petis, inferiora contines. Nullus namque sine te locus est, o loci expers; esto enim quod aliquis sit, destruitur, aut evanescit, vel ut Sodoma absorbetur. Tu enim universa instituis, omnia continens. Te ergo apostoli in animis gerebant; ideo ab Oliveto, post ascensum tuum, descendebant exultantes ac dicentes: « Cito nobis mitte sanctissimum « Spiritum. »

δ'. Ὑπέστρεψαν ἐν χαρᾷ * ἀπὸ τοῦ Ἐλαιῶνος * οἱ ἕνδεκα μαθηταί· * Λουκᾶς δὲ

4. Cum gaudio reversi sunt ab Oliveto undecim discipuli; id Lucas, sacrorum inter-

ἥμων. Paroxytonum rhythmus perpetuus exposcit, quanquam veteres tantum in ἧμιν et ἧμας accentum retrahant. Sed recole can. metr. XIII. — ἀλλὰ ἀεὶ edd. — ὥσπερ καὶ codd. et edd. sed læso metro constanti. — ἵνα οἰκτίρμον edd. ἵνα συνημ. cum T, ὡς ἂν συν. σοι C. σου T minus bene. — καὶ ante ὑμν. edd. et codd. om. immo pro καὶ ὑμνῶμεν rhythmus requirit καὶ ᾄδωμεν vel κ. σέβωμεν — πανάγιόν σου πνεῦμα ed. ven. — Vim nota crescentem in voce δοξολογῶμεν, ut infra in 5, quæ accedit ad θεολογεῖν, hymnosque soli Deo debitos rite significat; id quod sæpius sentire licuit, quam commodius exprimere, ut in cant. 1 tr. 1; V, 7; VI, 4 etc.

3. ἀπὸ τ. μαθ. Tom. τότε. — φθάσας πρὸς τὰ ἄνω T. Cum verbis motum aperte significantibus sæpe omitti præp. iam vidimus exemplo vett. confirmari. Cf. cant. X, 5; XII, 5; XIII, 16. — οὐδὲ εἷς T. — σου, ἀθάνατε T. — γίνηται T. — ἱστᾷς C, T, contra rhythm. dein τὰ om. C. — τότε om. T et καὶ λέγοντες usque ad πέμψον, sed habet fere uti supra: ὑμνοῦντες καὶ δοξολογοῦντες.

4. Λουκᾶς γὰρ T, Act. I, 12. — ἀνελ. ὑπερῴῳ δὲ C. ὑπέστρεψαν εἰς ὑπερῷον δὲ ἀν. ἔνθα κατ. T. — Πέ-

τοῦτο γράφει * ὁ ἱεροφάντης, * ὅτι εἰς Ἱεροσόλυμα * ἀνέλυσαν, * ὑπερῷον δὲ ἀνέβησαν, * οὗπερ κατέμενον, * καὶ ἐμβάντες ἐκάθισαν * Πέτρος καὶ οἱ ἐπίλοιποι * τῶν μαθητῶν, * ὧν ὁ Κηφᾶς, ὡς ἔξαρχος, * εἶπε πρὸς αὐτούς· * Ἐρασταὶ τῆς βασιλείας, * ἄνω σχῶμεν τὰς καρδίας * πρὸς τὸν ὑποσχόμενον * καὶ λέξαντα· Ἐγὼ ὑμῖν πέμψω * τὸ πανάγιον Πνεῦμα.

ε´. Τοιαῦτα Πέτρος εἰπὼν * τότε τοῖς ἀποστόλοις, * διήγειρεν εἰς εὐχὴν, * καὶ στὰς ἔμμεσος τούτων, * ἐβόησε λέγων· * Δεηθῶμεν, γόνυ κλίνωμεν, * αἰτήσωμεν, * ἐκκλησίαν τὸ δωμάτιον * τοῦτο ποιήσωμεν· * καὶ γάρ ἐστι, καὶ δύναται· * κλαύσωμεν καὶ κραυγάσωμεν * πρὸς τὸν θεόν· * Πέμψον ἡμῖν τὸ Πνεῦμά σου * τὸ πανάγαθον, * ἵν' ὁδηγήσῃ τοὺς πάντας * πρὸς τὴν γῆν σου τὴν εὐθεῖαν, * ἣν σὺ προητοίμασας * τοῖς σέβουσι καὶ δοξολογοῦσι * τὸ πανάγιον Πνεῦμα.

ϛ´. Ἀκούσαντες οὖν εὐθὺς * οἱ μετ' αὐτοῦ κληθέντες, * συνήθροισαν ἑαυτοὺς, * ὡς πρὸς ποιμένα ἄρνες, * τῷ λόγῳ θελχθέντες, * καὶ σιγῶντες ὑπηγόρευον * ἃ ηὔχοντο, * καὶ δεήσεις ἐπανέτεινον * τῷ παντοκράτορι * ταῦτα περιεχούσας που· * Τῷ τῶν ἀγγέλων πρύτανι * καὶ βασιλεῖ, * τῷ τῶν ἀνθρώπων ἄνακτι, * καὶ δημιουργῷ, * τῷ τῶν ἐν γῇ καὶ θαλάσσῃ * μόνῳ νεύματι κρατοῦντι, * οἱ

pres, scribit, eos petivisse Hierosolymam, ascendisse in aulam domus superiorem, quam inhabitabant. Ingressique Petrus cæterique discipuli consederunt; quibus Cephas uti præses dixit : « O regni amatores, sursum « corda ! sursum ad promittentem ac dicen« tem : Ego vobis mittam sanctissimum Spi« ritum. »

5. Talia fatus apostolis Petrus, eos ad orandum collegit, stansque in medio eorum, sic vocem extulit : « Oremus, genuflectamus, « deprecemur, in ecclesiam hoc cœnaculum « instruamus; ita enim fas est et fieri potest. « Ploremus, clamemus ad Deum : Mitte no« bis Spiritum tuum optimum, ut dirigat « omnes ad terram tuam rectam, quam tu « præparasti colentibus et celebrantibus san« ctissimum Spiritum. »

6. Statim igitur, his auditis, qui cum illo vocati erant, coegerunt se, ut agni ad pastorem, voce eius allecti, et silentio faventes, clam succinebant, ad ea quæ postulata sunt, intentasque preces omnipotenti mittebant, his fere verbis expressas : « Summo angelo« rum principi et imperatori, hominum regi « et opifici, qui solo nutu cuncta gubernas, « quæ in terra et quæ in mari sunt, tibi tui

τρος. Inde in finem splendet supremum Petri pontificium. — μερισταὶ τῆς β. T, f. melius. — ἄνω σ. τ. καρδίας, ut supra in XVIII, ad sacræ liturgiæ initium designandum.

5. τοιαῦτα τότε εἶπ. Π. τοῖς T. — διήγειρεν (a διαγείρω scilicet) εἰς εὐχὴν, quasi ad *synaxim* γονυκλισίας. — ἐν μέσῳ T, ἐμμέσῳ C, uterque contra rhythm. — τὸ δομάτ. τοῦτο codd. — καὶ ante κραυγ. om. C. — τὸ ἀγαθὸν codd. — εἰς τ. γῆν T.

6. ποιμένα, ut in cant. XVII; intuere quid *orantibus* esset imago boni pastoris, sacræ mensæ imminentis et assurgentis inter veteres picturas. — ὑπηγόρευον ἃ ηὔχοντο. Syllabas hic singulas expende : fit primum εὐχὴ plerumque tacita sacerdotis, ἃ ηὔχοντο; tum diaconus intonat prolixas preces, καὶ δεήσεις ἐπανέτεινον (ἐπανέτειναν male T.) quibus absolutis fideles leni plausu sive ὑπακοῇ succinebant per ἐφύμνια, se ad sacerdotis ἐκφώνησιν, et diaconi ἐκτενῆ attentos et consentaneos proclamantes, ὑπηγόρευον ἃ ηὔχοντο. Subobscura quidem est dictio ὑπαγορεύειν, ac proprie significat *clam eloqui*, *clam orare;* quo extenso sensu alia quoque obscura declarantur, ut ὑπακούειν, ὑπακοὴ, ὑποψάλλειν, *succinere, in fine respondere,* ἐφύμνια *recolere*. Cf. Const. apost. II, 57 (mihi p. 204). Athanas. *Apolog.* BB. t. I, p. 267, ubi primus fortasse Montefalconius facem errantibus prætulit; etiam cl. Valesius ad Theodoret. H. E. II, 13 p. 88 : τοὺς δὲ λαοὺς ὑπακούειν, inepte proponit ὑπηχεῖν. Adde Euseb. H. E. II, 17; Basil. ep. 53. — ταῦτα περιεχ. T. — που om. codd. — παντοκράτορι. Recte ergo de Deo idem intellexi in

φίλοι καὶ δοῦλοί σου * βοῶσί σοι· Ταχὺ ἡμῖν πέμψον * τὸ πανάγιον Πνεῦμα.

ζ΄. Πληρώσαντες οὖν εὐθὺς * τὰς ἑαυτῶν δεήσεις, * ὑπέγραψαν ἐν αὐταῖς, * σφραγίσαντες τῇ πίστει, * καὶ πέμψαντες ἄνω, * ἃς ἀνέγνω ὁ διδάσκαλος, * καὶ ἔφησεν· * Αὐτεξούσιε Παράκλητε, * μὴ κελευόμενος, * ἀλλ' ὡς θέλεις, κατάβηθι· * σὲ λοιπὸν γὰρ ἐκδέχονται * οἱ μαθηταὶ, * οὕσπερ ἐγὼ συνήγαγον * σοὶ καὶ τῷ Πατρὶ, * καὶ ἐξεπαίδευσα λέγων· * Μαθητεύσατε τὰ ἔθνη, * Πατέρα κηρύττοντες * καὶ σέβοντες Υἱὸν, καὶ ὑμνοῦντες * τὸ πανάγιον Πνεῦμα.

η΄. Ἐπήκουσεν ὡς θεὸς * ὁ Παράκλητος τότε * τῶν δεομένων αὐτοῦ, * καὶ δὴ καταλαμβάνει * αὐτοὺς εὐχομένους, * οὐδαμόθεν ἀφιστάμενος * ὁ ἄφραστος· * οὐ γὰρ γέγονε μετάβασις * ἡ συγκατάβασις, * οὐδ' ὑπέμεινε μείωσιν· * ἄνω γὰρ ἦν, καὶ κάτω ἦν, * καὶ πανταχοῦ, * θεία γὰρ φύσις ἄφραστος * καὶ ἀναφὴς, * τοῖς ὀφθαλμοῖς οὐχ ὁρᾶται, * πίστει δὲ κατανοεῖται, * χερσὶν οὐ κατέχεται, * καρδίαις δὲ πισταῖς ψηλαφᾶται * τὸ πανάγιον Πνεῦμα.

θ΄. Εἱστήκεισαν ὁμαδὸν, * συμπληρουμένης ἤδη * ποτὲ τῆς πεντηκοστῆς, * εὐχαῖς προσκαρτεροῦντες * οἱ ἕνδεκα τότε, * καὶ ὡς λέγει τὸ ἀνάγνωσμα * τῶν πράξεων· * Ὡς πνοῆς βιαίας ἄθροον * ἦχος ἐγένετο, * οὐρανόθεν κτυπούμενος, * ὅλον δὲ τὸ δωμάτιον *

« amici ac famuli clamant : Cito nobis mitte « sanctissimum Spiritum. »

7. Statim igitur, peractis precibus suis, subscripserunt eas, ac fide obsignatas ad superna mandaverunt. Quas ubi legit magister, sic fatus est : « O tuæ potentiæ compos, Paraclete, non iussus, sed prout sponte vis, « descende ! Te enim expectant iam disci- « puli, quos tibi et Patri congregatos erudivi « dicens : Docete gentes, prædicantes Pa- « trem, adorantesque Filium et glorificantes « sanctissimum Spiritum. »

8. Audivit, ut pote Deus, Paracletus sic deprecantes eum, nec mora descendit ad eos, dum orant, nulla ex parte ab illis semotus ineffabilis ille, nec fuit loci mutatio demissio eius benigna, neque ullum passus est detrimentum. Sursum enim erat, eratque deorsum, et ubique : divina quippe natura, nemini enarranda et intactilis, oculis non captatur, sed percipitur fide; manibus non tenetur, piis vero cordibus tangitur sanctissimus Spiritus.

9. Simul consistebant, expleta iam quinquagesima die, inter se undecim orationibus incumbentes, ut fert lectio Actuum, quum sonus vehementis spiritus cœlitus obstrepentis subito factus est, totamque ædiculam implevit, quin immo stupore concussit dilectos

cant. XVI, 17. — τῷ τὰ C. — post βοῶσι male σοι eraditur in T.

7. σφραγὶς πίστεως symbolum est, iure ad apostolos relatum, etsi ab ipsis in liturgiam insertum fort. non fuerit. — πέμψαντες ἄνω, scilicet vota et oblationes, super quæ fit a pontifice solemnis ἐπίκλησις sive consecratio, ἃς ἀνέγνω ὁ διδάσκαλος. — σὲ γὰρ λοιπ. codd. — οὓς καὶ ἐγὼ T. — οὓς ἐξεπ. T. — ἔθνη. Matth. XXVIII, 19. — πνεῦμα κηρύττ. T. om. καί. — υἱὸν σέϐ. καὶ δοξολογοῦντες id. sibi constans.

8. εἰσήκουσεν ὁ θεὸς T. — δεσμ. αὐτῷ T. — τούτους εὐχ. codd. — μηδαμόθεν T. — γέγ. κατάϐασις T. — οὐδὲ C. οὔτε ὑπ. T. — πνεύματι θεωρεῖται T. — οὐ καταδέχεται C. — πιστῶν ἐρευνᾶται T.

9. ἱστήκεισαν scripsit C, ob acrostichidem, cui non nocet T recta scriptura, satis auribus Græcorum excepta. — T. om. πεντ. et ποτὲ, tantum habet ἤδη συμπλ. — ἀνάγνωσμα publica est lectio ex ambone facta. — ὡς om. T et ἄθροον, de quo cf. cant. VI, 11, 18; XVII, 16. — ἦχός τε T. — οὐρ. ἠχήσαντος C. — ἐπλ. πυρὸς codd. — καὶ ἔσπλασεν sic T. — Si quis hæc attente cum ritu liturgico contulerit, facile duplicem inveniet Spiritus sancti ἐπίκλησιν, priorem in tr. 7, posteriorem in 9, quarum una apud Occidentales consecrationi præmittitur, altera Orientalium postponitur, ambas vero veteres habuisse videntur.

ἐπλήρωσε, * μᾶλλον δὲ καὶ κατέπληξε * τοὺς ἀγαπητούς· * διὸ ὡς σκάφος, τὸν οἶκον * σαλευόμενον ὁρῶντες, * ἐβόων· Ὦ δέσποτα, * κατάπαυσον τὴν ζάλην, καὶ πέμψον * τὸ πανάγιον Πνεῦμα.

discipulos; quum enim ut cymbam, domum quassatam cernerent, clamabant : « Dominator, quiescere fac procellam, atque « mitte sanctissimum Spiritum. »

ι΄. Νομίζοντες οἱ σοφοὶ * ὅλον τὸ ὑπερῷον * χαλᾶσθαι ἐκ τῆς πνοῆς, * συνέστειλαν ἐν φόβῳ * τὰ ὄμματα πάντες, * καὶ ἰδοὺ γέγονεν ἕτερον * φρικτότερον, * καὶ τῷ πρώτῳ φόβῳ δεύτερον * τρόμον ἐπήγαγεν * τὰ ἐπάλληλα θαύματα· * γλῶσσαι γὰρ πάλιν πύριναι * τότ᾽ ὤφθησαν, * καὶ ἐπὶ κάραις ἤρχοντο * τῶν ἀγαπητῶν, * καὶ οὐ παρέφλεγον τρίχας, * ἀλλ᾽ ἐφώτιζον τὰς φρένας, * καὶ καθαριζούσας γὰρ * καὶ καινιζούσας ἔπεμψε ταύτας * τὸ πανάγιον Πνεῦμα.

10. Qui prudentes viri, opinati totam superiorem aulam turbine fatiscere, præ timore omnes clausere oculos; et ecce aliud fit formidolosius, ac priori pavori alterum addiderunt metum prodigia sibi succedentia. Linguæ enim igneæ altera tunc vice emicuerunt, et super capita dilectorum institerunt, neque urebant capillos, sed mentes illustrabant; flammas enim ad mentes repurgandum et renovandum misit sanctissimus Spiritus.

ια΄. Ὁ Πέτρος δὲ κατιδὼν * τὰ γεγονότα πάντα, * ἐβόησεν· Ἀδελφοί, * τιμῶμεν ἃ ὁρῶμεν, * μὴ ἐξερευνῶμεν, * μήτις εἴπῃ· Τοῦτο τί ἐστι * ὁρώμενον; * ὑπερβαίνει γὰρ διάνοιαν * τὸ ἐκτελούμενον, * καὶ νικᾷ τὴν ἐνθύμησιν. * Πνεῦμα καὶ πῦρ συνέζευκται, * θαῦμα πιστόν! * αὔρα καὶ φλὸξ συνήρτηται, * θέαμα φρικτόν! * μετ᾽ ἀνέμων αἱ λαμπάδες, * μετὰ δρόσου οἱ σπινθῆρες! * τίς εἶδε; τίς ἤκουσε; * τίς δύναται εἰπεῖν, ὃ παρέχει * τὸ πανάγιον Πνεῦμα.

11. Petrus, postquam acta omnia perspexit, vocem extulit : « Fratres, adoremus « quæ intuemur, neque scrutemur ea, neque « ullus dicat : Quid rei visum est? mentem « enim superat hoc facinus, cogitatumque « vincit. Spiritum et ignem coniungi, cer- « tum prodigium! Auram et flammam com- « poni, spectaculum tremendum! cum flati- « bus lampadas, cum rore scintillas! Quis « vidit? Quis audivit? Quis enarrare valet « quod præstat sanctissimus Spiritus?

ιβ΄. Ὑμεῖς οὖν, ἀγαπητοί, * στῆτε, καὶ καθορᾶτε * ἀπεριέργως τὸ πῦρ, * ὃ ἔπεμψεν ἐξ ὕψους * ὁ ἐν τοῖς ὑψίστοις· * μὴ φοβεῖσθε, οὐ γὰρ φλέγουσιν * οἱ ἄνθρακες· * μὴ θαμβεῖσθε, ὅτι ἄκαυστον * τοῦτο τὸ πῦρ ἐστιν. * Ἀλλ᾽ ὡς φρόνιμοι, μνήσθητε * πῶς πάλαι πῦρ ἐδέξατο * παῖδας τοὺς τρεῖς, * πῶς οὐκ ἐκαύθη σώματα * τούτων, οὐδὲ θρίξ· * πῶς

12. « Vos ergo, cari sodales, state et tran- « quillo considerate animo ignem quem mi- « sit ab alto qui habitat in excelsis. Ne pa- « veatis, haud enim incendunt hi carbones; « ne formidetis, haud urit ille ignis. Rite « autem providi mementote quomodo olim « flamma tres exceperit pueros, nec tamen « corpora ambusta sunt, neque etiam capil-

10. νομίσαντες T. — χαοῦσθαι ἐκ τῆς C, an barbare, an recte a χάος oriundum? — τρόμ. ἐποίησαν C. — πύρινοι ἥπτοντο αὐτῶν T. — καὶ γὰρ καθ. C, T. καὶ φωτιζούσας T. — προέπεμψε C, T.

11. ἐξερευνήσωμεν C. — τὸ ὁρ. C, T. f. τὸ δρώμενον. — συνήργηται C. συνήντησε T. — θαῦμα φρ. μετὰ ἄνεμον T. — μ. δρόσον sic C, T. οἱ ante σπινθ. om. C, neque rhythmo obstat μετὰ ex can. XI. — ὃ ὑπάρχει T.

12. ὁ ὢν ἐν τῷ ὕψει T. — οὔτε θρὶξ C; recole can. XII. — Ad πῶς ἡ nota ellipsin ἡ κάμινος. — αὐτ. ἐδείχν. C. — σὺν τόχῳ γὰρ C, T. — ἔδωκεν T. Sic semper in eodem fere loco trium puerorum fornax, eorumque cantica revocantur. Abs re non sit addere, recentiores græculos apostolicis ab incunabulis usum repetere calidam aquam sacris miscendi mysteriis, ex hac potissimum causa, quod sacrum Spiritus ignem in Pentecoste reco-

ἡ τοὺς τρεῖς δεξαμένη, * τέσσαρας αὐτοὺς ἐδείκνυ· * σὺν τόκῳ ἀπέδωκεν * οὓς ἔλαβεν, ὅτι ἐφοβεῖτο * τὸ πανάγιον Πνεῦμα. *

« lus; quomodo fornax quæ tres acceperat, « quatuor eosdem esse ostenderit : cum fœ« nore restituit, quos absumpsit, quia vere« batur sanctissimum Spiritum.

ιγ΄. Ῥιψάτω οὖν, ἀδελφοὶ, * ὁ καθ' εἷς ἡμῶν ἄρτι, * τὸν φόβον ἐκ τῆς ψυχῆς, * καὶ πόθον ἐνδειξάτω * τῷ ἀναληφθέντι, * ὅτι οὕτως οὓς ἐκάλεσεν, * ἠγάπησεν. * Πάντα ἃ προεῖπεν ἅπασι, * νῦν ἀπεπλήρωσε, * καὶ ὡς εἶπεν, ἐποίησε· * τί δειλιῶμεν ἄφλεκτον * φλόγα λοιπόν; * Ῥόδα τὸ πῦρ νομίσωμεν, * ὅπερ καὶ ἐστίν· * ἐπὶ ἡμῶν γὰρ ταῖς κάραις * ὥσπερ ἄνθη ἐπετέθη, * ἐν οἷς ἐστεφάνωσεν, * ἐκόσμησεν, ἐλάμπρυνεν ἡμᾶς * τὸ πανάγιον Πνεῦμα.

13. « Amoveat igitur, fratres, unusquisque « vestrum ab animo suo metum, amoremque « in Christum significet assumptum, quippe « quos elegit, tantum dilexerit. Ecce quæli« bet prædixit cunctis, ea nunc implevit, et « sicut dixit, fecit. Quid timemus demum « flammam non conflagrantem? Rosas esse « ignem credamus, et ita sane; ignis enim « capitibus nostris impositus est, veluti flo« res, quibus nos coronavit, ornavit, illus« travit sanctissimus Spiritus. »

ιδ΄. Ὡς εἶπε ταῦτα Κηφᾶς * πᾶσι τοῖς ἀποστόλοις, * ἡσύχασε μετ' αὐτῶν * καὶ δέχεται σὺν τούτοις * τὸ ἅγιον Πνεῦμα· * ἐληλύθει γὰρ μετέπειτα, * ὡς γέγραπται, * ὡς προδρόμοις γὰρ χρησάμενον * δυσὶ τοῖς θαύμασι, * τοῦ πυρὸς καὶ τοῦ πνεύματος· * ἔδει γὰρ πρὸ τοῦ πνεύματος * θαῦμα δραμεῖν· * ἔδει πρὸ τοῦ βαπτίσματος * πνεῦμα προελθεῖν, * καὶ προμηνύσαι τῷ κόσμῳ, * ὥσπερ σάλπιγγα ἠχοῦσαν, * ὅτι ὡς ἠθέλησε, * καὶ βούλεται, τῇ γῇ ἐπιβαίνει * τὸ πανάγιον Πνεῦμα.

14. Hæc ubi dixit Cephas omnibus apostolis, tacuit cum illis, et accepit simul sanctum Spiritum; post hæc enim venerat, ut scriptum est, duplici quippe usus miraculo quasi præcursore, igne scilicet ac flamine. Decebat namque flamini præmitti prodigium; decebat baptismati præire Spiritum, ac mundo prænunciari, quasi tuba vocali, quomodo nempe velit et amet in terram irruere sanctissimus Spiritus. »

ιε΄. Μεγάλα ἦν καὶ φρικτὰ * πάντα τὰ γεγονότα, * καὶ φρένας πάντων ἱστᾷ· * πλησθέντες γὰρ ἐξαίφνης * τοῦ Πνεύματος πάντες· * προσωμίλουν τοῖς ἀκούουσιν· * ὡς

15. Magna erant ac stupenda omnia quæ facta sunt; animos ergo omnium erigunt. Impleti namque statim Spiritu omnes, auscultantibus concionem habebant. Simul atque

lant. Quod fortasse tam a mente quam a verbis Romani longe recedit, nec tamen abs re liturgica sit notatum.

13. ὁ καθεῖς C, nota scripturam pro καθ' εἷς, de quo cf. Winer; l. c. p. 234; Viger, p. 635; neque etiam de indole huius pronom. omitte Doederlein *Pr. de Brachylogia serm. gr. et lat.* p. 10, Erlang. 1831. — τὸν τρόμον T. — ἠγάπ. ἐκάλ. T. — ὅτι πάντα C, T. ἅπασι πρ. C. — ἅπερ πρ. νῦν ἐξεπλήρωσε T. — ἐπὶ τὰς κ. γὰρ ἡμῶν C. — ἐν οἷς pro abl. instrum. ut Soph. ἐν φίλαις χερσὶν ἐκόσμησα, et alii vett. Ad hæc quis non secum meditatur aureos illos Mantuani versus? Æn. II. 682-684.

Ecce levis summo de vertice visus Iuli
Fundere lumen apex, tactuque innoxia molles
Lambere flamma comas et circum tempora pasci.

14. An solemnius κατὰ τὸ σεμνὸν tertio repetitur γὰρ? quod certe tæduit T in quo γὰρ post προδρ. omittitur. — χρησάμενος δύο C. — θ. προδραμεῖν T. — πρὸ τοῦ φωτίζοντος φλόγα προελθεῖν T. — ὥσπερ σάλπιγγες ἠχοῦσαι C. ὑπὲρ σάλπιγγα ἠχοῦσαν ὅτι ὡς ἐπίσταται ὡς βούλεται T. — καὶ ὡς βούλ. C. Undenam vero hic loci vates baptismum cum flamma et spiritu misceat, ne mireris, considera mihi hunc ipsum diem, uti alterum paschalem, olim fuisse neophytis addictum.

15. τὰ γεγ. πάντα C. — φρ. πάσας T. — πάρθοις καὶ μήδοις καὶ τοῖς πᾶσιν ὡς ὅμοιοι C. — τοῖς ἐλαμ. C, T.

ἤκουον, * τοῖς Ῥωμαίοις, οὐχ ὡς βάρβαροι, * Πάρθοις ὡς ὅμοιοι, * καὶ τοῖς Μήδοις ὡς ἴδιοι, * Ἐλαμίταις ὡς εὔλαλοι * τότ' ὤφθησαν, * τοῖς Ἀραβίοις γνώριμοι * γέγοναν πολὺ, * Ἀσιανοῖς καὶ Φρυγίοις * εὔδηλοι καὶ τρανολάλοι, * καὶ πᾶσι τοῖς ἔθνεσιν * ἐφθέγγοντο, ὡς τούτοις ἐδίδου * τὸ πανάγιον Πνεῦμα.

ις'. Ἀλλ' ὅτε εἶδον αὐτοὺς * γλώσσας λαλοῦντας πάσας * οἱ πανταχόθεν ἐκεῖ, * ἐξίσταντο βοῶντες· * Τί βούλεται ταῦτα; * Γαλιλαῖοι οἱ ἀπόστολοι * ὑπάρχουσι, * καὶ πῶς ἄρτι, ὥσπερ βλέπομεν, * πᾶσι τοῖς ἔθνεσι * πατριῶται γεγόνασιν; * πότε κατεῖδεν Αἴγυπτον * Πέτρος Κηφᾶς; * πότε Ἀνδρέας ᾤκησε * μέσην ποταμῶν; * οἱ δὲ υἱοὶ Ζεβεδαίου * πόθεν εἶδον Παμφυλίαν; * πῶς ταῦτα γνωρίσωμεν; * πῶς εἴπωμεν; ἢ πάντως ὡς θέλει * τὸ πανάγιον Πνεῦμα.

ιζ'. Νῦν γέγοναν σοφισταὶ * οἱ ἀγρευταὶ τὸ πρώην· * νῦν ῥήτορες καὶ τρανοὶ * οἱ πρὶν παρὰ τὰς ὄχθας * τῶν λιμνῶν ἑστῶτες· * οἱ τὸ πάρος καταῤῥάπτοντες * τὰ δίκτυα, * νῦν ῥητόρων πλοκὰς λύουσιν· * ὅθεν προσέρχονται * ἁπλουστέρῳ τῷ ῥήματι· * ἕνα Λόγον γὰρ λέγουσιν * ἀντὶ πολλῶν, * ἕνα Θεὸν κηρύττουσιν * οὐ μετὰ πολλῶν, * τὸ ἓν ὡς ἓν προσκυνοῦσιν, * ἀκατάληπτον Πατέρα, * Υἱὸν ὁμοούσιον, * ἀμέριστον καὶ ὅμοιον τούτῳ * τὸ πανάγιον Πνεῦμα.

ιη'. Οὐκοῦν ἐδόθη αὐτοῖς * πάντων περιγενέσθαι * δι' ὧν λαλοῦσι γλωσσῶν; * καὶ τί

auditi sunt, nec Romanis visi sunt barbari; quin Parthis erant ore similes; et Medis vernaculi, Elamitis facundi, Arabibus longe periti, Asianis et Phrygibus perspicui et elegantes fiunt; atque omnes gentes alloquebantur, prout ipsis dederat sanctissimus Spiritus.

16. Ast ubi sic eos viderunt omnigenis linguis loquentes, qui ex omni regione illic convenerant, obstupuere quæritantes : « Quid « hoc sibi vult? Galilæi sunt apostoli; qua « ratione iam, ut videmus, omnium natio- « num contribules facti sunt? Quandonam « vidit Ægyptum Petrus ille Cephas? An An- « dreas incoluit Mesopotamiam? Zebedæi « autem filii undenam viderunt Pamphy- « liam? Quo pacto talia intelligemus? Quid « dicemus? Sane actum omnino ut vult sanc- « tissimus Spiritus. »

17. Nunc sapientes fiunt qui modo piscatores. Nunc rhetores et facundi, qui prius lacuum ad ripas degebant. Qui retia paulo ante resarciebant, iam nunc grammaticorum tricas solvunt, indeque pergunt cum ore simpliciore : unum enim Verbum loquuntur, non multa; unum Deum prædicant, non cum pluribus; quod est unum, unum adorant, maiorem omni conceptu Patrem, Filium consubstantialem, individuum et consimilem illi sanctissimum Spiritum.

18. Nonne igitur illis datum est cunctis antecellere per ipsas quas loquuntur linguas?

— ὤφθησαν πότε C. — ὤφ. τρανῶς T. — γεγόνασιν εὐθὺς T. — ἀσιανοῖς δὲ C. — τρανολάλοι ut in cant. VII, 17.

16. γλώσσαις λ. πάσαις T. — πάντας C. — βούλεται τοῦτο T. — καθὼς βλ. C, T. — μεσοπόταμον C. — οἱ υἱοὶ T. — εἶδαν C.

17. γέγοναν, sic duo codd. pro γεγόνασι ut tr. 15, 16, et alias sæpe, uti etiam ἀκήκοαν pro ἀκηκόασι. Purus est hellenismus, frequens in N. et V. T. cf. Deuter. XI, 7; Ioan. XVII, 6; Apoc. XIX, 3; Luc. IX, 36; Col. II, 1, ex optimis codd. immo etiam apud Lycophr. 252 πέφρικαν invenitur. — τὸ πρῶτον T, τὸ om. C. — οἱ τὸ πρὶν C. — ῥητ. γλώσσας C. — ὅθεν προσέρχονται om. T, pro quo præbet καὶ εὐτελίζουσιν. — λόγον ἔχουσιν T, in quo duo v. seqq. iterum omissi. — ὅμοιον τούτων C. In hanc nobilissimam catholici dogmatis ἔκφρασιν cum amplus pateat excurrendi campus, unum paulisper moretur : sive cum cod. T legatur τούτῳ, sive cum C τούτων, Spiritus sanctus proclamatur a Filio inseparabilis per se et consimilis, aut ab utroque Patre et Filio oriundus, cum Filius sit ὁμοούσιος; ut eiusdem processionem catholico sensu intellectam sanctus melodus, in ipsa die Pentecostes, feliciter edixerit.

18. Οὐκοῦν codd. ἔλθῃ αὐτοῖς C. — τί λυσσῶσι T.

φιλονεικοῦσιν * οἱ ἔξω ληροῦντες; * τί φυσῶσι καὶ βαμβαίνουσιν * οἱ Ἕλληνες; * τί φαντάζονται πρὸς Ἄρατον * τὸν τρισκατάρατον; * τί πλανῶνται πρὸς Πλάτωνα; * Δημοσθένην τί στέργουσι * τὸν ἀσθενῆ; * τί μὴ ὁρῶσιν Ὅμηρον * ὄνειρον ἀργόν; * τί Πυθαγόραν θρυλλοῦσι * τὸν δικαίως φιμωθέντα; * τί δὲ καὶ μὴ τρέχουσι, * καὶ σέβουσιν οἷς ἐνεφανίσθη * τὸ πανάγιον Πνεῦμα;

ιθ'. Ὑμνήσωμεν, ἀδελφοί, * τῶν μαθητῶν τὰς γλώσσας, * ὅτι οὐ λόγῳ κομψῷ, * ἀλλ' ἐν δυνάμει θείᾳ * ἐζώγρησαν πάντας· * ὅτι ἦραν τὸν σταυρὸν Αὐτοῦ * ὡς κάλαμον· * ὅτι ῥήμασιν, ὡς νήμασι, * πάλιν ἐχρήσαντο, * καὶ τὸν κόσμον ἡλίευσαν· * ὅτι τὸν λόγον ἄγκιστρον * ἔσχον ὀξύ· * ὅτι καθάπερ δέλεαρ * γέγονεν αὐτοῖς * σὰρξ ἡ τοῦ πάντων δεσπότου, * οὐ πρὸς θάνατον θηρῶσα, * ἀλλ' εἰς ζωὴν ἕλκουσα * τοὺς σέβοντας καὶ δοξολογοῦντας * τὸ πανάγιον Πνεῦμα.

Et cur invident qui foris delirant? Cur turgent et balbutiunt Graii? Cur mira fingunt sibi de Arato ter maledicto? Cur vagantur post erroneum Platonem? Cur Demosthenem depereunt, hominem imbellem? Cur non viderunt Homerum inane esse somnium? Cur Pythagoram oggerunt, cui merito os clausum est? Cur non cursu certatim petunt, aut cultu non prosequuntur eos quibus apparuit sanctissimus Spiritus?

19. Hymnis, fratres, celebremus linguas discipulorum; quod non eleganti sermone, sed divina virtute universos cœperunt retibus; quod extulerunt Christi crucem ut arundinem; quod verba, filorum instar, vicissim nectentes, orbem piscati sunt; quod verbum pro acuto sumpserunt hamo; quod sicut esca illis facta est caro omnipotentis Domini, quæ non ad lethalem prædam, sed ad vitam eos adducit, adorantes, divinisque hymnis celebrantes sanctissimum Spiritum.

— βαμβεύουσιν C. — οἱ τρισκατάρατοι C, pressior in T παρανομασία, et ludos quisque per se capit, Δημοσθένην τὸν ἀσθενῆ, Ὅμηρον, ὄνειρον (dic Ὅμιρον, ὄνιρον), Πυθαγόραν φιμωθέντα, quasi mutam pythonissam, aut silentem magistrum, de quo : αὐτὸς ἔφη, etc. Sed hæc frustra latinus interpres victus suspicit. — τί δημ. C, T. — μὴ νοοῦσιν δμ. T. — τί δὲ μὴ προστρέχουσι πιστεύοντες οὓς T.

19. τὰς πράξεις T. — ἡλίευσαν πάντας T. — Αὐτοῦ, antonomastice, pro Χριστοῦ, uti eleganter, fort. post alios, Anastasius ille patriarcha, Antiochenorum eiusdem nominis primus et princeps, quem nuper græce in lucem edidimus, in orat. theol. IV. *Anastasior. Antioch. et Sinaitar. anecd.* p. 93, Rom. 1866. — ἡ σὰρξ duo codd. — In fine θηρῶσαι C, sine ulla alia splendidi epiphonematis varietate. Post sexcenta illa veterum testimonia, quæ olim ad calcem unius tomi in Solesmense spicilegium effudi, et post sexcenta alia quæ facili brachio addere et congerere in cumulum luberet, haud memini, ut candide loquar, legere me de ΙΧΘΥΟΣ arcana formula, quidquam plenius et exquisitius quam luculentum illud S. Romani ἐφύμνιον : in quo, si introspicias, ne rarum quidem desiderandum est eucharisticum piscis arcanum, vivificum Christi fidelium epulum. Ne te fugiant quæ supra in cant. XIII, 18, not. et hæc meminisse juvabit ad XXII, 5, 9, etc.

XXI.

CANTICUM DE OMNIBUS SANCTIS.

α'. Ὡς ἀπαρχὰς τῆς φύσεως,	1. Naturæ uti primitias,
τῷ φυτουργῷ τῆς κτίσεως,	tibi, creaturæ satori,
ἡ οἰκουμένη προσφέρω σοι, Κύριε,	totus ego orbis offero, o Domine,
τοὺς θεοφόρους μάρτυρας·	theophoros martyres :
ταῖς αὐτῶν ἱκεσίαις,	quorum ex supplicibus votis,
ἐν εἰρήνῃ βαθείᾳ,	in alta pace,
τὴν ἐκκλησίαν σου,	ecclesiam tuam,
τὴν πολιτείαν σου	imperium tuum,
διὰ τῆς Θεοτόκου συντήρησον,	favente Deipara, conserva,
πολυέλεε.	multæ misericordiæ Deus.
β'. Ὡς ἐλεήμων ὑπάρχων, Χριστὲ ὁ Θεός,	2. Pro tua clementia, Christe Deus,
τὰς τῶν μαρτύρων αἰκίσεις ἐδρόσισας,	in martyrum angores rorem effudisti,
τῶν διὰ σὲ τυράννοις	fidem pro te tyrannis declarantium.
τὴν πίστιν τρανωσάντων·	At quemadmodum illis dedisti gratiam
ἀλλ' ὡς αὐτοῖς ἐδωρήσω τὴν εὐλογίαν	patiendi fortiter, ob divinam doctrinam,
ὑπομονῆς ἐκ τῆς ἄνω θεογνωσίας,	idem nobis da omnibus,
καὶ ἡμῖν πᾶσι, πολυέλεε.	multum misericors Deus.

Cyclum Triodii, quo septem ante, septemque post pascha hebdomades olim continebantur, claudit Dominica quam dixere omnium sanctorum, ut fert epigraphe cantici XXI : Κυριακῇ τῶν ἁγίων πάντων, κοντάκιον, ἦχος πλδ', φέρον ἀκροστιχίδα· Ὁ αἶνος Ῥωμανοῦ. Præmisso duplici tropario, quorum quidem prius multorum modulos in toto anno ducit, posterius vero ipsa quadam rerum caligine canitiem præ se fert, cætera pendent ab illo solemni hirmo qui orditur : αὐτὸς μόνος, ut in cant. VII, opusque videtur cujusdam Anastasii, Romano antiquioris. Tam prooemia quam cætera eo vetustiora reputaveris, quod soli fere martyres celebrantur, eademque melodia inter christianorum funera ab omni antiquitate insonuit. Quæ simplex et gravis est, eodem fere conflata hendecasyllabo, sexies repetito, inter duos versus 6 et 8, una syllaba ampliores. Abs re non erit duplicem ejusdem hirmi notare varietatem : in superiore cant. VII, duo postremi versus graviori pondere duodecim syllabarum ducunt ad flebilem plausum τὸ ἀλληλούϊα. Apud Anastasium, quem post Romanum edituri sumus, v. 6 aliquando in duos heptasyllabum et hexasyllabum solvitur. Iam in edd. libris circumferuntur versus 19 inter primos, et si numerentur omnes, summa erit viginti quatuor supra centum. Extant in corsin. f. 120-122, tria tantum troparia supersunt in taurin. f. 5, nec plura, opinor, in mosq. f. 309. Quæ in utroque extant, scio illa extra sedem vagari, et piget me vix mosquensem salutavisse.

1. Προσφέρει σοι C et edd. omnes. Exquisitam, ut solet, T scripturam retinet, et probo, non ea tantum audaci captus prosopopœia, qua totus orbis assurgit, ut martyrum trophæa victori Domino proferat, sed memor celebris hymni ἀκαθίστου, in quo Sergius, Romanum æmulatus, in scenam adducit novam Romam Virgini victrici νικητήρια offerentem, προσφέρω σοι. Tum etiam cf. trop. 3, 7. — τῇ πολιτείᾳ σου ed. rom. om. ven. Excidisse hæc verba in publicis libris, ne mireris, quum Græci Turcarum servi de industria expunxerint quæcumque ad byzantini imperii memoriam attinent.

2. αἰκίσεις rarissimo exemplo pro αἰκίας vel αἰκισμούς, ut in tr. 10. Quid si melodus potius scripserit ἀσκήσεις? — ἀλλ' ὡς in impedita periodo arcte

Πρὸς τό· Αὐτὸς μόνος.

γ'. Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρήσαντες,
καὶ ἐν τοῖς οὐρανοῖς μετοικήσαντες,
οἱ τὰ πάθη Χριστοῦ μιμησάμενοι,
καὶ τὰ πάθη ἡμῶν ἀφαιρούμενοι,
ἐνταῦθα σήμερον ἀθροίζονται,
πρωτοτόκων δεικνύοντες ἐκκλησίαν,
ὡς τῆς ἄνω τὸν τύπον ἐπέχουσαν,
καὶ Χριστῷ ἐκβοῶσαν· Θεός μου εἶ σύ,
[διὰ τῆς Θεοτόκου συντήρησον]
πολυέλεε.

δ'. Ἀπὸ πάσης συνήχθησαν πόλεως * καὶ ἡμῶν πατριῶται γεγόνασιν, * ἐκ τοῦ κόσμου παντὸς ἐπεδήμησαν, * καὶ τῷ κόσμῳ ἡμῖν συνευφραίνονται, * τῆς πανηγύρεως συμμέτοχοι· * σὺν τῇ ἄνω ἡ κάτω χορεύει κτίσις, * μεθ' ἡμῶν γὰρ βοῶσι καὶ ἄγγελοι· * Θαυμαστὸς ἐν ἁγίοις σου εἶ ἀληθῶς, * πολυέλεε.

ε'. Ἱερὰν εὐωχίαν τελέσωμεν, * οὐρανὸς τὰ ἐπίγεια γέγονεν· * οἱ φωστῆρες ἐν τῷ στερεώματι, * οἱ δὲ μάρτυρες ἐν τῷ πληρώματι * τῆς ἐκκλησίας ἀναλάμπουσι, * καὶ φωτίζουσι πᾶσαν τὴν οἰκουμένην, * ἵνα λέγῃ λοιπὸν Δαυὶδ μεθ' ἡμῶν, * ὅτι ἔφαναν αἱ ἀστραπαί σου τῇ γῇ, * πολυέλεε.

ϛ'. Νῦν ἀκούσατε ξένα, καὶ ἴδετε * θεῖα καὶ ἀσυλλόγιστα πράγματα· * πανταχοῦ τῶν μαρτύρων τὰ αἵματα, * ὥσπερ ῥόδα μὴ ἔχοντα ἄκανθαν, * σπαρέντα βρύουσιν

Sub modulo : Ipse solus.

3. Qui testes per omnem terram facti sunt,
et in cœlos transtulere sedem,
qui Christi passiones æmulati sunt,
nosque ne patiamur exemerunt,
hic hodie congregantur,
primitivorum referentes ecclesiam,
typum ac si supernæ contineat,
et Christo clamet « Deus meus tu es,
« per Deiparam custodi nos,
« o multæ misericordiæ. »

4. Ab omni civitate convenerunt, ac cives nostri facti sunt; ex toto orbe accesserunt, et nobis una cum mundo collætantur, communis celebritatis participes. Cum superis inferior creatio exultat; nobiscum enim et angeli conclamant : « Vere in sanctis tuis mi« rabilis es, o multæ misericordiæ! »

5. Sacro convivio defungamur: cœlum terrena fiunt; sidera in cœli fornice, martyres in ecclesiæ plenitudine splendent, et illustrant totum orbem, ut nobiscum inde psallat David : « Illuxerunt terræ fulgura tua, o multæ « misericordiæ. »

6. Iam audite stupenda, ac divina videte opera et incredibilia. Ubicumque martyrum sanguis, sicut rosæ sine spinis, effusus imbrem sanationum emittit, et gratiarum fra-

cohæret cum καὶ ἡμῖν, quasi οὕτως ἡμῖν δώρησαι. Nec displicet, neque rhythmus obstat quin legatur : ἀλλ' ὡς αὐτοῖς, δώρησαι νῦν τὴν εὐλογίαν... καὶ ἡμῖν, id quod fortasse veteres probaverint : sed unius codicis inopia premimur. — Quoad præp. ἐκ pro διά cum accus. copiam veterum exemplorum præbet Winer t. l. p. 351.

3. ἐνταῦθα. Melodus, ac si iam Urbem appulisset, respicere videtur ingentem thesaurum sanctarum exuviarum a toto orbe Constantinopolim invectarum. — ἐκκλησίαν. Hebr. XII, 23. Extra hirmum additur ex tr. 1 in edd. et nostris codd. versus quem uti intrusum includimus.

4. καὶ τὸν κόσμον ἡμῖν συνεπάγονται T. Uterque codex πανήγυριν respicit in die festo sanctorum frequentissimam. — ὡς συμμέτοχ. T. — σὺν τοῖς ἄνω C. — ἁγίοις. Ps. LXVII, 36.

5. εὐωχίαν refer ad prisca ἀγάπης christianæ convivia, iam sæculo V, saltem in Africa conciliorum canonibus abolita. — Totum v. οἱ δὲ μάρτ. om. T, de quo cf. I, Cor. X, 26. — ὁ Δαυὶδ C. — λοιπὸν ὁ προφήτης Δαυὶδ ὅτι T. — σου τὴν γῆν T. male, nam cf. Ps. LXXIII, 19. Huc usque taurinensis.

6. ἄκανθα cod. nec semel, cf. cant. XVIII, 5. — λαβεῖν ante παθῶν cod. male inserit; fort. melius, ob proximum verbum βοᾶν, sed longius a codice : δι' ὧν ἔστι παθῶν σχεῖν ἀπαλλαγὴν « unde licet æ-

ἰάματα, * εὐωδίαν δὲ πνέουσι χαρισμάτων, * δι' ὧν ἐστὶ παθῶν ἡ ἀπαλλαγή, * καὶ βοᾷν τῷ Θεῷ· Ὑψηλή σου ἡ χείρ, * πολυέλεε.

ζʹ. Οἱ ἀγῶνες ὑμῶν καὶ οἱ στέφανοι, * οἱ ἱδρῶτες ὑμῶν καὶ τὰ θαύματα, * οὐδὲ λόγῳ ἑνὶ ὑπογράφονται, * οὐδὲ τόπῳ ἑνὶ περιγράφονται. * Ἡ ἐκκλησία τούτοις ἥδεται * ὡς χρυσοῖς κροσσωτοῖς περιβεβλημμένη, * καὶ παρέστηκέ σοι, ὡς βασίλισσα, * βασιλεῖ ἀθανάτῳ, ἀφθάρτῳ Θεῷ, * πολυέλεε.

ηʹ. Συνεχῶς τῷ Θεῷ ἡμῶν ψάλλετε, * δαψιλῶς γὰρ τὴν χάριν ἐξέχεεν, * ἥν ποτε Ἰωὴλ προεκήρυξεν· * Ἐκχεῶ μου, φησὶν, ἐκ τοῦ Πνεύματος * ἐπὶ τοὺς δούλους μου καὶ δούλας μου· * ἡ γὰρ τούτου ἰσχὺς ἐν τοῖς αὐτῶν ἄθλοις * ἐχορήγει καὶ λόγον καὶ δύναμιν, * κατὰ πάντων τῶν στομάτων τῶν κατὰ σοῦ, * πολυέλεε.

θʹ. Ῥέων πλοῦτος αὐτοὺς οὐκ ἠπάτησε, * τὴν γὰρ σοῦ βασιλείαν ἠγάπησαν * τῶν προσκαίρων τὴν λήθην ποιούμενοι, * τῶν ἀφθάρτων τὴν μνήμην προέκριναν· * ἐν οἷς ὁδεῦσαι ἐπειγόμενοι, * τὸ θανεῖν ἤπερ ζῆν μᾶλλον προετίμων, * ἵνα σε τὴν ζωὴν ἐμπορεύσονται, * καὶ τρυφήσουσιν οὐ παριόντων καλῶν, * πολυέλεε.

ιʹ. Ὠμοτάτων θηρῶν ἀγριώτεροι * βασιλεῖς τοὺς ἁγίους σου, Κύριε, * ἀπειλαῖς καὶ θυμῷ ἐπερχόμενοι, * καὶ σφοδρῶς τῇ ὀργῇ βασανίζοντες, * ὡς λύκοι ἄρνας, διεσπάραττον. * Ἀλλ' αὐτὸς ὁ ἀμνὸς τοῦ Θεοῦ καὶ ποιμὴν, * τὴν βοήθειάν σου χορηγεῖς αὐτοῖς, * διὰ σὲ γὰρ ὑπέμειναν τοὺς αἰκισμοὺς, * πολυέλεε.

grantiam spirat, unde licet pellere ægritudines, et clamare Deo : « Excelsa manus « tua, o multæ misericordiæ! »

7. Certamina vestra, vestræque coronæ, sudores ac prodigia vestra, neque uno sermone subsignantur, neque uno in loco circumscribi valent. Hisce Ecclesia velut aureis fimbriis cingi lætatur, seque sistit ut regina, coram te, Rex æterne et Deus incorruptibilis, o multæ misericordiæ.

8. Perpetuum Deo nostro canite psalmum, ubertim enim in vos gratiam effudit, de qua olim Ioel præconium edidit : Effundam, inquit, de Spiritu meo in servos meos et famulas meas. Eius namque virtus, in istorum agonibus et sermonem præstabat et efficaciam, adversus omnium ora tibi contradicentium, o multæ misericordiæ.

9. Affluentes opes eos non deceperunt, tuum enim regnum amarunt; oblivione res caducas prætermittentes, maluerunt permanentia recordari. Ad quæ iter carpere anhelantes, mori potius quam vivere eligebant, ut te vitam lucrarentur, et delectarentur bonis mansuris, o multæ misericordiæ.

10. Immanibus belluis crudeliores, imperatores sanctos tuos, Domine, minis ac furore impetentes, gravisque iræ exercentes tormenta, eos, uti lupi agnos, discerpebant. Tu vero, agnus Dei et pastor, auxilium illis tuum præbuisti, te enim propter patiebantur angustias, o multæ misericordiæ.

gritudinibus eximi. » Cæterum ἐστὶ nihil lædit accentum ex can. XII. — ὑψηλή. Ps. CXXXV, 12.

7. ὑπογράφεται C, a sequentibus emendatus, quibus haud temnendum de sacris imaginibus præstatur testimonium. — κρωσσωτοῖς sic C. Ps. XLIV, 14. — ἥδεται attice cum partic. cf. Soph. *Phil.* 870; Æsch. *Prom.* 760; Eurip. *Or.* 1223. — καὶ ἀφθάρτῳ C, retinendum, si adhibetur synizesis in Θεῷ, ut sæpe apud Hom.

8. Ab initio συνεχῶς libenter recepi pro συνετῶς C. — Ἰωήλ. cf. cant. XIX, 5. — καὶ ἐκ πάντων στομ. inepte C.

9. τὴν ante λήθ. om. C. — De medio ποιεῖσθαι eleganter cum accus. pro verbo simplici adi Viger p. 284 adn. V. — De ἵνα cum futuro cf. cant. VI, 15; XVII, 6, 12, etc. — τρυφ. τῶν παρόντων ἀγαθῶν C, perversa sententia. Vide an malueris τῶν μενόντων ἀγαθῶν.

10. ὑπερχόμενοι C minus apte. — ἐχορήγεις C.

ιαʹ. Μόνος λόγος ὁ σὸς ἐπεσπάσατο * τοὺς ἁγίους ὀπίσω σου, Κύριε· * ὡς γὰρ εἶπας· Ὁ θέλων μοι ἕπεσθαι, * συγγενεῖς καὶ γονεῖς ἀπαρνήσηται, * προθύμως πάντες ἀπετάξαντο, * καὶ τῶν ὧδε γυμνοὶ ἠκολούθησάν σοι, * τῇ εὐθείᾳ ὁδῷ καὶ πηγῇ ζωῆς, * ἀδιστάκτῳ γνώμῃ πιστεύσαντες εἰς σέ, * πολυέλεε.

ιβʹ. Ἀπὸ τῶν θυσιῶν ἀπογεύσασθαι * κατηνάγκαζον τούτους οἱ ἄθεσμοι· * ἀλλ' αὐτὸ τὸ οὐράνιον δεῖπνόν σου * ψυχικοῖς ὀφθαλμοῖς προορώμενοι, * εἰδώλων βρώσει οὐκ ἐμόλυναν * τὰ αἰνοῦντά σε χείλη καὶ εὐλογοῦντα, * ἵνα σῶν ἀγαθῶν ὦσι κοινωνοί, * ὧν ἠξίωσας, ἀγαθέ, σοὺς μαθητάς, * πολυέλεε.

ιγʹ. Ναρκησάντων θηρίων τὰ στόματα * οἱ ὁρῶντες ἐγένοντο ἔκθαμβοι· * πλησιάσαντα τούτων τοῖς σώμασιν, * ἐκυμαίνοντο κείμενα δούλεια, * φιλίαν μᾶλλον ἀσπαζόμενα, * ἤπερ δρᾶσαί τι τοὺς ἁγίους τολμῶντα· * τὸ δὲ πῦρ μὴ φερτὸν χαλινοῖ αὐτά, * ἐδιδάσκοντο γὰρ σέβεσθαι ἀθλητάς, * πολυέλεε.

ιδʹ. Ὁ διάβολος τότε γὰρ πέπτωκε * μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως· * τῶν βελῶν τὴν φαρέτραν ἐκένωσε, * καὶ τοὺς σοὺς στρατιώτας οὐκ ἔτρωσε· * κυμάτων σάλον ἐπανέστησε, * τοὺς δὲ ἱσταμένους ἐπὶ σὲ

11. Solus sermo tuus sanctos post te attraxit, Domine. Quum enim dixisti : Qui vult post me venire, cognatis parentibusque renuntiet, prompti omnes abrenuntiarunt, rebusque terrenis vacui, secuti sunt te, rectam viam vitæque fontem, in te indubitata mente credentes, o multæ misericordiæ.

12. Ut immolatas gustarent hostias, cogebantur ab impiis; at cœleste tuum convivium ipsum animæ oculis prospicientes, idolorum escis non polluebant labia quæ laudabant te, tibique benedicebant; ut bonorum fierent participes, quibus ditare tuos, o bone, discipulos dignaris, o multæ misericordiæ.

13. Stupebant astantes, quum torpentium ora ferarum viderent; quæ ubi ad martyrum corpora accedebant, humi conturbatæ procumbebant, mancipiorum instar, amicitiam sanctorum magis appetentes, quam quid mali in eos auderent; sed et flammæ velut intolerandæ freno, belluæ domabantur; didicerant enim vereri tuos athletas, o multæ misericordiæ.

14. Cecidit tunc diabolus cum omni virtute sua; telorum pharetram exhausit, nec tuos milites vulneravit. Concitavit procellas fluctuum; stantes vero in te qui petra es, non deiecit, neque commovit, firmum te funda-

11. ἀπαρνήσεται C. — εἶπας. Matth. XVI, 34. — πηγῇ τῆς ζ. Ioan. XVI, 6.

12. Ἀπὸ iterum ab initio, ut tr. 4, id quod Sophronio, duce fort. Synesio in similibus anacreonticis, videtur fuisse in deliciis et a 1 versiculo, cf. ap. Matranga carm. Sophr. I, IV, V, XIII, XIX, etc. — δεῖπνον σου vel σοῦ ex lege XIII melodiæ. Ecce tibi in cœlo hilare beatorum convivium toties in hypogeis christianis depictum, missis feralibus τῶν ἔξω lectisterniis. Adeo præ oculis veteres picturæ melodo erant, ut statim σαρκικοῖς pro ψυχικοῖς ὀφθαλμοῖς posuerit, nisi alia sit librarii indiligentia, aut fortasse sit leg. σαρκικοῖς ὀφθαλμοῖς ὡς ὁρώμενοι « ac si carneis viderent oculis. » — γένωνται κοινωνοὶ C, modulo non ferente. — τοὺς σοὺς ib.

13. δούλεια esto adj. jubente rhythmo. Servi apud veteres erant σώματα δοῦλα (Demosth.), et om. substantivo τὰ δοῦλα (Xenoph.), τὰ δουλικὰ (Arrian.), fere ut nobis δούλεια. Pergit codex μᾶλλον φιλ. ἀσπ. contra melod., quæ exigit etiam δρᾶσαι τι, vel τί, more nostro. — τῶν ἁγίων τολμ. τὸ δὲ πῦρ μὴ φέρον ἐχαλινοῦτο αὐτοῖς, ἐδιδ. γὰρ καταιδεῖσθαι, sic C. usque in finem ἀμέτρως et cum perpetua ἀμουσίᾳ, quibus extricandis vir gnarus opem tulit, donec meliora probentur. Totum enim trop. etiam in verbis pugnat.

14. ἀνεκένωσε C. — In fine εἰς σὲ id.

τὴν πέτραν * οὐ κατέβαλεν, οὐδὲ ἐσάλευσεν, * ἀσφαλῆ τὸν θεμέλιον ἔχοντας σὲ, * πολυέλεε.

ιε΄. Ὑπομείναντες ὄντως ὑπέμειναν, * καὶ νομίμως ἀθλήσαντες ἤθλησαν, * τὸν ἀγῶνα καλῶς ἠγωνίσαντο, * καὶ τὸν δρόμον εἰς τέλος ἐτέλεσαν, * τὴν πίστιν ἄμωμον ἐτήρησαν, * ἀντὶ πασῶν δὲ τούτων τῶν ἀλγηδόνων, * παρὰ σοῦ τοὺς στεφάνους ἐκδέχονται· * ταῖς εὐχαῖς αὐτῶν ἵλεως γενοῦ ἡμῖν, * πολυέλεε.

mentum habentes, o multæ misericordiæ.

15. Sustinentes vere sustinuerunt, ac legitima certamina certaverunt, lucta egregia colluctati sunt, et cursum usque in finem consummaverunt, fidem incorruptam servarunt, et pro omnibus hisce doloribus a te coronas acceperunt; quorum precibus esto nobis propitius, o multæ misericordiæ.

15. ὑπομ. ὄντως ὑπ. Id genus exaggerandi, τοῖς o' solemne, vim majorem a serioribus accepit ex appositis adverbiis, ut ibi ὄντως, νομίμως; sed neque classicis displicuit, ut Herodoto φεύγων ἐκφεύγει, Platoni σκοπούμενοι σκοποῦμεν, et multa apud Lobeck ad Soph. *Aj.* p. 370. — Τὸν ἀγῶνα cf. II Tim. IV, 6, 7. — ἀντὶ πάντων C. — ἡμῖν ὁ θεὸς C.

XXII.

CANTICUM IN SANCTOS APOSTOLOS.

α΄. Ὁ σοφίσας ὑπὲρ ῥήτορας
τοὺς ἁλιεῖς.....

β΄. Τοὺς ἀσφαλεῖς
καὶ θεοφθόγγους κήρυκας,
τὴν κορυφὴν
τῶν μαθητῶν σου, Κύριε,
προσελάβου
εἰς ἀπόλαυσιν
τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν·

1. Tu qui sapientiores oratoribus
effecisti piscatores.....

2. Tu firmos illos
divinorum verborum præcones,
tu illum verticem
tuorum, Domine, discipulorum
suscepisti,
tuis ut fruantur bonis
et in eis requiescant :

16. Nisi pro persona ἡ ἀνομία intelligatur, f. ἄνοια. — περιεβάλλετο C.

Ἡρωδιάδος τῆς πόρνης, * πῶς καὶ ἣν ἔτεκε, θέλει δεῖξαι καθ' αὐτήν. * Οὐκ ἠρκέσθη τῇ ἰδίᾳ * ἀναισχυντίᾳ αὐτῆς, * ἀλλὰ καὶ τὴν ἐκ σπλάγχνων * ἔχρανεν ἐπὶ ἡμῶν, * διὰ τέρψιν τὴν πρόσκαιρον.

ιζ'. Ἀψευδὴς ὁ λόγος τῆς Σοφίας· * Τέκνα μοιχῶν εἰσὶν ἀτέλεστα, * καὶ παρανόμου κοίτης σπέρμα * ἀφανισθήσεται δὴ τέλεον· * ὥσπερ τοῦτο τὸ κοράσιον, * ὃ πρὸς ὥραν μὲν ηὐφράνθη, * μετ' ὀλίγον δὲ πολλάκις * χεῖρόν τι ποιεῖ. * Τούτων δὲ πάντων * οὐ φανερῶς λεγομένων, * ἦλθε κατόπιν τῶν λόγων * ἔργα πονηρά· * ἡ γὰρ παιδίσκη ὀρχησαμένη ἐν μέσῳ * τῶν ἀριστώντων, τὸ στόμα ἔπλησε κραυγῶν· * Βασιλεῦ, φασὶν, Ἡρώδη, * ὡς ἐμμελής δή ἐστιν * ἡ ὀρχήστρια αὕτη· * μάλα ἔχει ἔμψυχον * τὴν πορείαν, οὐ πρόσκαιρον.

ιη'. Νικηθεὶς ὁ ἄναξ τοῖς ἐπαίνοις * τῶν εὐφημούντων τὸ κοράσιον, * ὤμοσε τότε ἐπὶ πάντων· * Ὃ ἂν αἰτήσῃ με, παρέχω σοι * ὑπὲρ ταύτης τῆς ὀρχήσεως. * Ἡ δὲ παῖς ἐξῆλθε τότε, * καὶ φησὶ πρὸς τὴν τεκοῦσαν· * Αἰτήσομαι τί; * — Αἴτησαι, τέκνον, * τὴν κεφαλὴν Ἰωάννου * τοῦ Βαπτιστοῦ, ὅτι ταύτης * μόνης ὑστερῶ. * — Οἴμοι! τεκοῦσα. Εἴθε ἐτμήθην τοὺς πόδας, * καὶ μὴ ἐξέδραμον πρὸς σὲ μαθεῖν παρὰ σοῦ! * Εἴθε πάλιν ἐφιμώθην, * καὶ μὴ ἠρώτησά σε * περὶ ὧν οὐκ ἂν ἔδει! * εἴθε ἤσκησα σιγὴν * αἰωνίαν, οὐ πρόσκαιρον! *

ιθ'. Οὕτως ἔδει λέξαι τὴν παιδίσκην, * ὅμως οὐδὲν τούτων ἐλάλησεν, * ἦν γὰρ ἐκ γῆς ἀκανθοφόρου * ἀρᾶς κακῆς πικρὸν ζιζάνιον, * νόσον ἔχουσα θανάσιμον· * ἧς γευσάμενος Ἡρώδης, * οὐκ ἐξέπτυσεν, ἀλλ' ἔσχεν * ἔνδον ἑαυτοῦ· * ὅθεν μὴ πέψας * τοῦτο, ἠρεύξατο φόνον, * καὶ τὴν τοῦ θείου Προδρόμου * ἤμεσε τομήν· * πόνος γέγονε τῷ

« arte etiam quam peperit, filiam similem « sibi faciat; nec satis illi erat ipsius dedecus; etiam ex utero natam coram nobis « polluit ad futiles delicias. »

17. Verax est Sapientiæ dictum : adulterorum fœtus imperfecti sunt, et adulteri cubilis semen prorsus exterminabitur, sicut ista puellula, quæ per horam lætata est, mox vero fortasse peius aliud efficit. Dum hæc in abscondito circumferrentur, continuo verbis successere opera nequam. Virguncula enim saltatrix in medio convivarum ora clamoribus implevit : « O rex Herodes, inquiebant, « quam elegans est saltatrix illa! sane ani« matum habet incessum peropportunum. »

18. Victus rex assentationibus, quibus istud scortum plausu celebratum est, sic iuravit coram omnibus : « Quod petieris a me tibi « dabo pro huiusmodi chorea. » Puella tum ivit ad matrem et ait : « Quid petam? — « Pete, filia, caput Ioannis Baptistæ, quia « nihil aliud ego malo. » — « Heu mihi, ge« nitrix! Utinam pedibus truncarer, neque ut « te percunctarer ad te cucurrerim! Utinam « etiam os occluderetur, nec te de iis inter« rogaverim quæ non oportebat! Utinam « servassem silentium æternum, haud inter« ruptum! »

19. Ita sane loqui oportuit puellam, etiam si nihil tale dixerit : erat enim zizania exorta e terra spinifera et maledicta, luesque infecta, mortifera; quo surculo quum gustavisset Herodes, non respuit, sed sumpsit intus; quo vero male recocto, eructavit cædem, divinique præcursoris evomuit resectum caput. Et pœnas persolvit qui patravit cædem,

17. Σοφίας. Sap. XIII, 16. — δὴ om. C. — ὡς ἐκ μελέτης liquido id. — πάλαι ἔχει — τὴν πρόσκ.

18. τότε in spatiolo cod. vacuo om. — σε ἃ οὐκ ᾔδειν sic C.

19. οὐκ ἔπτυσεν C. Ad hæc Ambrosius : « Et quoniam non exsaturari epulis fames, non restingui poculis potuit inauditæ sævitiæ sitis, bibe sanguinem, scaturientibus adhuc venis exsecti capitis profluentem. Cerne oculos sceleris tui testes, etc. » *Ad Virg.* l. III.

ἐκτελέσαντι φόνον, * καὶ τὴν τομὴν τοῖς τιμῶσι νέμουσαν τιμήν· * ἠφανίσθη γὰρ ὁ κτείνας· * οἱ δὲ τιμῶντες πιστοὶ * εἰσὶν ἔτι καὶ ζῶσι, * πορίζόμενοι ζωὴν * αἰωνίαν, οὐ πρόσκαιρον.

κ'. Υἱὲ τοῦ ὄντως ἱερέως, * τέκνον τῆς στείρας καὶ προφήτιδος, * θρέμμα ἐρήμου, Ἰωάννη, * ὅτι νηστείας σου ἐμνήσθημεν, * δὸς ἰσχὺν, ἵνα νηστεύσωμεν· * γενηθῶμεν μιμηταί σου, * κατὰ τοῦτο ὃ ἰσχύει * ἕκαστος ἡμῶν, * μὴ γὰρ δεσπόζῃ * τινὸς ἡμῶν ἡ κοιλία, * ἀλλὰ ἡμεῖς τῆς κοιλίας * κρατῶμεν ἀεὶ, * κατὰ τὸν Παῦλον· τὰ βρώματα τῇ κοιλίᾳ * καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ἡμεῖς Χριστοῦ, * τοῦ νηστεύσαντος βουλήσει, * καὶ ἀφελόντος ἡμῶν * τὴν πεῖναν τὴν ἀρχαίαν, * ἣν ἐπείνασεν Ἀδὰμ, * διὰ τέρψιν τὴν πρόσκαιρον.

fecitque abcissionem quæ eandem recolentibus honorem affert. E medio namque sublatus est carnifex; fideles autem celebrantes festum adhuc sunt, et vivunt et sibi comparant vitam æternam, non caducam.

20. O fili veri sacerdotis, nate a sterili et prophetissa, deserti alumne, o Ioannes, tuum quia ieiunium meminimus, da virtutem ieiunandi; fac te imitemur, in id quod quisque nostrum exsequi valet. In neminem igitur venter dominetur, verum ventri nos semper prævaleamus, iuxta Paulum : esca ventri et venter escis. Nos Christi sumus, qui ieiunare voluit, nobisque veterem abstulit famem, qua esurivit Adam propter delicias temporaneas.

20. Υἱὲ trissyllab. nisi ἀληθῶς sit pro ὄντως. Sane υἱὸς tribus syllabis est apud vett. — κἂν εἰς τοῦτο C. — ἡμῶν add. οὐ γάρ. — mox ἡμῶν add. — Παῦλον. 1 Cor. VI, 12. — ἡμεῖς δὲ χρ. C.

XXIV.

DE TRIBUS SS. PUERIS IN FORNACE.

α'. Χειρόγραφον εἰκόνα
μὴ σεβασθέντες,
ἀλλ' ἄγραφον οὐσίαν
θωρακισθέντες,
τρισμακάριοι,

1. Vos, manufactam imaginem
qui noluistis adorare,
immo essentiam pingi nesciam
ut thoracem induentes,
o ter beati,

Romanum de tribus sanctis Hebræorum pueris dicentem puerascere interdum et nimium ludere nonnulli forte existimabunt : alii vero magistrum melodorum agnoscent, suo æstu et impetu, immo suis conspicuum igniculis et acuminibus. Quali ecclesiæ græcæ plausu excepta ea fuerint, statim ab epigraphe, mox fusius exponenda, monemur, scilicet amplissimum illud poema aut ter fuisse solemni cantu celebratum, aut saltem tribus in diebus festis divisum, primum videlicet in die Decembris XVII, prophetæ Danieli et tribus pueris dicata; deinde in duabus Dominicis natalia Christi proxime præcedentibus, quas Græci dixere unam τῶν προπατόρων, alteram τῶν πατέρων, ut fert taurinensis codicis inscriptio suo loco rescribenda. Supersunt, quamvis multa hiantia maneant, nec finis videatur absolutus, non minores quam triginta et duæ strophæ prolixæ, et non pauciores quam decem et novem supra septingentos versus. Quorum duos tantum et viginti habes in editis libris, cætera accepi omnia ex unico fere corsinio f. 28-33, collatis tamen ab initio circiter decem tropariis cod. taurinensis (f. 39, 40, 40 a). Prorsus singularis præcipua taurinensis epigraphe : τῶν ἁγίων πατέρων ὑπακοή (sic), de qua iam alibi plura. Titulus est in corsinio : Μηνὶ δεκεμβρίῳ ιζ', τῶν ἁγίων παίδων κονδάκιον, ἦχ. πλδ', φέρον ἀκροστιχίδα· Τοῦ ταπεινοῦ Ῥωμανοῦ ὁ ψαλμὸς οὗτος.

1. ἀγράφῳ οὐσίᾳ edd. ven. rom. — ὡς ἐλεήμων iid. et codex taurin. a corsinio non recedo; sic sæpe noster, sic veteres : Sophocl. *Antigon.*

ἐν τῷ σκάμματι τοῦ πυρὸς,
ἐδοξάσθητε.
Ἐν μέσῳ δὲ φλογὸς
ἀνυποστάτου ἱστάμενοι,
Θεὸν ἐπεκαλεῖσθε·
Τάχυνον, ὁ οἰκτίρμων,
καὶ σπεῦσον, ὁ ἐλεήμων,
εἰς τὴν βοήθειαν ἡμῶν,
ὅτι δύνασαι βουλόμενος.
β. Οἱ τρεῖς τῇ Τριάδι
δουλεύσαντες ἐν ὁμονοίᾳ,
θυμὸν βασιλέως
καὶ πρόσταγμα ἀπανθρωπίας
κατῃσχύνατε, ἅγιοι παῖδες,
ἡμῖν ὑπογραμμὸν καταλείποντες,
πρόβολοι τῆς πίστεως γενηθέντες.
Τάχυνον, ὁ οἰκτίρμων...
γ. Τάχυνον, ὁ οἰκτίρμων,
καὶ σπεῦσον, ὁ ἐλεήμων,
εἰς τὴν βοήθειαν ἡμῶν,
ὅτι δύνασαι βουλόμενος.
Ἔκτεινόν σου τὴν χεῖρα,
ἧς πάλαι ἔλαβον πεῖραν
Αἰγύπτιοι πολεμοῦντες,
καὶ Ἑβραῖοι πολεμούμενοι·
μὴ καταλείπῃς ἡμᾶς,
καὶ καταπίῃ ἡμᾶς
Θάνατος ὁ διψῶν ἡμᾶς,
καὶ Σατᾶν ὁ μισῶν ἡμᾶς·
ἀλλ' ἔγγισον ἡμῖν,
καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν,
ὡς ἐφείσω τῶν παίδων σού ποτε,
τῶν ἐν Βαβυλῶνι,
ἀπαύστως ὑμνησάντων σε
καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον,

in ignis certamine,
gloriam adepti estis.
Media in flamma
intolerabili stantes,
ad Deum clamavistis :
« Accelera, o misericors,
« et festina, o clemens,
« nostrum in auxilium,
« quia potes, si vis. »
2. Tres vos, trino Deo
una servientes anima,
iram regis
decretumque tyrannidis
pudere fecistis, o sancti pueri,
exemplo nobis relicto,
propugnacula dum fidei extitistis.
Accelera, o misericors!..
3. Accelera, o misericors,
et festina, o piissime,
nostrum in auxilium,
quia vales, si volueris.
Tuam extende manum
quam olim experti sunt
Ægyptii bellum cientes,
Hebræique bello pulsi.
Ne deseras nos,
ut non deglutiat nos
mors sitibunda nostri,
et Satan, osor noster.
Verum sta nobis cominus,
et parce animabus nostris,
ut olim pepercisti pueris tuis,
in Babylone
indefesse te canentibus,
et propter te in fornacem missis,

1095, οἵ τ' ὀπάονες, οἵ τ' ὄντες, οἵ τ' ἀπόντες, ὁρμᾶσθε. Aristoph. *Ach.* 145, οἱ Θρᾷκες, δεῦρο etc. — ἀνυποστάτως T. — βοήθειαν ἡμῶν pro ἥμων, ex lege metrica XI.

2. Solus corsin. retinet trop. 2.

3. τάχυνον. Quatuor priores versus non admittuntur in editis, sed serie rerum et acrostichide, ut in duobus codicibus, requiruntur. — ὡς ἐλεήμων T. — καταλίπῃς edd. omnes. — Bis lege ἧμας, dein ἧμιν iuxta laud. canonem. — καταπίει C. — ἐφείσω ποτέ T et edd. nec reluctante rhythmo, fas enim recipere : ὡς ἐφείσω ποτὲ τῶν παίδων σου. — Placuit dividi duos versus 16 et 17, iuxta melodi indolem, tropariis fere omnibus ultro faventibus, etsi unum aut alterum nimium obstant. Sed quoties ultra tredecim syllabas aliquis versus excurrit, hic censeo aliquid latere mendum. — ἀνυμνούντων σε edd. ven. — δοξαζόντων σε T, rom. — ταύτης κραυγαζόντων σοι edd. et codd. contra rhythmum perpetuum.

καὶ ἐκ ταύτης κραζόντων σοι·
Τάχυνον, ὁ οἰκτίρμων,
καὶ σπεῦσον, ὁ ἐλεήμων,
εἰς τὴν βοήθειαν ἡμῶν,
ὅτι δύνασαι βουλόμενος.

ex illaque tibi clamantibus :
« Accelera, o misericors,
« et festina, o clemens,
« in auxilium nostrum,
« quia potes, si vis. »

δ'. Ὅτε ἐν Βαβυλῶνι * τὸ τῆς εἰκόνος γεγόνει, * καὶ πᾶς ἑκὼν προσεκύνει * τὴν μὴ ζῶσαν, ὡς ἐμπνέουσαν, * τότε τρεῖς νεανίαι, * ὡς ἡ Γραφὴ ἐκδιδάσκει, * ἐν νῷ λαβόντες τὴν θείαν, * τὴν εὐθεῖαν οὐ κατέλιπον· * τῶν γὰρ πολλῶν τὴν πλάνην, * ὡς ἀτραπὸν πλανῶσαν, * οἱ τρεῖς παῖδες ἐνόμισαν· * ὅθεν ταύτην οὐχ ὥδευσαν· * ἀλλ' ὀρθοποδοῦντες * ἀεὶ πρὸς τὴν ἀλήθειαν, * τὴν ἀπάτην ἐγέλων τῶν Περσῶν· * μᾶλλον δὲ ἐθρήνουν * καὶ ἔκλαιον οἱ μείρακες· * οὐ γὰρ χαίρει ἀπωλείαις ὁ δίκαιος, * ἀλλὰ στένων κραυγάζει σοι· * Τάχυνον.

4. Cum in Babylone facta statua fuit, dum ultro omnes inanimam imaginem, uti spirantem, adorabant, tunc tres adolescentes, teste Scriptura, semitam habentes divinam in mente, a recta minime recesserunt. Turbarum enim fallaciam, ut viam erroneam tres pueri censuerunt; eam ergo terere noluerunt; at recto semper gressu euntes ad veritatem, Persarum irrisere errorem, immo plangebant ac flebant adolescentuli. Haud enim lætatur damnis iustus, sed pro viribus tibi clamat : Accelera!...

ε'. Ὕμνον οὖν ὑπὲρ πάντων * προσέφερον, ὡς ἐκ πάντων * ἡ τρίμοιρος εὐωδία, * τὸν δεσπότην ἱκετεύουσα * εὐεργέτην ἐν πᾶσι, * καὶ ἄμωμον κατὰ πάντα· * Ὁ τῆς εἰδωλολατρείας * ὀχετὸς μὴ παροργίσῃ σε, * ἐκ θυσιῶν αἱμάτων * καὶ ἐκ παραπτωμάτων * ὁρῶντά σου γῆν γέμουσαν, * καὶ ἐξόζουσαν πάντοθεν· * ἐσμὲν γὰρ ἐν μέσῳ * βορβόρου τὸ θυμίαμα· * εἰ δοκεῖ σοι, ὀσφράνθητι ἡμῶν * τῶν σῶν δούλων, σῶτερ, * καὶ τοῦ γνησίου δούλου σου * τοῦ εὐόσμου Δανιήλ,

5. Hymnum igitur pro omnibus litabat suavis trium concordia; votumque illud supplex ad Dominum benefactorem omnium et in omnibus optimum : « Tuam iram ne moveat « idolorum fœda lues, dum cruentis sacrifi- « ciis et sceleribus tuam vides terram oppleri « ac fœtere undequaque. Nam sumus in me- « dio luto suffitus accensus : tibi si lubet, « perfunditor nostra tuorum servorum sua- « vitate, o salvator, una cum sincero famulo « tuo, fragrante illo Daniele, quem amasti;

4. γεγόνει, ionice, pro quo taurin. ἐπράχθη. — ἔκων πᾶς C, T, a quorum consensu ægre recedo, cogit vero recta sententia et manifesta antithesis. — ὡσεὶ γρ. C. Dan. III per totum, canonice huc adducitur. — εἰς νοῦν λαβ. τὸ θεῖον T, dissipato illo melodi ludo τὴν θείαν τὴν εὐθεῖαν, sed alio mox partim in T, partim in C restituto ut supra : τῶν γὰρ πολλῶν τὴν πλάνην ὡς ἀτραπὸν πλανῶσαν. Habet enim T : τῶν γὰρ πολλῶν τὴν πλάνην ὡς ἀτραπὸν, κρημνώδη οἱ μακάριοι ἐνόμισαν, ὅθεν ταύτην οὐχ ὥδευσαν, ἀλλ' ὀρθοποδοῦντες κ. τ. λ. Quæ autem sic C vertit : τὴν γὰρ Ἑλλήνων λύσσαν, ὡς ἀτραπὸν πλανῶσαν οἱ τρ. π. ἐνόμ. ἀλλ' ὀρθοποδοῦντες, expuncto prorsus v. 12, quem ex T revocavimus. — ἔκλαιον οἱ ἅγιοι, οὐ γ. χ. ἀπωλείᾳ T. — στένων προσεύχεται T.

5. Cui trop. sequens præposuit T. — προσέφερον cum singulari ἡ τρίμ. εὐωδία, ut sæpe, neque apud solos Byzantinos. — τρίμυρος C, T, fort. non ex iotacismo tantum, sed respectu ad triplicis unguenti fragrantiam — τὸν ἵλεων ἱκετεύουσα C. — ὦ φησίν· εὐεργέτα καὶ ἄμωμε· T — μὴ παρωξύνῃ (sic) σε, κἂν γὰρ ἐκ τῆς ἀθεΐας πολλὴν ἀκαθαρσίαν βλέπεις τὴν γ. T. — ὁρῶν τὴν γῆν σου γέμουσαν καὶ πάντ. C. in quo prima verba ducunt ad ὁρῶντα, ut syntaxis iubet, pro quo tamen βλέποντα accuratus rhythmus postularet. — ἐξώζουσαν (sic) ἀλλ' ἴδε· ἐν μέσῳ βορβόρου τὸ θυμίαμα, καὶ εἰ δοκεῖ σοι, ὀσφρ. σωτὴρ, ἡμῶν T. Cum ab initio quater versiculi desinant in eadem πάντων, πᾶσι, πάντα, perinde ac alias ἡμῶν, ἡμᾶς, ἡμῖν, vix putem non latere aliquod melodiæ artificium in hisce ἀκροτελευτίοις.

οὐ ἠγάπησας, * σὺν ἡμῖν γὰρ κραυγάζει σοι· * Τάχυνον...

ϛ'. Ταῦτα τότε ἐβόων * οἱ περὶ τὸν Ἀνανίαν, * ὁρῶντες τὴν ἀνομίαν, * ἣν ὁ ἄνομος ἐποίησεν. * Τίς δὲ ἡ ἀνομία; * καὶ τίς ὁ ταύτην θεσπίσας; * Προσδράμωμεν τῷ βιβλίῳ, * καὶ ἐκ τούτου διδασκώμεθα· * Ὁ Ναβουχοδονόσορ, * φησὶν, χρυσῆν εἰκόνα * πρότερον τεκτηνάμενος, * μετὰ ταῦτα ἀνέστησε· * κἀκείνη μὲν ἔστη· * ὁ στήσας δὲ κατέπεσεν, * καὶ ἐῤῥάγη ὁ ἐγείρας τὸ κακὸν, * οὐκ ἠρκέσθη μόνον * πτώματι, ἀλλὰ εἵλκυσε * καὶ τὸ πλῆθος, ὑπὲρ οὗ οἱ τρεῖς ἅγιοι * καθορῶντες ἐκραύγαζον· * Τάχυνον...

ζ'. Ἄνω οὖν ἐπὶ ὕψους * ἐστηλωμένου τοῦ μύσους, * τὰ κάτω ἐθορυβεῖτο, * τῷ ἀθέσμῳ βαρυνόμενα· * ἦν γὰρ ἄθεσμον ὄντως * τὸ προσκυνεῖν τῷ ἀψύχῳ, * καὶ κτίσιν πᾶσαν ἐδόνει * τὸ ἀντίθεον τιμώμενον· * ὅμως καὶ κλονουμένης * τῆς Βαβυλῶνος ὅλης, * ἔμεινεν ἀκατάβλητον * τὸ τῶν παίδων τριώροφον, * ἐπὶ γὰρ τῇ πέτρᾳ * καλῶς τεθεμελίωτο, * κοὔτ' ἐσείσθη, ὠθούντων τῶν πολλῶν· * πολλοὶ γὰρ ὑπῆρχον, * ὡς γέγραπται, οἱ σκώπτοντες * τοὺς ἁγίους, ἀλλ' εἰς μάτην ἐμόχθησαν * ἡττηθέντες τοῖς κράζουσι· * Τάχυνον...

η'. Πάνυ γὰρ ἠγανάκτουν, * καὶ ἐδυσφόρουν Χαλδαῖοι *, θεώμενοι τοὺς Ἑβραίους * ἀθετοῦντας ἃ ἐθέσπισαν· * ὅθεν καὶ προσελθόντες * τῷ βασιλεύοντι τότε, * διέβαλον τοὺς ἁγίους, * ὀργιζόμενοι καὶ λέγοντες· * Ὦ Ναβουχοδονόσορ, * τῆς γῆς καὶ πόντου ἄναξ, * πάντων ἅμα τρεμόντων σε, * τρεῖς

« nobiscum enim tibi clamat : Accelera... »

6. Talia tunc cecinere socii Ananiæ, impietatem quam iniquus fecit, contemplantes. Quæ iam impietas? Et quis eam sanxit? Accurramus ad librum, et ab eo edoceamur : Nabuchodonosor, ait, auream statuam cum primum arte sculpsisset, post erexit eam. Illa quidem stetit; cecidit autem qui stare fecit eam, et prostratus est qui malum erexit; neque satis est cecidisse, super se vero traxit multitudinem; ideo tres sancti lacrymabundi clamabant : Accelera...

7. Desuper igitur dum surgeret excelsa piaculi statua, quæ infra erant turbabantur iniusto gravamine. Erat enimvero iniqua res, opus adorare inanime; omnemque creaturam commovebat impius cultus. Verum vel conquassata universa Babylone, immotum remansit puerorum triplex fastigium. Nam super petra strenue stabilitum erat, neque nutabat, dum multi illud concuterent; multi enim erant, ut scriptum est, qui sanctis irridebant, sed frustra moliti sunt, devicti ab invocantibus te : Accelera...

8. Mirum enim in modum indignati, ægre tulerunt Chaldæi, Hebræos quum viderint spernere edictum. Unde adeuntes tunc temporis imperantem, sanctos pueros detulerunt, vesania tumidi, et aientes : « O Nabu- « chodonosor, terræ dominator et maris, « dum te omnes ad unum pavent, tres tibi

6. ταῦτα εἰκῶς T. — τὸν ἀνίαν C, sine compendii signo. — ἀν. ἐθέσπισε T. — ἢ τίς ὁ ταύτ. θ. προσέλθωμεν T, qui art. ante Ναβ. om. et pergit : εἰκόνα πρ. τεκμαιρόμενος ἔστησεν· ἣν τιμᾶσθαι παρεσκεύασε· ἐκείνη μὲν ἔστι (sic), ἐκεῖνος δὲ κατέπεσε, καὶ ἐκλίθη ᾧ ὡρίσατο κακόν· οὐκ ἤρκεσε μόνος τῷ πταίσματι· ἀλλ' εἷλκ. κ. τ. π. ὅπερ οἱ ἅγιοι τρεῖς καθορῶντες· ἐκραύγαζον. Metrum quidem vix læditur, sed totum recuditur opus. — In C ἐῤῥάγη ὁ ἐγείρας τ. κ. καὶ οὐκ ἠ. μόνος τῷ πτ. ὀδυρόμενοι ἐκραύγ. C. De verborum lusu cf. V, 12; X, 13; XIII, 3, 9.

7. ἐθ. ἀθεσμότητι κρατούμενα. T. — τοῦ προσκυνεῖν τῇ ἀψ. C. τοῦ προσκυνεῖσθαι τὸ ἄπνουν T; ex quo sponte fluit quod proposuit vir doctus et recepimus : τῷ ἀψύχῳ : stare enim nequit τῇ, nisi εἰκόνι supponatur, quod a præcedenti tropario longissime repetundum est. Cf. tr. 15 ubi ἄψυχον vicinam habet εἰκόνα. — καὶ δονουμένης T. — τὴν πέτραν κ. τεθεμελίωται, καὶ οὐ κατεβλήθη ὠ. πολλῶν. T. καὶ οὐκ ἐσ. C. — σκάπτοντες C, T nec male cum τοῖς ἁγίοις « foveam sanctis fodientes. » τοῖς ἁγίοις... ἐμώχθησαν sic C. — τοῖς ψάλλουσιν T.

γελῶσί σε μείρακες· * θεοὺς γὰρ οὓς σέβῃ, * ἐκεῖνοι διαπτύουσι, * καὶ εἰκόνα ἣν ἔστησας χρυσῆν, * τῆς σῆς εὐδοξίας * τὸ κῦρος, εὐτελίζουσιν, * καὶ τὴν ταύτης προσδοκῶσι κατάλυσιν, * καθ' ἑκάστην εὐχόμενοι· * Τάχυνον...

« iuvenculi insultant; deos enim quos tu colis, isti vilipendunt, et quam erexisti imaginem auream, tuæ gloriæ pignus, aspernantur, eiusque vaticinantur ruinam, vota singulis horis mittentes : Accelera... »

θ'. Ἔμαθεν οὖν ὁ ἄναξ, * καὶ θυμωθεὶς ἐπὶ τούτῳ, * κελεύει τοῖς μεγιστᾶσι * παραστῆναι τὰ μειράκια· * ὅθεν ἅμα τῷ λόγῳ * συνέβαινε καὶ τὸ ἔργον· * καὶ ἤγοντο τὰ ἀρνία * πρὸς τὸν λύκον τὸν ὠμότατον· * ἄλλων κατασπευδόντων, * καὶ ἄλλων συνωθούντων, * ὤφθησαν οἱ πανάρετοι * τῶν ἑλκόντων ὀξύτεροι· * ταχεῖς γὰρ ὑπῆρχον * εἰς πάντα δι' εὐσέβειαν, * καὶ σπουδαῖοι ἀεὶ πρὸς τὸν Θεόν· * πρὸς ὃν καὶ τὸ βλέμμα * τοῦ πνεύματος ἐξέτεινον, * καὶ καθ' ἑκάστην αὐτοῦ ὁμειρόμενοι * καὶ τυχεῖν, ἱκετεύοντες· * Τάχυνον...

9. Rescivit igitur rex, et accensus inde ira, iubet magistratibus sisti puerulos; dictum, simulque factum evasit; et ducebantur agnelli ad lupum ferocissimum. Alii currere præcipites, alii compellere; videbantur præstantissimi pueri vel trahentibus velociores; ad cuncta enim prompti erant pietatis intuitu, semperque ex impetu ferebantur ad Deum, mentis oculo in eum intento, et quotidie magnopere cupientes eo frui, dum supplici voce orabant : Accelera...

ι'. Ἵσταντο οὖν οἱ παῖδες * ἐνώπιον τοῦ δολίου, * καθάπερ τρίγωνος πύργος, * ἐρρωμένοι τῷ φρονήματι· * ὅθεν τούτους ἰδόντες * οἱ δωρεὰν πολεμοῦντες, * ὡς βέλη πεπυρωμένα, * ἀεὶ κατηκόντιζον τὰ ῥήματα, * λέγοντες τῷ τυράννῳ· * Ὁρᾷς τοὺς παρεστῶτας· * νόησον ἐκ τῆς ὄψεως * τὰ τῆς τούτων προθέσεως· * αὐτοί εἰσιν οὗτοι, * οἱ πᾶσαν ἀνατρέποντες * Βαβυλῶνα καὶ τὰ δόγματά σου, * καὶ ξένην λατρείαν * ἐνσπεῖραι ἐπειγόμενοι * κατὰ πάσης τῆς Περσίδος τὰ ὅρια, * οὕτω κράζειν διδάσκοντες· * Τάχυνον...

10. Steterunt igitur pueri coram hoste perfido, sicut triangularis turris, firmo innixi consilio; unde illos ut viderunt qui frustra impugnabant, sicut inflammata iacula, verba semper acuebant, tyranno dicentes : « Cernis hos coram te sistentes : nosce oculis tuis quale sit eorum studium. Isti iidem sunt qui totam subvertunt Babylonem et tua decreta, peregrinumque cultum invehunt per universam Persiam usque in ultimos fines, reboare docentes : Accelera...

8. πάνυ οὖν ἐδυσφ. καὶ ἤγαν. T. — πάντων ὁμοῦ C, T. — σε post γελῶσι om. T. — σέβεις T. — δεξιᾶς δὲ T, sine primo acc. — πρ. κατάπτωσιν T.

9. Incipiunt in T trop. pro Dominica τῶν πατέρων : sunt προπάτορες Christi tres patriarchæ Abraham, Isaac et Iacob; πατέρες vero omnes V. T. iusti, maxime qui ad genealogias pertinent. In utriusque Dominicæ officio, sicut in die 17 sept. seu festo Danielis prophetæ et trium SS. puerorum, ut dixi, etiamnunc leguntur duo priora nostra troparia, totum vero κονδάκιον olim ter fuisse lectum, opinari lubet. — ἐπὶ τούτοις T. — προέβαινε C. — οἱ ἐνάρετοι T, iterum ut in cant. XXII, 6, immo et in XXV, 10, ne alia memorem. — σπουδ. ἀληθεῖς T. — βλ. ἐξέπεμπον τοῦ πν. omisso ἐξέτεινον T. — τῶν αὐτοῦ T. — Mirum ambos codices consentire ὁμειρόμενοι C, ὁμηρόμενοι T, pro ἱμειρόμ. f. ex I Thess. II, 8; raris vero exemplis et hoc adde.

10. Ἵσταντο δὲ T. — τοῦ τυράννου T. — τούτους ὁρῶντες T. — οἱ πολ. δωρ. C. — βέλη εἰκονιμένα T, pro ἠκονημένα. — ἀεὶ πρὸς τὴν ἀλήθειαν C, quod emuncto censori statim visum est glossema interpolatum, reapse omissum est in T, ita ut tantum ἀεὶ retineatur. — λατρείαν ἐνεσπειγόμενοι C. — ἐπειγόμενοι ἐπὶ πάντα τῆς Περσίδος τὰ τέρματα, ἵνα πάντες κραυγάζωσι T. — πάσης Περσ. C.

ια΄. Νῦν οὖν σκέψαι τί δρᾶσαι, * καὶ φρόντισον τί τελέσαι. * Ἐντός σου γὰρ οἱ ἐχθροί σου, * καὶ οἱ σοὶ ἐκπολεμοῦσί σε· * οἵτινες τῆς τραπέζης * ἐσθίουσί σου τὸν ἄρτον, * αὐτοὶ ἐπῆραν τὴν πτέρναν * κατὰ σοῦ τοῦ διατρέφοντος· * ἣν οὖν καταφρονήσῃς, * φθορᾷ καταφθαρήσῃ, * σὺ καὶ ἡ βασιλεία σου· * οὐ γάρ ἐστιν ἀκίνδυνον· * τὰ ἔξωθεν πάθη * ῥᾳδίως ἰατρεύονται, * ἡ δὲ ἔνδον πληγὴ μένει πληγή. * Ἀπόκοψον τούτους, * ὡς πώρωμα σκληρότατον, * μὴ καὶ σῆψιν τοῖς λοιποῖς ἐμποιήσωσι * διὰ τούτων ὧν ψάλλουσιν· * Τάχυνον...

ιβ΄. Οὕτω λέγοντες τότε * ὑφῆψαν τὸν βασιλέα, * καὶ ὥσπερ πῦρ ἐν ἀκάνθαις, * ἐξεκαύσθη ὁ θυμὸς αὐτοῦ· * ὅθεν βρύξας ἐξαίφνης, * θηρίου δίκην ἀγρίου, * ἐβόησε τοῖς γενναίοις· * Τλημονέστατοι, ἀκούσατε· * εἰ ἀληθῶς τοιαῦτα * τολμᾶτε καὶ λαλεῖτε, * μάτην τοῦ ζῆν ἐλπίζετε, * μάτην εἶναι νομίζετε· * οὐδεὶς γὰρ ἀνθρώπων * ἐγένετο ἢ γένηται, * ὃς ἰσχύει μου δόγμα παρελθεῖν, * οὐδὲ πάλιν ἔστιν * ὃς δύναται λυτρώσασθαι * τῶν χειρῶν μου τὸν ἐν ταύταις ἐμπίπτοντα, * οὐδ' αὐτὸς ὃν καλεῖτε Θεόν· * Τάχυνον...

ιγ΄. Ὕπνον οὖν ὑποπτεύσας, * καὶ ὄναρ εἶναι νομίσας * τὰ ποιεῖν τετολμημένα, * ἐκ τοῦ νῦν ἐπιζητῶ ὑμᾶς· * δείξατε οὖν, ὦ παῖδες, * τὰ ῥήματα τῶν λαλούντων * ληρήματα φλυαρούντων, * διὸ ἄρτι ἀπεργάζεσθε. * Ἐὰν ἠχήσῃ σάλπιγξ * καὶ μουσικῶν τὰ γένη, * πεσόντες προσκυνήσατε * τῇ εἰκόνι ἣν ἔστησα, * τιμήσατε ταύτης * τὸ κῦρος, ὡς προσέταξα, * μετὰ πάντων τῶν πρώτων τοῦ λαοῦ· * μὴ δῶτε αἰτίαν * ἐμοὶ

11. « Nunc igitur considera quid agendum, « delibera quid statuendum. Intra te sunt « inimici tui, et familiares tui tibi bellum infe« runt. Siquidem isti ipsi e mensa tua come« dunt panem, et iidem extulerunt calcem ad« versum te a quo aluntur. Id sane si neglexe« ris, interitu interibis, tu et regnum tuum, « quod non est periculo vacuum: externis qui« dem vulneribus facile mederis; intus vero « plaga iacens, plaga remanet. Istos reseca, « uti callum durissimum, ne forte cæteris « saniem inducant, ob verba quæ psallunt: « Accelera... »

12. His vero tunc dictis, regem succenderunt; ac veluti ignis inter spinas, eius exarsit ira; unde repente rugiens, agrestis instar belluæ, intonuit hæc in fortes viros : « Audacissimi, audite! Enim vero si verum est « vos eo usque audere et talia loqui, vivere « frustra speratis. Nemo enim hominum fac« tus est, at neque fiat, qui valeat meum « præterire mandatum. Nec præterea ullus « est qui eximere queat e manibus meis quem« vis in has incidentem; ne etiam iste quem « invocatis Deum : Accelera...

13. « Somnium igitur ego reputans ac « mentis ludibrium ea quæ committere ausi « fuistis, ab illa hora in vos inquirere inci« pio : facite ergo, o pueri, verba accusan« tium habeantur deliria garrulorum : id« circo statim opus aggredimini. Si sonuerint « buccina et musica instrumenta, tunc proni « adorate quam erexi imaginem; veneramini « eius numen, prout præcepi, cum omni« bus primoribus populi. Ne mihi causam

11. σου post ἐντὸς om. T. — ἐκπολεμοῦντές σε, οἵτινές σου τὸν ἄρτον ἐσθίουσι τῆς τραπέζης T. — κατὰ σοῦ. Ps. XL, 10; Ioan. XIII, 18. — ἐὰν οὖν C, T. — ῥαδ. θεραπεύονται T. — πορῶμα sic C. — τοῖς πολλοῖς ἐμπ. διὰ τοῦτον ὃν ψάλλ. T.

12. ἀνῆψαν T. — τοῖς ἁγίοις T. — εἰ ἀληθείᾳ C. — καὶ τελεῖτε T. — ἐλπίζετε, εἰ οὕτως ἐπιστεύσατε, οὐδεὶς ἐγένετο ἢ γενήσεται ὃς ἰσχύει καταλῦσαι τὰ ἐμὰ T. — μου τὸ δόγμα C. — τὸν αὐταῖς ὑποπίπτοντα T. — Θεὸν sic C et T, et recto metro, ob memoratam alibi synecphonesin in Θεόν. Huc usque taurinensis.

13. Unicus iam codex corsin. pessime legit τὰ πνοεῖν et inepte post τετολμημένα novum intrudit glossema, ἄτοπον plane : καὶ ἤδη γεγενημένα. — δι' ὧν ἄρτι. — mel. πίπτοντες pro modulo ut Dan. III, 5. — f. τὴν εἰκόνα ut vett. et infra Romanus. — πάντων πρώτων. κραυγάσετε C, cui da omnes inde varietates.

τοῦ ἀνελεῖν ὑμᾶς, * μὴ δοθῆτε τῷ πυρὶ εἰς κατάκαυσιν, * καὶ δικαίως κράυγασητε· * Τάχυνον...

« facessite cur vos pessumdem, ne tradamini « igni in combustionem, ac merito clamite« tis : Accelera.... »

ιδ΄. Ῥήματα δὲ τοιαῦτα * ἀκούσαντες οἱ γενναῖοι, * ηὐτέλισαν τὴν τοιαύτην * ματαιότητα τοῦ ἄνακτος, * ὅμως ἵνα μὴ τὰ νῦν * νομίσῃ φρόνιμος εἶναι, * ἐπῆραν ἄνω τὸ ὄμμα * οἱ τρεῖς πάνσοφοι, καὶ ἔφησαν· * Ὦ Ναβουχοδονόσορ, * τῆς Βαβυλῶνος ἄναξ, * ἡμεῖς χρείαν οὐκ ἔχομεν * ἐπὶ τούτοις λαλῆσαί σοι· * μωρά σου λαλοῦντος, * οὐδεὶς σοι ἀποκρίνεται, * ὅτι οὕτω κελεύει ἡ Γραφή· * Μὴ ἀποκριθῆτε * τοῖς τὰς μωρίας λέγουσιν· * διὰ τοῦτο σιωπῇ νῦν χρησόμεθα, * πρὸς Θεόν τε κραυγάζομεν· * Τάχυνον...

14. Huiusmodi verba quum audivere egregii viri, spreverunt tantam regis vanitatem; attamen ne sibi sapiens videretur, sursum sapientissimi pueri oculos extulerunt, et dixerunt : « O Nabuchodonosor, rex Babylonis, « nobis opus non est te hisce de rebus allo« qui, tibi minus sana dicenti nemo respon« det, siquidem ita iubet Scriptura : Nolite « respondere stultitias loquentibus. Idcirco « nunc silentio utimur, Deoque canimus : « Accelera!... »

ιε΄. Ὥστε οὖν μὴ νομίσῃς * ἀκοῦσαί τι περὶ τούτων· * σκοπὸς γὰρ ἡμῖν ἐν τούτῳ * μηδὲ λόγου ἀξιῶσαί σε. * Τί δὲ ἔχομεν λέγειν * πρὸς ἄνθρωπον μανιώδη * καὶ παραφρόνως βοῶντα· * Προσκυνεῖτε τῇ εἰκόνι μου; * καὶ τὸ δὲ χεῖρον πάντων, * κολάζειν ἀπειλοῦντα * πάντα τὸν μὴ πειθόμενον * προσκυνῆσαι τὴν ἄψυχον; * Οὐκ ἦν χρεία λόγων, * ἀλλ' ἔργων καὶ δυνάμεων· * οὐ ῥημάτων, πραγμάτων ὁ καιρός. * Εὐτρέπισας φλόγα, * καὶ κάμινον ἐξέκαυσας· * νῦν δὲ ὄψει πῶς αὐτὴν οὐ πτοούμεθα, * ἀλλ' ἐροῦμεν πρὸς Κύριον· * Τάχυνον...

15. « Unde minime existima hac de re te « quidquam auditurum esse; propositum « quippe nobis est, ne verbo quidem dignari « te. Quid enim asserendum habemus viro « insanienti et insipienter clamanti : Adorate « meam imaginem! Et quod peius omnino est, « supplicia minitanti in quemcumque non « persuasum inanimam colere iconem. Mi« nime sermones, sed opera esse et virtutes « oportet; non verborum, sed factorum « tempus est. Flammam præparasti, et for« nacem accendisti : nunc igitur videbis « quomodo eam nos non formidemus, sed « Domino dicamus : Accelera...

ις΄. Μέγαν ἔχομεν πόθον * πρὸς τὸν Θεὸν οἱ τρεῖς παῖδες, * θερμότερον τοῦ πυρός σου, * καὶ καμίνου καυστικώτερον. * Σὺ δὲ τάχα νομίζεις, * ὡς ἄθεος καὶ παράφρων, * ὅτι πατρίδος λειφθέντες, * καὶ ἐλπίδος ἐγυμνώθημεν, * ἀλλ' οὐκ ἐπιγελάσεις * ἡμῖν ὡς ἀρνητέοις· * ἔχομεν γὰρ ὃν ἔχομεν * πανταχοῦ περιφέροντες, * ἐνώπιον ἡμῶν * τὸν πλάστην προορώμενοι· * καθ' ἑκάστην

16. « In Deum magnum nos pueri tres amo« rem habemus, fervidiorem igne tuo, et « fornace flagrantiorem. Tu vero facile re« putas, utpote sine Deo et sine sensu, exu« les nos omni spe esse destitutos : nos vero « non deridebis uti apostatas. Habemus enim « quem ubique gerimus circumferentes, præ « oculis nostris prospicientes creatorem; « illi quotidie vota litamus; haud enim si-

14. τὴν τοσαύτην. — τρεῖς om. C. — οὐδείς σου C. — νῦν post σιωπῇ om. — πρὸς θεὸν κραυγάζομεν id. C.

15. μήτε λόγου C. Iterum malim τὴν εἰκόνα μου. — addidi πάντα et facile legerim τὸν μὴ βουλόμενον, tum velim accusativ. τὴν ἄψυχον notaveris et recolas tr. 7.

16. ὡς ἀρνητέτοις obscura cod. scriptura. An ἀσυνέτοις? an ἀρνηθέοις, pro ἀρνησιθέοις, ut apud Nicetam Chon. ? — f. ὃν εἴχομεν. — πάσης κτ. C.

λατρεύομεν αὐτῷ· * οὐ γάρ ἐστιν οὕτως * ὡς αὕτη ἣν ἐχάλκευσας, * ἀλλ' ἐπάνω πέλει ἁπάσης κτίσεως * ἀσιγήτως ὑμνούμενος· * Τάχυνον...

ιζ'. Ἅμα ἤκουσε τούτων * ὁ ἄθλιος καὶ παράφρων, * ὡς σίδηρος ἐπυρώθη, * καὶ φλογμὸν ἀπεσπινθήρισε, * κράζων, βράζων, ἀσθμαίνων, * καὶ λέγων τοῖς παρεστῶσιν· * Ἑπτάκις ὑπὲρ τὸ πρῶτον * ὑποκαύσατε τὴν κάμινον, * νάφθαν ὁμοῦ καὶ πίσσαν * καὶ κληματίδων πλήθη· * ταύτης τὸ πῦρ ἐξάψαντες, * τῷ θυμῷ μου ἰσώσατε, * ὁμοίως γὰρ ταύτης * φλέγομαι κἀναλίσκομαι, * ὅτι οὗτοι ἠθέτησαν ἐμέ, * τάχα δὲ πρὸ τούτων * ἐγὼ προαναλίσκομαι, * τῇ μανίᾳ, θεωρῶν οὓς ἠλέησα, * πρὸς αἰσχύνην μου κράζοντας· * Τάχυνον.

ιη'. Νάφθα οὖν καὶ στυππίῳ * καὶ κληματίδι καὶ θείῳ * καὶ ἄλλαις πλείοσιν ὕλαις * διατρέψατε τὴν κάμινον, * καύσαντες εἰς τοσοῦτον, * ὡς καὶ ὀνόματι μόνῳ * πτοῆσαι τοὺς θεωροῦντας, * καὶ νεκρῶσαι τοὺς ἀκούοντας. * Ἀλλὰ ὃ πᾶσι φόβος, * τρισὶν ἁγίοις θάρσος * γέγονε, καὶ εὐτέλισμα * τὸ τοσοῦτον γαυρίαμα· * ἐννέα γὰρ πήχεις * ὁμοῦ καὶ τεσσαράκοντα * διεχεῖτο φλὸξ ὑπὲρ κάμινον, * καὶ πάντων τρεμόντων * οἱ παῖδες ἦσαν ἄφοβοι, * τῇ γὰρ ῥώμῃ καὶ τῇ γνώμῃ ἐσφίγγοντο, * θείῳ πόθῳ κραυγάζοντες· * Τάχυνον...

ιθ'. Ὅτε οὖν ἐπυρώθη * ἡ κάμινος τῶν Χαλδαίων, * καὶ πλέον ταύτης ἐξήφθη * ὁ θυμὸς τοῦ βασιλεύοντος, * τότε τῶν μεγιστάνων * τινὲς προσῆλθον τοῖς νέοις· * Καλοί,

« milis est tuo quod aere fudisti simulacro, « sed sursum præeminet omni creaturæ, cui « indefessus hymnus cantatur : Accele- « ra... »

17. Hæc ubi audivit nequam et amens, uti ferrum excanduit, flammarumque scintillas emisit, vociferans, ebulliens, anhelans, aiensque astantibus : « Septuplum amplius quam « semel accendite clibanum, naphtam, nec « non et picem et sarmentorum copiam; « ignem illum succendentes, iram meam « æmulemini; quantum hæc flamma, tantum « ego exardesco et consumor; isti enim me de- « spexerunt; fortasse ante illos ego in fumum « abiero, adeo amens fio, dum video quos « me miseruit, meam in contumeliam cla- « mantes : Accelera...

18. « Naphta igitur et stuppa et sarmentis « et sulphure, et aliis multis materiis cumu- « late fornacem, eousque eam succendentes « ut nosse id tantum satis sit ad terren- « dum spectatores, interimendumque audito- « res. » At quod terrorem omnibus, idem fiduciam tribus pueris dedit, quibus contemptui erat tanta tyranni superbia. Ad novem enim et quadraginta cubitos flamma super clibanum effundebatur, dumque paverent omnes, imperterriti erant iuvenes. Virium enim robore et mentis voluntate exacuebantur, divino cum amore concinentes: Accelera...

19. Quando igitur ignivoma facta est Chaldæorum fornax, et multo etiam sævior quam illa excanduit ira imperantis, tum plures ex satrapis adolescentes adibant : « O pulchri,

17. ἀπεσπινθήρισε, sincera vox, sed rara. — λέγων. Participia id genus cumulata nemo, quem sciam inter christianos poetas, copiosius effudit quam Georgius Pisida : *Pers.* acr. II, vers. 35, 36, 47 ad 56, 195, 197, acr. III, v. 332, 333 etc. *Heracl.* acr. II, 138 ad 143 etc. Quæ cum apud Romanum multo sint rariora, sane eum putem Georgio antiquiorem. Cæterum tam hæc series, quam verba tumultuario ab unico ὑποκαύσατε pendentia commotum iratumque non dedecent. — τὰ πλήθη C. — ταύτης ἴσως φλέγομαι καὶ ἀναλίσκομαι C, cui particula post τάχα deest. ἴσως post ταύτης ineptum glossema est; at vel adhibita crasi, vix satis metro fit. φλὸξ ὑπὲρ κάμ.

18. ἀλλὰ τὸ πᾶσι C. — τοῖς τρισὶν C. — διεχεῖτο ἡ φλὸξ cod. cui ὑπὲρ τὴν κάμινον, aut quid simile supplendum est. — καὶ γνώμῃ C.

19. καὶ πλείω τίς ταύτην τὴν μ. ν. ἐνεφύτευσαν, οἱ φίλοι τοῦ πυρὸς πῶς id. perverso metro — post πολέμιοι excidere v. 11, 12, 13. In quibus melodus iam

λαμπροὶ καὶ ὡραῖοι, * τίς οὖν ταύτην τὴν μανίαν νῦν * ἐνεφύτευσεν ὑμῖν; * οἱ πυρὸς πρώην φίλοι, * πῶς ὤφθητε πολέμιοι; *.... .....*......*.......* καὶ οἱ μύσται, προδόται· διὰ τί; * οἱ τοῦ βασιλέως * ὑπέρμαχοι στεῤῥότατοι, * πῶς ἐξαίφνης λῦσαι τοῦτον σπουδάζοντες; * διὰ τοῦτο οὖν εὔχεσθε· * Τάχυνον..;

κ΄. Ὕβρις τίς ἐπηνέχθη * ὑμῖν ἐκ τῶν ὑπηκόων, * καὶ τούτου χάριν ἐξαίφνης * κατὰ πάντων διεβλήθητε; * ταῦτα οὖν ἃ τελεῖτε, * πάντοθεν ὕβριν προσάγει * τῷ ἔθνει ἡμῶν καὶ γένει * καὶ αὐτῷ τῷ βασιλεύοντι· * μὴ οὖν εἰς τοῦτο, παῖδες, * πετρώσητε τὰ μέλη, * φείσασθε τῆς νεότητος, * καὶ σαυτοὺς ἐλεήσατε· * οὐ πρίασθαι ἔστιν * ζωὴν μετὰ τὸν θάνατον, * οὐκ εἰσὶ γὰρ οἱ πωλοῦντες αὐτήν. * Τὸ πῦρ τῶν Χαλδαίων * οὐ πτήσσει, οὐκ αἰσχύνεται * τὴν λατρείαν τῶν Ἑβραίων ἣν σέβεσθε· * λοιπὸν τίνι κραυγάζετε· * Τάχυνον..;

κα΄. Οὕτω λέξαντες τότε * οἱ μεγιστᾶνες τοῖς νέοις, * ἐνόμισαν ὅτι οὕτως, * ὅπερ ἤθελον, ἐξήνυσαν· * ὅμως οὖν οἱ γενναῖοι, * καθάπερ βασανισθέντες, * οὐ γὰρ ὡς συμβουλευθέντες, * ἀπεκρίθησαν στεῤῥότεροι· * Τί, φασί, τοῦτο, ἄνδρες; * δοκεῖτε ὅτι λόγοις * ἢ ἀπειλαῖς ἐκκόπτετε * τὴν στεῤῥὰν ἡμῶν πρόθεσιν; * ὁ λόγος γὰρ ἡμῶν * καὶ πίστις περιέσφιγξεν, * οὐ γὰρ αὕτη ἡ κάμινός ἐστι· * Θεός ἐστιν ἄνω, * ὃς δύναται λυτρώσασθαι * τῆς καμίνου ἡμᾶς, ὁπόταν βούληται, * διὰ τοῦτο κραυγάζομεν· * Τάχυνον...

κβ΄. Ψόγον οὖν οὐκ ἐπάγει * ἡμῖν τὸ οὕτως τεθνάναι * ὑπὲρ Θεοῦ ἀθανάτου, * καὶ θνητοὺς ἀθανατίζοντος. * Τοῦ Ναβουχοδονόσορ * πολλάκις προκινδυνεῦσαι * εἰλάμεθα καὶ σφαγῆναι, * πόσῳ μᾶλλον τοῦ Θεοῦ

« splendidi et formosi iuvenes! quis vobis « istius modi amentiam indidit? Vos ignis « olim amici, ut quid inimici facti estis!.... « .... vos sacris initiati, « cur traditores? Vos regis defensores for- « tissimi, cur subito eum studetis subver- « tere? an propterea oratis : Accelera..?

20. « An contumelia aliqua vobis a subdi- « tis illata est, et propterea omnes illico « detestamini? Idipsum quod facitis, in « omnium redundat iniuriam, tum gentis ac « generis nostri, tum ipsiusmet monarchæ. « Nolite ergo, o pueri, eo usque ut saxa « habere membra vestra. Parcite huic iu- « ventuti, ac vestri vosmet miseremini; non « est pretio commutanda vita cum morte; « desunt qui vitam defunctis vendant. Ignis « Chaldæorum neque timet, neque pudefit, « ex illa quam Hebræi profitentur, religione. « Cui demum vociferabimini : Accelera? »

21. Quæ postquam magistratus tunc recitavissent adolescentulis, cogitabant ad felicem se exitum quod optabant, perduxisse. Verumtamen generosi heroes, quasi torquerentur, non vero suaderentur, adhuc firmius respondebant : « Quorsum hæc, aiunt, o viri! « Putatis ne fore ut vos verbis aut minis ex- « cidatis nostram solidam voluntatem? Est « enim Verbum, est fides nostra, quæ nos « constrinxit, hic vero clibanus nihil est. Deus « est sursum, qui nos valet e foco liberare, « statim ut voluerit; idcirco clamamus : Ac- « celera...

22. « Nullum ergo nobis fastidium est, sic « mori pro immortali Deo, qui mortales « immortalitati consecrat. Pro Nabuchodo- « nosore sæpenumero cupivimus pericula « obire et mactari, quanto magis pro Deo

e sacris libris egressus, liberius fortasse vagabatur.

20. Dici solet διαβεβλῆσθαί τινι aut πρός τινα : notatu dignum ex Nostro aliud διαβεβλῆσθαι κατά τινος. — ὕβρις προσ. C. — οὐκ ἔστι πρίασθαι C.

21. τί φησι C. — ὁ λόγος γὰρ ἦν καὶ πίστις C, om. ἡμῶν. — ὅταν βούληται C.

22. Nota structuram προκινδυνεῦσαί τινος. — τί ἡμῖν ἐμποδίζετε, οὐ γὰρ C.

ἡμῶν; * Τί οὖν λοιπὸν, Χαλδαῖοι, * καὶ σὺ, ὁ τούτων ἄναξ; * τί ὑμῖν ἐμποδίζει νῦν; * οὐ γὰρ ἔσται ὃ θέλετε. * Τοιαῦτα ἀκούσας, * ὁ ἄναξ κατηπείγετο, * καὶ παφλάζων ἐβόα ἐν θυμῷ· * Δεσμεύσατε τούτους, * καὶ δότε εἰς κατάκαυσιν, * ἵνα βρῶμα τῆς καμίνου γενόμενοι, * τεφρωθέντες μὴ κράζωσιν· * Τάχυνον...

κγ΄. Ἄραντες οὖν τοὺς παῖδας, * οἱ ἐπὶ τούτῳ ταχθέντες, * δεσμεύουσι χεῖρας καὶ πόδας, * καὶ ἐκρίπτουσιν εἰς κάμινον. * Δέχεται οὖν ἐκείνη * τὴν τρίκλωνον αὐτῶν ῥίζαν· * κοὔ φλέγει, ἀλλὰ φυλάττει, * φοβουμένη τὸν φυλάσσοντα, * ἀλλὰ εἰς πνεῦμα δρόσου * ἡ φλὸξ μεταβληθεῖσα * θείως οὕτω διέψυχεν * τὰ στελέχη τὰ ἅγια. * Καὶ ἦν ἰδεῖν ξένον· * τὸ πῦρ γὰρ ἐπελάθετο * τῶν ἰδίων, καὶ γέγονε πηγὴ, * ἀρδεύουσα μᾶλλον * ἢ καίουσα οὓς ἔβαλεν, * καὶ φρουροῦσα ὥσπερ ἄμπελον τρίφορον. * Οἱ γὰρ τρεῖς οὕτως ἔψαλλον· * Τάχυνον...

κδ΄. Λέλυτο παραχρῆμα * ἡ δύναμις τῆς γεέννης· * ὁ ἄγγελος γὰρ ἐξαίφνης * οὐρανόθεν ἐπεδήμησεν, * μέσον ταύτης εἰσῆλθεν, * καὶ κατεπράϋνεν ὅλην, * καὶ ἔδειξεν τοῖς ἁγίοις * ὡς παράδεισον τὴν κάμινον, * καὶ κατεπάτουν οὗτοι * τοὺς ἄνθρακας ὡς ῥόδα, * καὶ ὥσπερ ἐπὶ ἄνθεσι * τοῖς σπινθῆρσιν ἐτέρποντο· * ὁ καυστηρὸς τόπος * εὐκτήριος ἐγένετο, * καὶ εὑρέθη ῥοδόπατος ἡ φλὸξ, * θάνατον πνέουσα * τοῖς κύκλῳ καὶ τοῖς πόῤῥωθεν, * τῶν ἐν μέσῳ τὴν ζωὴν οὐκ ἐλύπησεν, * φοβηθεῖσα ἃ ἔψαλλον· * Τάχυνον...

« nostro? Quid ergo superest, o Chaldæi, « tuque eorum rex? Quæ causa vos moratur? « Non erit, quod vultis? » Quæ ubi rex audivit, concitatus est exæstuansque ira clamavit: « Constringite illos et mittite in incendium, ut pabula flammæ facti, in cinerem abeant, nec vociferentur: Accelera... »

23. Pueros igitur postquam rapuere, qui ad hoc iubebantur, eos manibus, pedibusque devinciunt, et eiiciunt in fornacem. Quæ igitur excipit triplicis surculi radicem, non comburit eos, sed custodit, ipsa eorum tutorem reformidans, quinimmo in roris flatum flamma iam mutata divinitus, sacros refrigerat surculos. Et mirabile visu! Ignis suam oblitus naturam, fit irriguus fons, nedum exurat quos attingit, ac pene protegit, quasi vitem ter fructiferam; tres enim una psallebant: Accelera...

24. Soluta repente erat vis illius gehennæ: angelus enim illico e cœlo lapsus in mediam fornacem venit, eamque penitus temperavit ac pro sanctis mutavit in paradisum: qui spatiabantur in carbones quasi super rosas, et scintillis sicut floribus delectabantur. Incendii clibanus sacrarium factus est, inventaque flamma est semita rosis conspersa, dum mortem cæteris spirat, tam in circuitu quam longe positis, eorum autem quos ambit, vitæ nullatenus nocuit, immo expavit ea quæ canebant: Accelera...

23. v. 3 abundat. — καὶ οὐ φλ. — θεῖον οὕτω C. — Ut melodi venam mirere, velim ea quæ idem in cant. XX de igne Spiritus in Pentecoste cecinit, memineris, quibus hic addit vitis imaginem, toties cum tribus pueris in hypogeis romanis expressam.

24. λέλυτο, uti supra γεγόνει more Atticorum, de quo Matthiæ *Gramm.* § 165, p. 301; Fischer ad Weller. II, p. 317. — τοὺς ἄνθρακας in cod. desideratur. — in C art. ὁ excidit ante καυστηρός, dum abundat ἡ post φλόξ. — ῥοδόπατος vox nova, ut videtur. — ἐφ' ὧν ἔψ. C. addere lubet nonnullos de eodem argumento iambos Ioannis Geometræ (Cramer *Anecd. Paris.* t. IV, p. 352):

Μέσον δὲ τὸ πνεῦμα τῆς καμίνου πνεῖ δρόσου
ψυχρόν τι τερπνὸν καὶ συρίζον ἠρέμα.
Τὸ πῦρ μερισθὲν φῶς παρεῖχε τοῖς νέοις,
τὸ καυστικὸν δὲ τοῖς ἀνάψουσι μόνοις·
συνεῖχεν ὡς θάλαμος ἡδὺς τοὺς νέους,
ἔφλεξεν οὐδὲν, οὐ παρηνώχλησέ τι,
δεσμοὺς ἔκαυσε, τῶν τριχῶν ἀπέσχετο.

κε΄. Μόνον γὰρ συγκατέβη * τοῖς περὶ τὸν Ἀζαρίαν * ὁ ἄγγελος οὐρανόθεν· * πρὸς ψαλμὸν αὐτοὺς ἐξήγαγε * λέγων· Ἅγιοι παῖδες, * ἀκούσατέ μου τὸν λόγον· * ἐγὼ τελῶ ἃ ἐτάχθην, * καὶ ὑμεῖς ὃ ἐδιδάχθητε. * Ὡς καμίνῳ τὴν φλόγα, * στομώσατε τὴν γλῶσσαν * ὡς ἀμαυρῷ· τὴν φλέγουσαν * δειλιᾶτε τὴν μέλλουσαν, * μὴ δὲ πτοηθῆτε. * Τὸ πῦρ οὐκ ἐνοχλεῖ ὑμῖν, * τῶν ἐχθρῶν γὰρ ὑμῶν ἐπικρατεῖ· * ἐκέλευσα τοῦτο * νηστεῦσαι, ὡς νηστεύετε, * καὶ ἀσώτως τοὺς ἀσώτους κατέδεσθαι, * τοὺς ὑμῖν μὴ συμψάλλοντας· * Τάχυνον...

25. Solummodo enim descendit ad socios Azariæ angelus de cœlo; psalmi exordium proposuit eis dicens : « Sancti pueri, audite « meum sermonem : ego quæ præcepta mihi « sunt, exsequor; et vos, quæ edocemini. « Sicut fornaci flammam, ita os compescite « insipienti; venturum timete ignem qui « vere comburit, immo ne formidetis. Ignis « ille vos non attingit, sed hostes vestros « subiicit; cui iussi ut a vobis abstineret, sic- « ut vos a cibo abstinuistis, cæteros vero « perditos funditus devoret, vobiscum non « psallentes : Accelera...

κϛ΄. Ὅλην οὖν τὴν καρδίαν * ἐκδόντες πρὸς ὑμνῳδίαν, * τῷ πλάσαντι τὰς καρδίας * μελῳδίαν ἐξυφάνατε· * λάβετε καὶ τὴν κτίσιν * πρὸς εὐφημίαν τοῦ κτίστου, * καὶ πάντα ἔργα Κυρίου * εὐλογήσωσι τὸν Κύριον, * ὅτι τὸ πῦρ πηγάζει, * καὶ κάμινος δροσίζει * τοὺς εἰς αὐτὸν πιστεύοντας * καὶ τῆς πλάνης ἐκφεύγοντας· * ἅπαντα γὰρ δοῦλα * ὑπάρχει τοῖς δουλεύουσι * τῷ Κυρίῳ ὡς πλάστῃ καὶ Θεῷ. * Ἠλίας τῶν ἄνω * καὶ τῶν κάτω ἐδέσποζεν, * ὅτι μέσον τῶν ἀθέων ἱστάμενος, * τὸν Θεὸν ἐλιτάνευεν· * Τάχυνον...

26. « Totum igitur cor vestrum pandite in « hymnos; Deo qui corda condidit, texite « melodica carmina; assumite creationem in « communem creatoris plausum; et omnia « opera Domini benedicant Dominum, quia « ignis scaturit in in fontem, et fornax in ro- « rem, pro confidentibus in eo et fugientibus « fallaciam : omnia quippe iis serviunt qui « Dominum uti creatorem Deumque colunt. « Elias in superiora et inferiora dominatus « est, quia in mediis impiis stans, supplex « Deum orabat : Accelera. »

κζ΄. Στήσαντες οὖν οἱ παῖδες * χορὸν ἐν μέσῳ καμίνου, * οὐρανίαν ἐκκλησίαν * ἀπειργάσαντο τὴν κάμινον, * ψάλλοντες μετ᾽ ἀγγέλου * τῷ ποιητῇ τῶν ἀγγέλων, * καὶ πᾶσαν τὴν ὑμνῳδίαν * τῶν ἀσάρκων ἐκμιμούμενοι· * εἶτα ἐμφορηθέντες * ἐκ τῆς λατρείας τότε * τοῦ παναγίου Πνεύματος, *

27. Chorum igitur in media fornace pueri statuentes, in cœlestem ecclesiam mutarunt clibanum, cum angelo psallentes angelorum conditorem, et hymnos omnium immortalium imitati; afflatis demum sanctissimi Spiritus numine, ecce illis visum est aliud conspectu mirabilius : ille ipse quem angelum esse cerne-

25. Series exposcit καταβαίνων pro συγκ. — οἱ ἅγιοι C. Hic plura in cod. fere evanida. f. γλῶσσαν σοβαρῷ· μὴ τὴν φλέγουσαν δειλιᾶτε τ. μ. — pro κατέδεσθαι aptius esset, cum de præsenti agatur eo loci, καταφαγεῖν. — μὴ ψάλλ. C.

26. ἐξυφάνατε attice pro ἐξυφήνατε, de quibus apud Romanum frequentibus, alias diximus, in primis cant. VI, 5. — πάντα τὰ ἔργα C. — εὐλογήσουσι δροσίζει τοῖς ε. α. πιστεύουσι... ἐκφεύγουσι πάντα γὰρ δοῦλα. — Quæ ad C. perge referre.

27. ἴδον pro εἶδον. Quam homericam formam adeo melodus frequentavit, ut abs re non sit, easdem illi vindicias adhibere, quibus Cosmam, alterum melodiæ principem, Gregorius Corinthius tueri non dubitavit, cum in acrostichide iambica cuiusdam canonis ἴδε pro εἶδε, rupto in ultimo pede metro, posuisset : Καινοτομία ὑπέστη κατὰ τὴν ἕκτην χώραν ὁ παρὼν οὗτος ἴαμβος· τὸ γὰρ εἶδε διὰ τῆς ει διφθόγγου ὀφεῖλον γράφεσθαι, διὰ τοῦ ι ἐγράφη· ὁμηρικὸν δὲ τοῦτο, καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τὸ ἴδον καὶ ἴδεν ἐν τῇ ὁμηρικῇ ποιήσει διὰ τοῦ ι γράφεται δευτέρου ἀορίστου γραφῇ, ἔχοντος τοῦ παρατατικοῦ. Hactenus summus magister in comm. inedito *de canonibus Dominicis*. — αὐτὸν γὰρ ἐκεῖ-

ἴδον ἄλλο φρικτότερον· * αὐτὸς γὰρ ἐκεῖνος, * ὃν ἔβλεπον ὡς ἄγγελον, * καθεκάστην ἠλλοιοῦτο μορφήν, * καὶ ότὲ μὲν Θεὸς, * ἄλλοτε δὲ ὡς ἄγγελος * ἑωρᾶτο, καὶ τοτὲ μὲν ἐκέλευε, * τοτὲ δὲ συνικέτευεν· * Τάχυνον...

κη΄. Ὅθεν καταπλαγέντες, * ἐξέστησαν τὴν καρδίαν * Σέδρα, Μισὰ, καὶ ὁ ἄλλος, * καὶ ἀλλήλοις συνελάλησαν· * Τί, φασὶν, ἐστὶ τοῦτο; * οὐκ ἔστιν ἄγγελος οὗτος, * ἀλλὰ Θεὸς τῶν ἀγγέλων· * ἐν ἀγγέλῳ ἡμῖν φαίνεται, * ὁ εἰς τὸν κόσμον μέλλων * ἔρχεσθαι, καὶ σβεννύειν * τὴν τῶν εἰδώλων γέενναν, * ὥσπερ ταύτην τὴν κάμινον. * Αὐτὸς ἡμῖν ὤφθη, * καὶ τῶν μελλόντων ἔρχεσθαι * τὴν εἰκόνα ὑπέδειξεν ἡμῖν, * καθάπερ ἀρτίως * γὰρ δροσίζει τὴν κάμινον, * οὕτως μέλλει ὥσπερ ὑετὸς κατελθεῖν, * καὶ ἀρδεύειν τοὺς ψάλλοντας· * Τάχυνον...

κθ΄. Ὕμνος οὖν τῷ εὐσπλάγχνῳ, * καὶ αἶνος τῷ φιλανθρώπῳ, * ὅτι ἠξίωσεν ἡμᾶς * τῆς μεγάλης αὐτοῦ χάριτος. * Δεῦτε, πᾶσα ἡ κτίσις, * τὸν διοικοῦντα τὴν κτίσιν * καὶ συγκροτοῦντα τὴν φύσιν * ἱκετεύσωμεν, κραυγάζοντες· * Ὁ πρὸς ἡμᾶς καὶ ἄνω * καὶ ἐν ἑκάστῳ τόπῳ * ἄφθαστε καὶ κρατούμενε, * χωρητὲ καὶ ἀχώρητε, * ὁ ἐπὶ πτερύγων * ἀνέμων ἐποχούμενος * καὶ τέχνη μὴ ἐμφέρων τοῖς βροτοῖς, * ὁ πόλου καὶ γαίης * καὶ πόντου τὴν κατάστασιν * καὶ ἀνθρώπων διοικῶν τὴν ἐπίστασιν, * ἀφ' ἡμῶν παρακλήθητι· * Τάχυνον...

λ΄. Τούτων οὕτως ψαλλόντων * καὶ οὕτως λιτανευόντων, * ὁ ἄναξ ἐπηκροᾶτο, * πρὸς τὴν κάμινον γενόμενος. * Ἦλθεν οὖν μετὰ τρί-

bant, forma continuo vertebatur, modo quidem Deus erat, modo autem angelo similis videbatur, nunc vero imperabat, sed aliquando supplex precabatur : Accelera...

28. Unde attoniti ab imo pectore erigebantur Sidra, Misa, et puerorum tertius, ita inter se colloquentes : « Quid, aiebant, istud « est? Angelus non est iste, sed Deus ange« lorum : in angelo enim apparet is qui in « mundum venturus est, extincturus idolo« rum incendium, sicut ipsam hanc forna« cem. Ipse nobis conspectus est, imaginem« que nobis adumbravit rerum quæ evenient. « Ut enim nunc prunas irrorat, sic delapsu« rus est uti imber, et irrigabit psallentes : « Accelera...

29. « Hymnus igitur sit clementi, lausque « hominum amatori, quia nobis dignatus est « magnam suam largiri gratiam. Adesdum, « universa creatura, gubernantem omnia « condita, omnemque naturam amplexum, « supplices deprecemur, clamantes : Tu qui « iuxta nos es et supra et in omni loco, « inaccessibilis nobisque apprehensus, loco « ascriptus et immensus, tu ventorum pennis « subvectus, neque hominibus arte similis, « qui cœli et terræ et maris fabricam, homi« numque imperium regis ac sustines, a « nobis invocator : Accelera... »

30. Quæ dum ita psallunt, sicque deprecantur, rex auscultabat, iuxta fornacem accedens; venit enim post horam tertiam, ut habet

νον cod. quasi respectu ad sequentia. — τῇ μορφῇ — καὶ τὸ μέν.

28. τί φησιν cod. — ὥσπερ αὐτήν. — καθάπερ γὰρ ἀρτίως id. quo unico fere trop. solita versuum divisio impeditur, nisi vocula de sede moveatur. — post κατελθεῖν insolitum irrepsit glossema εἰς τὴν ἄγαμον, in quo scholium video e margine migravisse, ut moneremur de mystico rore ac de Gedeonis vellere, quæ B. Virgini symbolica theologia ascribit; nec diu lectorem morari velim in hisce imaginibus Virginis et puerorum in fornace, quam totum troparium, cum christiana antiquitate consentaneum, ἐκκλησίαν οὐράνιον simul et terrestrem, bellorum incendio vexatam, intelligendam esse suadet; immo innuit mundum, gehenna idolorum conflagrantem.

29. ἄφθαστε iterum apud Serg. 1, 9. — post ἀνέμων nescio cur cod. intruserit ἔνδοξος. — Ib. ἀνθρώπους διοικῶν ὡς ἐπίστασε cum corr. αν supra ultimam litteram.

30. τοῦτον οὕτως C. — Tertia hora ideo fortasse notatur, quod eadem hora Spiritus flammeus in

την, * ὡς ἡ γραφὴ ἐκδιδάσκει, * ἐλπίζων κόνιν εὑρίσκειν * οὓς παρέδωκεν εἰς κάμινον. * Ὅμως ἐματαιώθη * ἡ τούτου προσδοκία, * καὶ ἐξεχύθη ἄθροον, * ὡς καπνὸς, ἡ ἐλπὶς αὐτοῦ· * ἐμβλέψας οὖν τότε * ὁ τλήμων εἰς τὴν κάμινον, * ἐθεώρει φρικτὰ καὶ θαυμαστὰ, * καὶ οὓς ἐδέσμευσε, * ἐκείνους ἐκλελυμένους, * ἀλλομένους, χαίροντας καὶ χορεύοντας * καὶ σκιρτῶντας καὶ ᾄδοντας· * Τάχυνον...

Scriptura, hac spe fore ut in cinere inveniat eos quos clibano dederat, verum delusa fuit eius expectatio, et fluxit subito ut fumus spes illius. Considerans igitur improbus in fornacem, mira vidit et formidolosa, illos ipsos quos vinculis ligavit, solutos, alacres, lætabundos, saltantes et tripudiantes atque concinentes : Accelera...

λα'. Ὅλως δὲ ἠλλοιώθη * καὶ συνεχύθη τὰς φρένας, * καὶ τί τελέσαι μὴ ἔχων, * τοῖς σατράπαις ἀνεβόησεν· * Τρεῖς ἐῤῥίψαμεν κάτω, * καὶ τέσσαρας αὐτοὺς βλέπω, * καὶ τοῦ τετάρτου ἡ ὄψις * συντρίβει τὴν καρδίαν μου... * οὔτε γὰρ οἶδα τίνι * συγκρῖναι τοῦτον ἔχω. * Εἴπω ὅτι βροτός ἐστιν; * ἀλλ' Υἱὸς Θεοῦ πέφυκεν. * Δικαίως ἐσβέσθη * ἡ κάμινος, οὐκ ἔχει γὰρ * ἐπιμεῖναι πρὸς πύρινον ἡ φλὸξ, * ἀξίως ἡττήθη, * οὐκ ἔχει γὰρ τὴν δύναμιν * ὑποστῆναι τὴν αὐγὴν τοῦ ἀστράπτοντος, * καὶ τοῖς νέοις συμψάλλοντος· * Τάχυνον...

31. Is totus mutatus est, sensuque dissolutus, nec iam quid ageret habens, ad satrapas exclamabat : « Tres iniecimus subtus, et « quatuor eos video; quarti autem aspectus « cor meum conterit; haud enim scio cui« nam eum similem habuerim. Eumne di« cam mortalem? At Filius Dei est: iure ergo « fornax extincta est; non potest enim sub« sistere flamma iuxta igneum; merito supe« rata est; vim quippe non habet sustinendi « radium coruscantis et cum pueris psallen« tis : Accelera...

λβ'. Σέβω οὖν, κἂν μὴ θέλω, * τὸν Κύριον τῶν Ἑβραίων, * καὶ πᾶσι τοῖς ἐν τῇ γῇ μου * διατάττω συναινέσαι μοι. * Δεῦτε, ἅγιοι παῖδες, * ἐξέλθετε τῆς καμίνου· * ἐπείσθην γὰρ ὅτι ὄντως * ὁ Θεὸς ὑμῶν Θεός ἐστιν. * Ταῦτα ἐν Βαβυλῶνι * ἐγένετο, ὡς γράφει, * ὅτε ᾐχμαλωτίσθησαν * οἱ Θεὸν παροργίσαντες. * Διὸ, ἀδελφοί μου, * ὁρᾶτε μὴ λυπήσωμεν * τὸν δεσπότην καὶ δοθῶμεν ἐχθροῖς· * λυποῦμεν γὰρ τοῦτον, * ἐὰν αὐτὸν ἀφήσωμεν * καὶ τὴν πίστιν τὴν ὀρθὴν

32. « Ego, vel invitus, adoro Hebræorum « Dominum, et omnibus in terra mea de« cerno, ut mecum consentiant. Venite, « sancti pueri, exite e fornace; credidi vere « Deum esse Deum vestrum. » Hæc in Babylone facta sunt, ut scriptum est, quando captivi abducti fuerant, qui Deum offenderant. Propterea, o fratres mei, orate, ne contristemus Dominum et tradamur hostibus; eum enim contristamus, si deserimus eum, et rectam fidem offendimus; extra quam di-

cœnaculum lapsus est. — εἰς τὴν κάμ. C. — τότε add. — κἀκείνους οὓς ἐδέσμευσεν λελυμένους (sic), ἀλλομένους, χορεύοντας, καὶ σκιρτῶντας καὶ ἐπᾴδοντας C, manifesto tumultu, in quo periit etiam recta stichorum divisio, qualem cætera omnia trop. ferunt.

31. καρδίαν μου. Syllaba una metro deest f. legendum συνταράσσει τὴν καρδίαν μου. Hic demum, ut in plurimo superiori loco, alluditur tum ad ignem a Persis adoratum, tum ad symbola veri Dei ab igne repetunda.

32. f. pro accentu καὶ τοῖς ἐν γῇ ἡμῶν πᾶσι. — γράφει i. e. βίβλος, rupto metro γραφὴ C. — λυπ. γ. τούτων C. — πίστιν ὀρθὴν παρατρώσωμεν sic C, f. παρατρέψωμεν. A tribus vero sanctissimis pueris ne discedamus, quin miremur quomodo fuerint veteri simul et novæ ecclesiæ ornamento atque solatio, uti tum sexcenta alia notissima, cum etiam Syracusanum illud monumentum evincit, novam in lucem nuper erutum, hisque diebus, dum hæc scriberem, non modo sub oculis meis ex arte photographica positum, verum etiam cum exqui-

παρατρώσωμεν, * ἧς ἐκτὸς λέγειν ἄλεκτον· * Τάχυνον, ὁ οἰκτίρμων· * καὶ σπεῦσον, ὁ ἐλεήμων, * εἰς τὴν βοήθειαν ἡμῶν, * ὅτι δύνασαι βουλόμενος.

cere nefas est : Accelera, o misericors; festina, o piissime, in auxilium nostrum; potes, si vis.

sita diligentia, quæ artem superat, et claro, nomini par est Philippi Matranga, ornatum et illustratum (*Sul sarcofago rinvenuto nelle catacombe di Siracusa lettere, etc.* Palermo, 1873, p. 9, 36). Omnis audi martyres in tribus pueris, et quid eorum imago doceret, a poemate disce.

XXV.

CANTICUM IN NATIVITATEM B. MARIÆ VIRGINIS.

α'. Ἰωαχεὶμ καὶ Ἄννα
ὀνειδισμοῦ ἀτεκνίας,
καὶ Ἀδὰμ καὶ Εὔα
ἐκ τῆς φθορᾶς τοῦ θανάτου
ἠλευθερώθησαν, ἄχραντε,
ἐν τῇ ἁγίᾳ γεννήσει σου·
αὐτὴν ἑορτάζει
καὶ ὁ λαός σου,
ἐνοχῆς τῶν πταισμάτων
λυτρωθεὶς, ἐν τῷ κράζειν σοι·
Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον,
καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

β'. Ἡ προσευχὴ, ὁμοῦ καὶ στεναγμὸς,
τῆς στειρώσεως καὶ ἀτεκνώσεως
Ἰωαχείμ τε καὶ Ἄννης εὐπρόσδεκτος,
καὶ εἰς τὰ ὦτα Κυρίου ἐλήλυθεν,

1. Joachim et Anna
ex opprobrio sterilitatis,
Adamusque et Eva
ex corruptela mortis
erepti sunt, o immaculata,
in sacra tua nativitate :
quam festive celebrat
tuus quoque populus,
e vinculo peccatorum
solutus, dum ad te clamat :
« Sterilis parit Deiparam,
« vitæque nostræ nutricem. »

2. Oratio simulque gemitus
sterilitatis et orbitatis
ab ore Joachim et Annæ placuerunt,
et in aures Domini pervenerunt,

Romanum nemo ullus non agnoverit in hac XXV melodia, qua, ut tum primum inter Christi natalia, sic demum B. Virginis ad cunas eadem dulcedine, simili studio, ac nova alacritate exultat. Haud jam exigui pretii est, priscas illas origines ornari ab eximio melodo, in quo spirat aurea patrum ætas, ante, ut opinor, quam Cosmas, Andreas, Sophronius, Damascenus nota cantica et præconia de Virginis ortu et parentela late per hominum ora circumfuderint. Corsinius quidem nobis defuit; defuere et taurinensis et mosquensis, cum in illis singulis idem initium mensis septembris, unico veluti fato, abstulerit ævi edacitas. At enim vicariam opem sibi dedere bini codd. vetusti, vaticanus unus, 1829, alter cryptoferrat. Δ. α. 1, sed posteriorem citato tantum oculo lustravi, nec nisi priorem tuto adhibere potui; ex quo versus numero 166 accepi integros et novos, viginti quinque exceptis. Cæteris quidem brevior, haud vero impar, melodia inscribitur : Μηνὸς σεπτεμβρίου η', κονδάκιον ἰδιόμελον εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου, ἦχ. δ', οὗ ἡ ἀκροστιχίς· Ἡ ᾠδὴ Ῥωμανοῦ.

1. Ὀνειδισμῶν vat. Expectaveris ἐξ ὀνειδ. ut statim ἐκ τῆς φθ. verum admittendi aut excludendi præposit. æqua licentia melodus usus est. — λυτρωθῆναι ed. rom. ex cryptoferr. — καὶ τὴν τροφὸν crypt.

2. ὁ στεναγμὸς edd. vett. et novi, sed metro articulus pellitur. — τε καὶ Ἄννης cum edd. jubente melodia; male τε om. codd. καὶ Ἄννα vat. — εὐπρόσδεκτοι codd. f. κατὰ νοούμενον ob superiora,

καὶ ἐβλάστησε καρπὸν
ζωηφόρον τῷ κόσμῳ.
Ὁ μὲν γὰρ προσευχὴν
ἐν τῷ ὄρει ἐτέλει,
ἡ δὲ ἐν τῷ παραδείσῳ
ὄνειδος φέρει·
ἀλλὰ μετὰ χαρᾶς
ἡ στεῖρα τίκτει τὴν Θεοτόκον
καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

fructumque fecerunt germinare,
qui mundo vitam attulit.
Is namque preces
in monte effundebat;
hæc vero in horto
contumeliam tulit.
Sed cum lætitia
sterilis parit Deiparam,
vitæque nostræ nutricem.

γ'. Ὦ τοκετὲ τῆς Ἄννης ἀγαθὲ, * πῶς ὑμνήσω σε, ἢ πῶς δοξάσω σε, * ὡς ὑπάρχεις τεχθεῖσα ναὸς ἅγιος; * Ἰωαχεὶμ ἐν τῷ ὄρει ἱκέτευε * τὸν καρπὸν ἀπολαβεῖν * ἐκ κοιλίας τῆς Ἄννης, * καὶ γίνεται δεκτὴ * ἡ εὐχὴ τοῦ ὁσίου, * καὶ μετὰ κυοφορίαν * ἡ μακαρία * φέρει κόσμῳ χαράν· * ἡ στεῖρα τίκτει...

3. O optime fructus Annæ, quibus te hymnis laudibusve prosequar, quando oriris ut sacrum Dei templum? Joachim in monte orabat supplex, ut fructum e gremio Annæ susciperet, et accepta fit oratio justi, et impleto nativitatis tempore, mundo beata gaudium affert, sterilis parit...

δ'. Δῶρά ποτε προσῆγεν ἐν ναῷ * καὶ ἀπρόσδεκτα ταῦτα γεγόνασι, * τῶν ἱερέων μὴ θελόντων δέξασθαι, * ὥσπερ ἀτέκνου καὶ σπέρμα μὴ ἔχοντος, * καὶ τοῖς υἱοῖς Ἰσραὴλ * Ἰωαχεὶμ ἐβδελύχθη· * ἀλλ' ἦλθεν ἐν καιρῷ, * καὶ προσάγει παρθένον * σὺν δώροις εὐχαριστίας, * ἅμα τῇ Ἄννῃ, * νῦν ὅτι χαίρουσιν *· ἡ στεῖρα...

4. Dona in templo quum olim obtulit, ea minus accepta sunt; respuunt sacerdotes munera recipere viri sterilis, nec semen habentis, et a filiis Israel Joachim spretus est. Verum tempore fausto venit, offertque Virginem cum donis gratoque animo, una cum Anna, et nunc collætantur, sterilis...

ε'. Ἤκουσαν οὖν φυλαὶ τοῦ Ἰσραὴλ, * ὅτι ἔτεκεν Ἄννα τὴν ἄχραντον, * καὶ εὐφροσύνῃ αἱ πᾶσαι συνέχαιρον· * πότον Ἰωαχεὶμ τότε ἐποίησε, * καὶ ηὐφραίνετο λαμπρῶς * ἐπὶ τῷ παραδόξῳ, * καλέσας εἰς εὐχὴν * ἱερεῖς καὶ Λευΐτας, * καὶ τὴν μακαρίαν μέσον * ἤγαγε πάντων, * ὅπως μεγαλυνθῇ· * ἡ στεῖρα...

5. Israelis inter tribus, fando auditum est, ortam esse immaculatam, tribusque omnes simul exultabant. Convivium struxit Joachim, ac splendide lætabatur de incredibili ortu, invitatisque in commune votum sacerdotibus et levitis, beatam statuit mediam omnibus, ut celebraretur, sterilis...

ϛ'. Ῥεῖθρον ἐξέβλυσας ζωῆς ἡμῖν * ἡ τραφῆναι δοθεῖσα εἰς ἅγιον, * καὶ τὴν ἀγγέλου

6. « Torrentem vitæ nobis effudisti, dum « dedicata es, in templo alenda, dum cibo

aut per synesin, quæ tamen sequentia non involvit. — εἰς ὦτα codd. et edd. vett. emendavit nova venet. constanti metro consentanea. — ἐβλάστησαν edd. ipsorum serie rupta. — ἐν παραδ. iid. et codd. modulo læso. Huc usque edd. libri.

3 ὅτι ὑπάρχεις codd. Θεοῦ alicubi quæritur, f. ὅτι ἐτέχθης v. ἅγ. Θεοῦ. Placet ὡς admirationis.

4. καὶ om. ante ἀπρόσδ. crypt. — προσδέξασθαι vat. προσδέχεσθαι crypt. — ὡς ἀτέκν. iid. Ἰωαχεὶμ tribus hic, alias quatuor syllabis, sed in peregrina voce. — προσῆξε cr. — καὶ om. cryp. ubi καὶ ἐν τοῖς vat. — τοῦ Ἰσραὴλ cr. — τὴν παρθ. ambo. — χαίρουσιν νῦν vat.

5. τότε codd. om. — ηὐφραίνοντο cr. — τὴν Μαριὰμ μετὰ χαρᾶς ἐν μέσῳ crypt. perverse.

6. ἀνέβλυσας cr. — εἰς ἅγιον cr. — διὰ ἀγγέλων τῆς τροφῆς ἀπολαβοῦσα cr. — τοῖς ante ἁγίοις om.

τροφὴν ἀπολαύσασα, * ἐν τοῖς ἁγίοις ἁγία ὑπάρχουσα, * ὡς ὡρίσθη, καὶ ναὸς * καὶ δοχεῖον Κυρίου· * παρθένοι σὺν δᾳσὶ * τὴν παρθένον προσῆγον, * τὸν ἥλιον ἐκτυποῦσαι * ὅνπερ προσφέρειν * ἔμελλε τοῖς πιστοῖς· * ἡ στεῖρα...

ζ'. Ὦ μυστικῶν τελουμένων ἐν γῇ! * μετὰ τόκον ἡ Ἄννα ἐβόησε * ταῦτα πρὸς τὸν προγνώστην καὶ Θεὸν ἡμῶν. * Εἰσήκουσάς μου, ὄντως δέσποτα, εὐχῆς * ὥσπερ Ἄννης, τοῦ Ἠλὶ * μεμφομένου τὴν μέθην. * Αὐτὴ τὸν Σαμουὴλ * ὑπισχνεῖται τεχθέντα * κυρίῳ ἱερατεύειν. * Σὺ οὖν ὡς πρώην, * ἐδωρήσω κἀμοί· * ἡ στεῖρα...

η'. Μέγα μοι ὑπάρχει νῦν, ἀγαθὲ, * ὅτι τέτοκα παῖδα τὴν τίκτουσαν * τὸν πρὸ αἰώνων δεσπότην σε καὶ Θεὸν, * τὸν μετὰ τὸν τόκον σώαν φυλάττοντα * τὴν μητέρα ἑαυτοῦ, * ὥσπερ ἔστι, παρθένον· * αὐτὴν ἐν τῷ ναῷ * σοὶ προσφέρω, οἰκτίρμων, * αὐτὴ καὶ πύλη σὴ ἔσται * τοῦ ἐξ ὑψίστου, * ὥσπερ μετὰ χαρᾶς * ἡ στεῖρα...

θ'. Ἆρ' οὔ ποτε καὶ Σάῤῥα ἡ πιστὴ * ἐπεθύμει γεννῆσαι στειρεύουσα, * πρὶν τεχθῆναι Ἰσαὰκ τὸν υἱὸν αὐτῆς; * αὐτὴ μὲν τὸν Κύριον ὑπεδέξατο, * ἀνθρωπίνῃ ὡς μορφῇ, * σὺν δυσὶν ἀρχαγγέλοις, * καὶ λόγος πρὸς αὐτήν· * Κατὰ τοῦτον τὸν καιρὸν, * τῇ Σάῤῥᾳ ὑπάρξει τέκνον, * νῦν δὲ τῷ κόσμῳ * χαίρουσα ἐκβοῶ· * Ἡ στεῖρα..

ι'. Νῦν Μαριὰμ ἐκλάμπει τοῖς καιροῖς, * καὶ ναὸν τὸν ἅγιον οὐκ ἔλιπεν, * ἣν Ζαχα-

« fruebaris angeli, sanctaque in sanctis fiebas, et juxta oracula, Domini templum et « habitaculum; dum virgines Virginem de« ducebant cum lampadibus, solem illum « præsignantes, quem oblatura erat fidelibus, « sterilis mater...

7. « O mysteria in terris consummata! « Anna post partum exclamavit ad præscium « Deumque nostrum. Tu, vere Domine, me « audivisti orantem, uti Annam ab Heli spre« tam, quasi ebriam. Illa promisit natum « Samuelem Domino sacra litaturum. Ut « olim ergo illi, tu mihi quoque dedisti, ut « sterilis...

8. « Magnum hoc mihi, bone, factum « est, ut parerem filiam quæ pariat te æter« num ante sæcula et omnia possidentem « Deum, tu qui post partum servas Domini « matrem, qualis est, virginem. Hanc tibi « in templo offero, o clemens, porta ipsa « erit tua ab alto descendentis, sicut cum « lætitia parit sterilis...

9. « Nonne olim fidelis quoque Sara in « sterilitate sua optavit mater fieri, prius« quam pareret Isaac filium suum? Hæc vero « Deum excepit sub humana forma cum « duobus archangelis. dictumque verbum « est ad illam : In hoc tempore Saræ filius « erit. Nunc vero ad mundum lætabunda « clamo : Sterilis... »

10. Jam nunc Maria, annis labentibus, emicat, nec sancta sanctorum deseruit. Quam

codd. — Κυρίου. Hæc verba videntur plaudentium Virgini. — ὁρισθεῖσα cr. — αἱ παρθένοι προσῆγον (προῆγον cr.) τὴν παρθένον μετὰ λαμπάδων τὸν ἥλιον τυποῦσαι ambo codd. — τῆς δικαιοσύνης ὅνπερ μετὰ χαρᾶς crypt. totus locus glossis turget, et scatet vulneribus : ex eodem fonte duo codd. facile derivantur.

7. τὸν προγνώστην codd. — πρ. ποιητὴν cr. — ὄντως δέσπ. et εὐχῆς om. vat. ὥσπερ τῆς Ἄν. vat. — ὡς Ἄν. cr. — μεμφ. μὲν ἐν μέθῃ vat. — ὑπέσχετο τεχθ. uterque. — οὖν αὐτὸς cr.

8. σε post δεσπ. om. cr. gravi lapsu, quem vat. emendat. — δεσπ. καὶ κύριον iid. — τὸν ante τόκον ambo om. σώαν om. crypt. qui sequentia mirum in modum pervertit : φυλάττοντα τὴν μητέρα ἑαυτοῦ, παρθένος ὡς ἐστὶν ἐν τῷ ναῷ σοι πρ. ο. αὐτὴ καὶ λύπη ἔσται τοῦ ἐξ ὑψ. πεσόντος ἥνπερ μετὰ χαρᾶς, quid plura? — τὴν μήτραν ἑαυτῆς vat. — πρ. σοι id. — ἥσπερ vat.

9. ἆρά ποτε codd. — πρὶν ἢ τεχθ. vat. — ὁ υἱὸς αὐτῆς crypt. — μὲν θεὸν ὑπεδ. codd. — ἀνθρωπότητος μορφῇ crypt. ὡς om. — ὡς ἀνθρ. vatic. — εἰς τὸν καιρὸν vat. — τῇ σ. ἔσται τέκν. duo codd. — Quæ supra et infra f. idem sunt hymnus sacerdotum.

10. ὑπερακμάζουσαν bini codd. — μνηστ. λαμπ.

ρίας θεωρῶν ἀκμάζουσαν, * λαχμῷ μνηστῆρα αὐτῇ καθυπέβαλεν, * Ἰωσὴφ τὸν ἐκ Θεοῦ * μνηστευσάμενον ταύτην· * ἐδόθη γὰρ αὐτῷ * δηλωθεῖσα ἐν. ῥάβδῳ * ἐκ τοῦ Πνεύματος ἁγίου, * δι' ἣν καὶ Ἄννα * χαίρουσα ἐκβοᾷ· * Ἡ στεῖρα...

ια'. Ὅλος σεπτὸς ὁ τόκος σου, σεμνή, * (τοῦ γὰρ κόσμου τὸ καύχημα ἔτεκες, *) καὶ τῶν ἀνθρώπων πρεσβεία εὐπρόσδεκτος· * αὐτὴ γὰρ τεῖχος καὶ στήριγμα καρτερὸν * τῶν ἁπάντων ἐπ' αὐτῇ * πεποιθότων ὑπάρχει, * ἣν πᾶς χριστιανὸς * ἔχει εἰς προστασίαν * καὶ σκέπην, τῆς σωτηρίας * τε καὶ ἐλπίδα, * καίπερ ἐκ σῆς γαστρὸς, * ἡ στεῖρα...

ιβ'. Ὕψιστε Θεὲ, πάντων πλαστουργὸς, * ὁ τῷ λόγῳ ποιήσας τὰ σύμπαντα * καὶ σῇ σοφίᾳ σκευάσας τὸν ἄνθρωπον, * αὐτὸς φιλάνθρωπος μόνος, εἰρήνην σὴν, * ὡς οἰκτίρμων, σῷ λαῷ * παράσχου, ἐκφυλάττων * τοὺς βασιλεῖς πιστοὺς, * ἅμα τε τῷ ποιμένι * ἀτάραχον καὶ τὴν ποίμνην * φρουρῶν σκεπῶν τε, * ἵνα πιστὸς βοᾷ· * Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον * καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Zacharias videns juventa floridissimam, sponsum illi, sortibus jactis, quæsivit, Josephum a Deo destinatum ut acciperet eam. Cui enim data est, virga præmonstrante, Spiritus sancti instinctu; idcirco Anna exultabunda canit: Sterilis.

11. Totus sacratus est, augusta mater, partus tuus; mundo enim gloriam peperisti, quæ hominum est tutamen propitium; ea quippe murus est ac munimentum potens omnium in ea confidentium. Eam vir quisque christianus in præsidium habet spemque salutis, quamvis ab utero tuo exorta, sterilis...

12. Deus altissime, omnium plasmator, qui verbo universa creasti, et sapientia tua hominem aptavisti, tu solus hominum amator, da pro clementia tua pacem populo tuo, custodi pios imperatores, cum pastore gregem in quiete serva et tuere, ut cum fide clamet: Sterilis parit Deiparam, vitæque nostræ nutricem.

καθυπ. vat. — δηλωθείσῃ crypt. — ἐν ῥάβδῳ δηλ. ἐκ πν. vat.

11. σου ἁγνὴ crypt. — ἔτεκε vat. — ἔτεκες καὶ τοῖς ἀγγέλοις φρικτὸν καὶ ὁρώμενον crypt. — στήριγμα κλεινὴ (leg. καὶ λιμὴν) τῶν ἐπ' αὐτῇ πεποιθότων ὑπ. ἣν sic vatic. — στήρ. καὶ λιμὴν τῶν ἐπὶ σοὶ πεπ. ὑπάρχεις ita crypt. — neuter habet εἰς ante προστασίαν. — nec τῆς ante σωτηρίας. — καὶ ἐλπίδα ἥνπερ vat. σωτ. καὶ ἀντίληψιν, ἣν ἐκ τῆς σ. γ. crypt. sic dum hinc et hinc uterque codex dissentit, alteruter tamen ab altero opem amicam recipit.

12. Θεὲ monosyll. videtur ut apud Homerum. — πάντων ποιητὴς crypt. — usque in finem cæci ambo pergunt: αὐτὸς ὡς μόνος φιλάνθρ. τὴν σὴν εἰρήνην σῷ λαῷ ὡς οἰκτ. παρασχοῦ φυλάττων βασιλεῖς πιστοὺς σὺν τῷ ποιμ. ἀτ. τὴν ποίμνην φρ. καὶ σκ. ἵνα πίστει βοᾷ. Sane in hoc restituendo poemate nisi operam lusimus, copiosas messuimus veterum de B. Virgine nascente et adolescente memorias, ideoque priscus ille gravisque melodus seriores quas apocryphas vocant fabulas, vindicat atque suo commendat testimonio: scilicet, sterilitatis opprobrio et orbitatis luctu oppressos parentes oravisse; hunc in monte, illam in horto; unde natam Deiparam, oblatamque in templo, iisdem sacerdotibus qui sterilem patrem sannis prosciderant; structis postmodum convivii mensis, prodivisse puellulam coram levitis recumbentibus; cantica in vulgus perque tribus omnes longe insonuisse; tum sacram Virginem in templum receptam, angelorum excepisse dapes; sanctaque sanctorum ipsam loco sanctiorem incoluisse; chorosque deduxisse virginum faces præ se ferentium, solemque præcedentium justitiæ; formosæ demum puellæ ut sponsus eligeretur, sortem datam fuisse ab ipso Zacharia tum pontifice, prodigiosa demum virga Iosephum divinitus præmonstratum fuisse; quibus adde, in nobili Annæ cantico, ne alios memorem sacrorum verborum commentarios, aperte respici ad priscam illam, Verbi inter duos angelos, sub quercu Mambreina, theophaniam. Ea sunt unius nostri et brevissimi cantici emolumenta. Utinam vero minus perversi codd. obtigerint!

XXVI.

CANTICUM DE SANCTO NICOLAO MYRORUM EPISCOPO.

Πρὸς τό· Ἡ παρθένος.

α΄. Ἐν τοῖς Μύροις, ἅγιε,
ἱερουργὸς ἀνεδείχθης·
τοῦ Χριστοῦ γὰρ σήμερον
τὸ εὐαγγέλιον πληρώσας,
ἔθηκας τὴν ψυχήν σου
ὑπὲρ λαοῦ σου·
ἔσωσας τοὺς ἀθώους
ἐκ τοῦ θανάτου·
διὰ τοῦτο ἡγιάσθης,
ὁ μέγας μύστης
τῆς τοῦ Θεοῦ χάριτος.

β΄. Ἀνυμνήσωμεν νῦν
τὸν ἱεράρχην ᾄσμασι,
τὸν ἐν Μύροις λαοῖς
ποιμένα καὶ διδάσκαλον,
ἵνα ταῖς πρεσβείαις
αὐτοῦ ἐλλαμφθῶμεν·
ἰδοὺ γὰρ ὤφθη
ὅλως καθάρσιος
ἀκήρατος πνεύματι.
Χριστῷ προσφέρει

Juxta modulum : *Virgo hodie.*

1. Apud Myros, o sancte,
sacrorum factus es antistes;
hodie enim, postquam Christi
implevisti evangelium,
posuisti tuam animam
pro populo tuo;
insontes fecisti salvos
ab interitu :
idcirco sanctus effectus es,
o magne minister
divinæ gratiæ.

2. Nostris nunc præconiis
hierarcham celebremus,
Myrensium civium
pastorem et magistrum,
ut suffragiis
ejusdem decoremur :
ecce enim se præbet
penitus repurgatum,
spiritu sincerum;
Christo offert

Tendimus ad dubia, quibus vix non amandatur XXVI canticum de S. Nicolao, in quo melodus uberiore pompa turget, statim ab initio, ac præter Romani morem, linguam, melodiamque lædit, et in immensa erumpit honoris et magnificentiæ vocabula. Ea tamen in toto Oriente sancti thaumaturgi fama increbuit, ut nimius nunquam plausus haberetur, maxime in loco et die festo, in solemni Myrorum panegyri, quin et ipsa in basilica sacro antistiti nuncupata, cui tum, dum hæc cecinit, melodus fortasse aderat. Quid si priscæ Romani purpuræ byzantinus aliquis rapsodus aut librarius spurios assuere pannos non erubuerit? Interim post sexcenta alia ejusdem argumenti, plus minus trita, lætor me in unico taurinensi codice rarum illud et ingens invenisse canticum, metro et melodia geminum cum elegantissimo Romani hymno de Christo nascente, ut fere finem initio similem imponamus. Quo implentur codicis sex folia 21-26, per integra 25 troparia, quæ in versus numero 536 excurrunt, sub longiusculo frontispicio : Μηνὶ δεκεμβρίῳ ζ΄, κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου, ἀκροστιχίς· Αἶνος καὶ ὁ ψαλμὸς τοῦ Ῥωμανοῦ, πρὸς τό· Ἡ παρθένος, ἦχ. γ΄.

1. Χριστοῦ γὰρ ὅσιε edd. ven. et Rom. quæ tantum duas strophas servaverunt. Idem rhythmus est quam in cant. 1, nisi quod v. 4 una syllaba crescat, una vero minuantur v. 5, 7, quin et ultimum, ut est in cod. Θεοῦ τῆς χάριτος, æquum erat ad justum modulum revocare.

2. Conferenti famigeratum hirmum τὴν Ἐδὲμ Βηθλεὲμ, notatu optimum videbitur θυσίαν ἄμωμον ab hirmo non penitus dissonare, uti suo loco di-

θυσίαν ἄμωμον,
τὴν εἰλικρινῆ,
θεῷ εὐπρόσδεκτον·
ὡς ἱερεὺς γὰρ
κεκαθαρμένος
καὶ τῇ ψυχῇ καὶ τῇ σαρκί·
ὅθεν ὑπάρχει ἀληθῶς
Ἐκκλησίας προστάτης,
καὶ ὑπέρμαχος δὲ ταύτης,
ὁ μέγας μύστης
τῆς τοῦ Θεοῦ χάριτος.

hostiam immaculatam,
integerrimam,
Deo acceptam;
pontifex siquidem
impollutus
tam mente quam carne;
unde adest merito
Ecclesiæ patronus
ejusque vindex,
magnus minister
divinæ gratiæ.

γ'. Ἰδοὺ νῦν ἑορτὴ * τοῦ ἱεράρχου σήμερον· * λαμπρυνθῶμεν, λαοί, * φαιδρῶς πανηγυρίζοντες, * καὶ μέλψωμεν ὕμνον * Χριστῷ τῷ σωτῆρι· * Χριστὸς γὰρ τοῦτον * δόξῃ ἐδόξασεν, * βροτοῖς δὲ κατέλιπεν * φωστῆρα μέγαν * πᾶσιν ἐλλάμποντα, * ὡς ἱερουργὸν * τῶν μυστικῶν αὐτοῦ. * Ὡς εὐσεβείας * πλήρης ἐργάτης, * καὶ ἀντιλήπτωρ θαυμαστὸς * τοῖς ὀρφανοῖς ἀνεδείχθης * καὶ ὁ προστάτης χηρῶν * καὶ πρεσβευτὴς ὑπὲρ πάντων, * ὁ μέγας...

3. En igitur nunc in hac die pontifici sacra, o populi, splendida illustremur panegyri, et modulemur hymnum Christo Salvatori. Christus enim eum gloria adornavit, mortalibusque dedit magnum sidus omnibus luculentum, sacrum scilicet mysteriorum suorum opificem. Tu sane pietatis operator copiosus ac mirificus patronus orphanis patuisti; tu præsidium viduarum, et pro omnibus intercessor, o magne...

δ'. Νῦν καιρὸς ἐξειπεῖν * τὰ θεῖα μεγαλεῖά σου, * ἀλλ' οὐδεὶς ἱκανὸς * πρὸς εὐφημίαν λέξαι σε, * ὅτι μυροθήκη * Χριστοῦ ἀνεδείχθης, * μυρίζων πάντας * τούς σοι προστρέχοντας * τῷ μύρῳ τῆς χάριτος * τοῦ παναγίου * Πνεύματος, ὅσιε· * μύρον νοητόν, * μύρον φωτίζον τε, * τοὺς πίστει τούτῳ * μυριζομένους, * καὶ κεχρισμένους ἀληθῶς * τῷ θείῳ μύρῳ τοῦ Χριστοῦ, * ὅθεν Μύροις ἐδείχθης * ἀντιλήπτωρ, ἱεράρχα, * ὁ μέγας...

4. Jam tempus est tua referendi facinora: ast nemo par laudibus est enarrandis; Christi quippe vas unguentorum factus es, suavitate omnes perfundens, ad te currentes sub odore gratiæ sanctissimi Spiritus, o venerande; mysticum es unguentum, unguentum illuminans eos qui fide ungentur, qui vere divina Christi unctione liniti sunt; hinc viris Myrensibus extitisti patronus, o pontifex summe...

ε'. Ὁ ποιμὴν ὁ καλὸς * τοὺς ἄρνας καλεσάμενος, * καὶ ζωγρήσας αὐτοὺς * ἔνδον τῆς μάνδρας κέκληκεν· * ἁρπάξας δὲ τούτους * ἐκ τοῦ ἀλλοτρίου, * στεῤῥᾷ σφενδόνι *

5. Pastor ille bonus agnos convocavit suamque fecit prædam, eos in ovile voce duxit, ereptos ex faucibus alienigenæ, quem communem omnibus hostem valida funda

cetur; γὰρ post ἱερεὺς encliticum evadere; una syllaba crescere in cod. v. 18 τῆς ἐκκλ. una vero in eodem minui antepenultimum, omisso δὲ, denique ultimum ut supra restitui.

3. ἐκλάμποντα cod. uti etiam supra ἐκλαμφθῶμεν, et in tr. 8. — τῶν μυστηρίων, rupto metro, jam ex super. cant. στ. 7, 1 emendandum. — ad strictos melodiæ apices legesis: ἐργάτης πλήρης τοῖς ἀν. ὀρφ... ὁ χηρ. προσ. πρεσβευτής τε ὑ. π. Nihil ego moveo, donec alter codex adsit.

4. λέξαι σοι T. — φωτίζοντα τοὺς π. τοῦτο T.

5. προσκαλεσάμενος T. — ἔνδον pro accentu idem quod ἐντὸς ex can. nostro XII. — καὶ καταβάλλων πάτ. αἶρ. et in fine καὶ τῶν λοιπῶν T,

τοῦτον κατέτρωσεν, * τὸν πᾶσι πολέμιον· * αὐτὸς οὖν πάλιν * νίκην ἀράμενος, * ὥσπερ καὶ Δαυὶδ * κατὰ τοῦ Γολιάθ, * λιθοκτονίσας, * καταβαλών τε * αἵρεσιν πᾶσαν δολερὰν * τοῦ Σαβελλίου τοῦ δεινοῦ, * Νεστορίου, Ἀρείου, * τῶν λοιπῶν αἱρεσιάρχων, * ὁ μέγας...

ϛʹ. Στολισμῷ ἀρετῆς * σαφῶς περιβαλλόμενος, * ὥσπερ ἄλλος Μωσῆς, * ὁ μέγας ἐν τῇ χάριτι, * Νικόλαε πάτερ, * εἰσῆλθες ἐν γνόφῳ, * ἐν τοῖς ἀδύτοις * ὅλως μετάρσιος * διῆλθες, πανένδοξε, * τῇ θείᾳ δόξῃ * καταυγαζόμενος, * καὶ μετ' Ἀαρὼν, * Λευῒ καὶ Σαμουὴλ * τὴν τάξιν τούτων * ἱερατεύων * Χριστῷ τῷ πάντων λυτρωτῇ, * ἱερομύστα εὐκλεές· * διὰ τοῦτο ἀγγέλοις * ἐν τῷ φωτὶ συναυλίζει * ὁ μέγας..

ζʹ. Καιρὸς νῦν ἐξειπεῖν....

ηʹ. Ἄλλος ὥσπερ Μωσῆς * ἐδείχθης, ἱερώτατε, * ἐν τῷ γνόφῳ εἰσδὺς * τῶν ἀρετῶν, θεόπνευστε· * ἐκεῖνος γὰρ νόμον * ἐδέξατο θεῖον· * αὐτὸς δὲ, πάτερ, * ὅλον δεξάμενος * τοῦ νόμου τὸν Κύριον, * χερσὶν ἀθῴοις * τοῦτον ἐμέλισας * πιστοῖς, μεταδοὺς * θεῖα ὀψώνια, * ὅσιε ῥύστα, * Χριστοῦ ὑπάρχων * καὶ ἐναντίον τοῦ Θεοῦ, * ὡς Ἀαρὼν καὶ Σαμουὴλ, * διὰ τοῦτο ἐλλάμπεις, * καὶ φωτίζεις τοὺς ἐν πίστει, * ὁ μέγας...

θʹ. Ἱερῶς γὰρ ἡμῖν * ὁ ἀκριβὴς διδάσκαλος * ἐκδιδάσκει σαφῶς * τὴν γνῶσιν θαυμάτων αὐτοῦ, * τῆς ἀθεωρήτου * σοφίας τὴν χάριν· * αὐτὸς γὰρ πᾶσι * πλοῦτον διένειμεν, * ἐσκόρπισεν, ἔδωκεν, * τοῖς δεομένοις * ὅλως ἐπήρκεσεν, * καθὼς ἐκβοᾷ *

confodit; ipse ergo quoque nactus victoriam, sicut David ab illo Goliath, lapide contrivit ac dejecit omnem hæreticam fraudem, tum Sabellii trucis, tum Nestorii et Arii, ac cæterorum erroris ducum, ipse summus...

6. Amictu virtutis palam circumductus, ut alter Moyses, tu gratia multus, o Nicolae pater, densam in nubem ivisti, sublimi gressu per inaccessa loca transibas, o longe decore, Dei gloria irradiatus, ac proximus Aaroni, Levi et Samueli, secundum eorum ordinem fungens sacerdotio Christi omnium redemptoris, celeberrime sacrorum interpres; idcirco cum angelis in lumine inhabitas, o magne...

7. Jam tempus est etc., *ut in 4°.*

8. Alterius Mosis instar, tibi, sanctissime, contigit ingredi in nubem virtutum, o Deo afflate; ille etenim legem divinam accepit; tu vero, pater, totum accipiens legis auctorem, ipsum innocuis manibus dedisti membratim, fidelibus tradens divina fercula, o venerande liberator, qui stas in conspectu Christi et Dei, ut Aaron et Samuel; ideoque illustras et nobilitas eos qui credunt, o magne...

9. Sacro enim ore nos eximius magister edocet apertam mirabilium ejus scientiam, invisibilis nempe sapientiæ gratiam; hic namque cunctis divitias dividit, dispersit, dedit pauperibus, ad saturam distribuit, ut cantavit Dei ille parens David: Cornu ejus in gloria

quæ ad justam melodiæ normam exornare decuit, quum illud de bono pastore troparium, conferendum cum cant. XVII, 12; XXII, 6, præ cæteris fulgeat.

6. ἐν γνόφῳ, sic sæpe ablat. ubi motus jubet aliam syntaxin. Quidni supra στολισμόν? Etiam expectaveris καὶ κατὰ τοῦ Ἀαρ... τάξιν, ne præposterum notem in nominibus ordinem Σαμουὴλ καὶ Λευὶ, quæ pro modulo mutavi. — ἐν φωτὶ T.

7. Ex integro trop. 4 resumitur, vocula tantum e sede mutata, sub initium, sine ulla quæ notatu digna sit, varietate.

8. τοῦτον μελίσαντα πιστοῖς δὲ cod. gravi quidem ἀτοπήματι in loco insigni, ubi præstat sana et integra restituere verba, de dispertito in mensa eucharistica divino epulo, optima certe et exquisita, ut fere sapiant arcanæ antiquitatis indolem. — ὥσπερ Ἀαρ. T. — mel. καὶ τοὺς φωτίζ.

9. ἡμᾶς per me licet legas ab initio. — τῶν θαυμ. T. tum omisso καὶ id τῆς ἀθεωρ. — δεομένοις. Ps.

θεοπάτωρ Δαυίδ· * Τὸ κέρας τούτου * ἐν δόξῃ ἔσται, * καὶ ὑψωθήσεται φωτὶ, * ὅπως τῆς θείας λαμπρυνθῇ * καταυγάσεως οὗτος * πρεσβεύῃ τῷ Κυρίῳ, * ὁ μέγας...

erit et exaltabitur, in lumine divino illustrandus radio, ac sequester Domino futurus summus...

ι'. Ὁ τὴν γῆν, ἀγαθὲ, * ἐφ' ὕδασι πηξάμενος, * στήριξόν μου τὸν νοῦν * εἰς τὸν φόβον σου, Κύριε, * τοῦ λέγειν καὶ πράττειν * τὰ συμφέροντά μοι, * καὶ καταγγέλλειν * βίον ἐνάρετον * τοῦ Μύροις οἰκήσαντος, * καὶ μύρον θεῖον * ἐκ τῆς ψυχῆς αὐτοῦ, * ὥσπερ ποταμὸν, * ἀναπηγάσαντος, * μυρίζων πάντας * τοὺς δυσωδίᾳ * ἁμαρτημάτων χαλεπῶν * νενοσηκότας τὰς ψυχὰς, * καὶ ἡδύνων τοὺς φθόγγους * καὶ τοὺς τρόπους τῶν βοώντων· * Ὁ μέγας...

10. Tu, bone Deus, qui tellurem super aquas fundasti, firma mentem meam in timore tuo, Domine, ut dicam et agam quæ mihi prosint, et enuntiem vitam præstantem præsulis Myrorum, qui divinum unguentum ex anima sua, uti fluvium, scaturire fecit, odore perfundens omnes qui fetore immanium criminum ægrotarunt animis, et suaviores efficiens sermones et actus clamantium : o magne...

ια'. Ψήφῳ προγνωστικῇ * γεννήθης, ἱερώτατε, * ποσὶν ἔστης εὐθὺς * ὀρθοποδῶν, Νικόλαε, * δεικνύων ἐν τούτῳ * ὅτι συμπατήσεις * τὴν ἐπηρμένην * ὀφρὺν τοῦ δράκοντος, * καὶ στήσεις τὴν ἄμετρον * αὐτοῦ κακίαν, * τοῦ μὴ προβαίνειν νῦν * ἐπὶ τοὺς ἐν σοὶ * πιστῶς προσφεύγοντας * καὶ ἀνυμνοῦντας * τὴν ἱεράν σου * καὶ φωτοφόρον ἑορτὴν, * ἣν ἐμεγάλυνε Χριστὸς, * ὁ καλέσας σε, πάτερ, * ἱερέα καὶ ποιμένα, * ὁ μέγας...

11. Decreto fatidico natus es, sacratissime, statimque pedibus stetisti rectus, o Nicolae, eo ipso significans te conculcaturum esse superbientem draconis ferociam, ejusque immensam nequitiam esse cohibiturum, ne etiam nunc erumpat in eos qui ad te fidenter confugiunt, celebrantque tuam sanctam luculentamque festivitatem, quam magnam effecit Christus qui te vocavit, o Pater sacerdotem et pastorem, o magne...

ιβ'. Ἀμβακοὺμ μὲν τὸ πρὶν * πρὸς προφήτην ἐστέλλετο, * ἐπιφέρων τροφὰς * ἐν τῷ λάκκῳ, ὡς γέγραπται· * αὐτὸς δὲ, θεόφρων, * ἰσόμοιρον δρόμον * διατελέσας, * πόλιν προέφθασας, * ἐν ᾗ οἱ κατάκριτοι * ἀδίκῳ ψήφῳ * ὥσπερ ἐν λάκκῳ νῦν * ἔνδον τῆς φρουρᾶς * δεινῶς κατείχοντο, * καὶ τοῦ θανάτου * αὐτοὺς ἁρπάξας, * ζωὴν προέθηκας αὐτοῖς * ἀντὶ βρωμάτων δαψιλῶν· * διὰ τοῦτο σωθέντες * παρ' ἐλπίδα σε ὑμνοῦμεν, * ὁ μέγας...

12. Olim quidem Habacuc ad prophetam missus est, cibos ferens in lacum, uti scriptum est. Tu vero, theophore, simile emensus iter, urbem petisti, in qua rei, calculo iniquo damnati, in truci carcere tanquam in lacu, tum temporis tenebantur, eisque neci ereptis vitam præstitisti, nedum cibos tantum copiose impertires : ideo incolumes nos ultra spem, te canimus, o magne...

ιγ'. Λυτρωθέντες σφαγῆς * ἀδικωτάτης,

13. Quos ab iniquissima cæde redemisti,

CXI, 9 ὁ θεοπ. T. Ps. LXXXVIII, 25. — τοῦτο T. — f. λαμπρυνθείς. — καταυγάσεως pro dat.

10. ἐφ' ὑδάτων T, solita librarii barbarie. — λέγ. κ. πρ. vel inter absona spirat Romani indoles. — ἐνάρετον, de quo cf. cant. XXII, 5; XXIV, 9. — omisso τοῦ, primum pro otioso οἰκήσαντος arrisit οἰακίσαντος, nisi tonus obsisteret. — f. ἰθύνων τοὺς φθόγγους.

11. προγνοστικῷ T. — f. γεννηθείς. — ἐπὶ πόδας εὐθὺς ἔστης ὀρθοποδῶν, νικ. T, duplici talo claudicans.

12. ἰσόμυρον (sic) T. an novo melodi ludo de unguentis? — ζωῆς προέθ. T. — in fine τὸν μέγαν.

13. f. τοῦ ἀπαλλάττ. — ἐπιλ. ἡμῶν T. — f. ἐνεθέμεθα. supra quod abundat ἡμῶν in cod. excidit

ἔνδοξε, * οἱ τὴν σὴν φοβερὰν * προστασίαν καλέσαντες, * ἐδίδαξαν πάντας * καλεῖν ἐν κινδύνοις * τὸ ὄνομά σου * καὶ ἀπαλλάττεσθαι * συμφορῶν καὶ θλίψεων, * ἐξ ὧν προφθάσας * ῥῦσαι τοὺς δούλους σου, * τοὺς ἐν τῷ ναῷ * τῷ σῷ κραυγάζοντας· * Μὴ ἐπιλάθῃ· * ἐν σοὶ γὰρ πᾶσαν * φροντίδα ψυχικὴν ἡμῶν * καὶ τὴν τοῦ σώματος πιστῶς * ἀνεθέμεθα, πάτερ, * καὶ ὑμνοῦμέν σε ἀπαύστως, * ὁ μέγας...

ιδ'. Μιμητὴς τοῦ Θεοῦ * κατὰ πάντα γενόμενος, * τὴν ψυχήν σου, σοφὲ, * ἔθηκας ὑπὲρ ποίμνης σου, * ἀεὶ κινδυνεύων * ὑπὲρ ταύτης, πάτερ, * διὸ καὶ πάντες * οἱ ποιμαινόμενοι * τῇ ῥάβδῳ τῆς γλώττης σου, * φωνῆς γλυκείας * ἀκούοντες, αὐτὴν * ἀνεγίνωσκον, * καὶ ἠκολούθουν σοι, * τοῦ ἀλλοτρίου * ἀποχωροῦντες, * καὶ πρὸς μονὰς τὰς σὰς πιστῶς * κατασκηνοῦντες ὁμαδὸν, * μεθ' ὧν ἅπαντας ἡμᾶς * ἐπιστηρίξῃς πρεσβείαις, * ὁ μέγας...

ιε'. Ὁ Θεσβίτης ποτὲ * ἤγετο ἐπιδίφριος· * σὺ δὲ, πάτερ, ταῖς σαῖς * ἀρεταῖς ὡς ἐν ἅρματι * ἐπιβὰς, ἀνῆλθες * ἔνδον τῶν ἀδύτων, * μηλωτὴν ἄλλην * ἐγκαταλείψας, σοῦ * τὸ σῶμα τὸ ἄμωμον, * ἁμαρτημάτων * πέλαγος σχίζον τε * καὶ τὰς ἀμοιβὰς * διπλασιάζον τε * τοῖς σοῖς οἰκέταις, * ὡς Ἐλισσαίῳ * ἦλθεν ἡ δύναμις δισσῶς * τοῦ παναγίου Πνεύματος, * οὗ ὑπάρξας δοχεῖον, * ἐδείχθης θαυματοφόρος, * ὁ μέγας...

ιϛ'. Σταυροτύπως Μωσῆς * τὸν Ἀμαλὴκ κατέβαλε· * καὶ σὺ διὰ σταυροῦ * τὸν διάβολον ἔρρηξας· * διὸ καὶ τὸν παῖδα, * ὃν ἔμελλεν ἄφνω * ἀπονεκρῶσαι, * ζῶντα παρέστησας * εὐχαῖς σου, Νικόλαε, * καὶ τῇ ἰδίᾳ * χώρᾳ ἀπέδωκας· * ὅνπερ οἱ λαοὶ * κατανοήσαντες, * πίστει καὶ πόθῳ * προσήρχοντό σοι, * εὐλογηθῆναι παρὰ σοῦ * καθικε-

o præclare, illi formidolosam exorantes tutelam tuam, auctores fuere ut cuncti in periculis invocent nomen tuum, et avertant rerum casus ac tribulos; ex quibus promptus educ servos tuos, qui in hoc tuo templo clamant : « Ne nos obliviscare; tibi enim « omnem commendamus curam animæ et « corporis, o Pater, teque celebramus inde- « sinenter, o magne... »

14. Dei æmulus per omnia factus, animam, o sapiens, tuam pro grege tuo posuisti, pericula semper obiens propter eum, o pater; ideo omnes qui pascebantur sub virga linguæ tuæ, suavi audita voce, eam agnoscebant, teque secuti, se ab alienigena removebant, et in tuas mansiones confidenter turmatim recipiebantur; quibuscum nos omnes confirma suffragiis, o magne..

15. Olim Elias Thesbites in curru vectus ferebatur. Tu vero, pater, in tuas, ut in currum, virtutes ascendens, usque ad inaccessa penetrasti, relicta altera melote, corpore tuo intemerato, quo peccatorum pelagus scinditur, et duplicia dantur servis tuis, sicut Eliseo duplo data sunt munera Spiritus sancti, cujus cum vas fuisti, apparuisti prodigiorum fœcundus, o magne...

16. Crucem effingens, Moyses debellavit Amalecum; tu vero cum cruce diabolum dissecuisti; idcirco puerum illum, quem jam-jam occisurus erat, vivum erexisti tuis precibus, o Nicolae, et suæ restituisti regioni, eumque agnoscentes populi cum fide et amore ad te conveniebant, ut a te benedicerentur enixe exorantes; verum sicut illis propitius

post ψυχικὴν. — Myrorum et templi et urbis vide melodum testem fort. ex oculis meminisse.

14. γλυκείας φωνῆς T. — ἀνεγίν. αὐτὴν T. — ἐπιστηρήσῃ σαῖς T.

15. ἐπιδίφριος ἤγετο T. — ἔνδον cf. tr. 5. — σχίζοντα... διαπλασιάζοντα T. — ἀνεδείχθ. f. ἀνεδείχθης θεοφόρος. — ἐλυσσαίῳ T.

16. f. vert. τὸν ἐρρ. διαб. — παρέσχου T.

τεύοντες θερμῶς, * ἀλλ' ὡς τούτοις παρέσχες * καὶ ἡμῖν τὴν χάριν δίδου, * ὁ μέγας.

fuisti, ita nobis nunc tuam largire gratiam, o magne...

ιζ'. Τὸν σοφὸν Ἰωσὴφ * μιμησάμενος, ἔνδοξε, * ὡς ἐκεῖνος λαοὺς * ἔτρεψας καὶ ἐχόρτασας, * μεῖζον δὲ τοῦ τότε * τὸ νῦν πεπραγμένον· * ἐκεῖνος μὲν γὰρ * σῖτον ἐσκόρπιζεν * πλουσίως τοῖς χρῄζουσι· * σὺ δέ, θεόφρων, * πάτερ Νικόλαε, * τὸν λόγον τοῦ Χριστοῦ * ἐπήγγειλας σοφῶς, * κ' εἰς τὰς καρδίας * τῶν πενομένων * ἐπεχορήγεις, ἐκβοῶν· * Ὅτι οὐ ζήσεται βροτὸς * ἐπὶ μόνῳ τῷ ἄρτῳ· * ὃ πιστῶς σὲ ἀνευφήμουν, * ὁ μέγας...

17. Iosephum sapientem imitatus, o præclare, ut ille, sic tu nutrivisti populos et satiasti. Immo plus quam olim nunc factum est : ille enim frumentum distribuit ubertim indigentibus; tu vero, Deo abundans, o Nicolae pater, sermonem prædicationis Christi in pectora inopum prudenter erogavisti, clamans, non in solo pane hominem vivere. Cum fide ergo tibi plaudebant, o magne.....

ιη'. Ὀπαδὸς ἀψευδῶς * τῶν ἀποστόλων, πάντιμε, * γεγονὼς τὴν αὐτῶν * πολιτείαν ἐζήλωσας, * Νικόλαε πάτερ, * σοφὲ ἱεράρχα· * διὸ καὶ πάντα * πᾶσι γενόμενος, * τοὺς πάντας ἐκέρδησας· * τοὺς μὲν πλουσίους * ἐν αὐστηρότητι * μὴ κακοποιεῖν * ἀεὶ ὠθούμενος· * πτωχοὺς δὲ πάλιν * παιδεύων φέρειν * μετὰ χαρᾶς τοὺς πειρασμούς, * καὶ ἀναμένειν τὸν μισθόν, * ὃν παρέχει ὁ μόνος * ἐλεήμων, σὲ δοξάσας, * ὁ μέγας...

18. Vestigia sine errore secutus apostolorum, o clarissime, vivendi eumdem morem æmulatus es, Nicolae pater, hierarcha prudens; idcirco omnibus omnia factus, omnes lucratus es : divites quidem, ne cum arrogantia male premant, semper exhortatus; pauperes vero contra erudiens, ut cum gaudio ferant molestias, et expectent mercedem quam retribuit solus misericors, a quo glorificaris, o magne...

ιθ'. Ὑπὸ τῆς ὑψηλῆς * ταπεινώσεως, ἅγιε, * τὴν ψυχὴν δεσμευθείς, * ὀργιζόμενος πώποτε * οὐδ' ὅλως ἐφάνης * κατὰ τοῦ πλησίον, * τὸν γὰρ ἑτέρως * δόγμα ἀλλόφυλον * τῇ πίστει συνάπτοντα * ἐξουθενήσας * καὶ ἀπωσάμενος, * ὕστερον αὐτῷ * πραέως ἔφησας· * Δεῦρο, ἑταῖρε, * διαλλαγῶμεν, * ἵνα ὁ ἥλιος ἡμῶν * μὴ ἐπιδύσῃ τῇ ὀργῇ. * Διὰ τοῦτο καὶ φίλος * ἀνεδείχθης τοῦ Κυρίου, * ὁ μέγας....

19. Altissima humilitate dum tuam, o sancte, animam constringis, nunquam exardescere visus es in proximum; nam eum qui alterum dogma a fide alienum comparavit, ad nihilum redigens abigensque, demum ipsi mansuete dicebas : « Agedum, « mi care, reconciliemur, neque sol in ira « nostra occidat. » Ita et Dei amicum te præbuisti, o magne...

κ'. Ῥύπον βίου φυγὼν * τὴν ἁγνείαν ἐνδέδυσο, * καὶ ὡς ψάλλει Δαυὶδ * ὁ μέγας ἐν τῷ Πνεύματι· * ἀθῷος τὰς χεῖρας * ἐνίψω, θεόφρων, * κυκλῶσαι θέλων * θυσιαστήριον * τὸ πᾶσιν σεβάσμιον, * ἐν ᾧ ἀμέμ-

20. Sordes vitæ effugiens, innocentiam induisti, et sicut psallit David magnus in spiritu; innocens lavisti manus, o Deo plene, ut circuires lubens altare omnibus venerandum; in quo dum impollute, o pater, mac-

17. μιμησάμενοι T. — λογον τῆς Χρ. ἐπαγγελίας σ. εἰς τ. κ. T. ἐπὶ ἄρτῳ καὶ ὅθεν πιστῶς T. Haud semel vidimus ὃ pro διό. — μόνῳ, ὅθεν T. Matth. IV, 4.

18. ἀνεζήλωσας T. — πᾶσι I Cor. IX, 22. — ὁ σε δοξ. T.

19. τῶν γὰρ T. — ὀργῇ. Ephes. IV, 26.

20. πάσῃ τῇ γῇ T. — Ἀαρὼν ὡς T. — Iterum cuique vel non monito splendeat altera eucharistici convivii ἔκφρασις luculenta. Cf. ps. XXV, 6.

πτως, * πάτερ, θυόμενος * τὸν ἀμνὸν Θεοῦ, * ἐδείχθης πάσῃ γῇ * Ἀαρὼν ἄλλος, * στολὴν οὐ πλύνων, * ἀλλ' ἀπαλείφων συμφορὰς * τοῦ πιστοτάτου σου λαοῦ· * διὸ σπεῦσον καὶ φθάσον, * σῶσον ἡμᾶς σαῖς πρεσβείαις, * ὁ μέγας...

κα'. Ὡς δογμάτων ὀρθῶν * φύλαξ ὢν ἀκριβέστατος, * τοὺς ἑτέρως φρονεῖν * ἐπιχειροῦντας ἤλασας * ἐκ τῆς τοῦ Κυρίου * αὐλῆς, ἱεράρχα, * καὶ τῇ σφενδόνῃ * τῶν σῶν ἐντεύξεων * αὐτοὺς ἐθανάτωσας· * διὸ καὶ κλέος * ἄνωθεν εἴληφας, * βασιλεῦσι γῆς * ζῶν ἐπιφαίνεσθαι, * καὶ μετὰ τέλος, * ὡς ζῶν προφθάνεις, * καὶ ἀπαλλάττεις πειρασμῶν * τοὺς τὸ σὸν ὄνομα πιστῶς * ἐν κινδύνοις καλοῦντας, * Νικόλαε· σὺ γὰρ πέλεις * ὁ μέγας.

κβ'. Μὴ βραδύνῃς τὴν σὴν * προστασίαν δωρήσασθαι * τοῖς ἐν πίστει θερμῇ * αὐτὴν χρῄζουσι, πάντιμε, * ἀεὶ γάρ σε πάντες * προστάτην καὶ ῥύστην * ἐν πειρασμοῖς τε * καὶ περιστάσεσιν * συνήθως προβάλλομεν, * πεπειραμένοι * τῆς σῆς ταχύτητος * καὶ τῆς συμπαθοῦς * στοργῆς σου, ἅγιε, * πῶς παρ' ἐλπίδα * δι' ὀνειράτων * ἄνδρας ἐρρύσω τῆς φρουρᾶς * θανατωθῆναι μέλλοντας, * ἐπὶ μνήμης δὲ μόνον * τὸ ὄνομά σου κεκτημένους, * ὁ μέγας...

κγ'. Ἀθυμία πολλὴ * νῦν ἡμᾶς διεδέξατο * ἐξ ἀμέτρων κακῶν, * καὶ οὐκ ἔστιν ἀνάπνευσις, * ἀλλὰ σὺ προφθάσας, * Νικόλαε πάτερ, * κεκακωμένους * ἐξ ἀπογνώσεως, * καὶ ᾅδῃ ἐγγίζοντας, * παρασχοῦ ῥῶσιν * τῆς ἐν σοὶ χάριτος, * φάρμακον τιθείς, * θεομακάριστε, * τῆς μετανοίας * τὸ γλυκὺ πόμα, * καὶ ἀναψύχων εὐχερῶς * τῇ τῆς ἐλπίδος ἀσφαλεῖ * προσδοκίᾳ, νῦν ὅπως * σωζόμενοί σε ὑμνῶμεν, * ὁ μέγας.

κδ'. Νενευκότες πρὸς γῆν * καὶ ψυχῇ καὶ

tasti agnum Dei, universæ terræ visus es alter Aaron, stolam non lavans, at expungens calamitates fidelissimæ tuæ gentis : propera ergo, adesto, salva nos tuis precibus, o magne...

21. Cum sanorum dogmatum custos fores vigilantissimus, quoscumque secus sentire molientes pepulisti ex ædibus Domini, o pontifex, et funda precum tuarum morte percussisti; unde supernum illud decus habuisti, ut terrenis imperatoribus, vivus adhuc, conspicuum te dares, utque post obitum, ut vivens, accurreres et a periculis eos redimeres qui cum fide nomen tuum in discriminibus invocant, o Nicolae; tu namque es magnus.

22. Noli differre tuum largiri præsidium deprecantibus fervida cum fiducia, o illustrissime; semper enim te omnes proponimus in periculis et ærumnis patronum et vindicem perpetuum, experti qui fuimus tuæ in nos promptæ et benignæ voluntatis, o sancte; quo modo præter spem, homines per somnia eruisti ab ergastulo, qui morituri erant, nec nisi ex memoria nomen tuum usurparunt, o magne...

23. Desperatio multa nunc cœpit nos ab immensis nequitiis, neque est unde respiremus : tu vero properans, o pater Nicolae, ad nos qui desperationis malo tradimur, et in infernum accedimus, da robur tuæ in nos gratiæ, o per Deum beate, præbens uti pharmacum suave poculum pœnitentiæ, et certa nos spei expectatione dextere refrigerans, ut facti nunc incolumes te canamus, o magne...

24. Inclinati in terram mente simul et

21. σφενδόνῃ cf. tr. 5, ac Nicephorum nostrum in hoc Spicil. t. I, p. 373. — βασιλεῖς τ. γ. — μετὰ τέλους. — ἀπ. πειρασμοῖς. — κινδύνοις καλοῦσι, totidem menda librarii, vix melodo tribuenda.

22. θερμῇ χρήσουσι ταύτην T, rupto metro.

23. ἀνάνευσις T. — f. ῥῶσιν παράσχες, sed cf. tr. 16. — pro acc. γλ. τὸ πόμα. — νῦν ante ὅπως om. T.

24. σοὶ προφθ. T. — ταπεινῷ χέρας T inepte. — τὸ ὄνομα id.

τῷ σώματι, * προσκαλούμεθά σου * τὴν ὀξεῖαν ἀντίληψιν· * θανάτου ῥομφαία * ἡμᾶς γὰρ συνέχει, * καὶ τυραννοῦσιν * ἐχθροὶ ἀσώματοι, * Νικόλαε ὅσιε, * οὓς σὺ προφθάσας * δεῖξον ἀνίσχυρον * γνώμην δολερὰν, * καὶ ὑψηλόφρονα * ταπείνου, κέρας * ὑψῶν ἐν πᾶσι * τῶν εὐφημούντων σου πιστῶς * τὴν παναγίαν ἑορτὴν * ἐξ ἀγάπης καρδίας, * καὶ καλούντων ὄνομά σου, * ὁ μέγας...

corpore, tuam deprecamur citam tutelam; nos enim gladius mortis urget, ac tyrannide premunt hostes invisibiles, o sancte Nicolae; tu eos præveniens, fac sine robore iaceat consilium perfidum, et superbum deprime despicientem; cornu exaltans in omnibus eorum qui cum fide et amore cordis festivitatem tuam celebrant sacratissimam, ac nomen invocant tuum, o magne...

κε΄. Οὐδεὶς ἐν πειρασμοῖς * σέ ποτε προσεκάλεσεν, * καὶ τὴν λύσιν εὐθὺς * οὐκ ἐδέξατο, ἅγιε· * τοὺς μὲν ἐν θαλάσσῃ, * τοὺς δὲ ἐν τῇ γῇ γὰρ * οὐ διαλείπεις, * σώζων ἑκάστοτε, * ὡς ἔχων τὸ δύνασθαι * παρὰ τοῦ μόνου * πάντα ποιήσαντος, * καὶ νῦν τὴν ἰσχὺν * δωρουμένου Θεοῦ * τοῖς αὐτοῦ δούλοις, * ὡς ὁ προφήτης * μεγαλοφώνως ἐκβοᾷ· * Τῶν φοβουμένων τὸν Θεὸν * ἐκπληρώσει τὴν γνώμην, * ὧν καὶ αὐτὸς εἷς ὑπάρχεις, * ὁ μέγας...

25. Nemo te in tentationibus unquam invocavit, quin statim liberari contigerit, o sancte; sive in mari, sive in terra non deseris, continuo salvos faciens, tantum enim vales ab eo qui solus omnia fecit, in Deo qui etiam nunc virtutem suis largitur servis, sicuti magna voce propheta canit: « Timen« tibus Dominum implebitur voluntas; » quorum sane unus es, o magne...

κϛ΄. Ὑλικῶν ἀφορμῶν * οὐκ ἐφίεσαι, στέφανον * ἐκ χειρὸς τοῦ Θεοῦ * κομισάμενος, ἔνδοξε, * τὰ γέρα τῆς νίκης, * Νικόλαε πάτερ, * ἀλλ' ὡς ὑπάρχων * ἀεὶ φιλόστοργος, * τὸν ὕμνον νῦν πρόσδεξαι, * ὃν ἐξ ἀπόρων * χειλέων ἔπλεξα * μύρῳ σῶν εὐχῶν * τὸ τῆς καρδίας μου * δυσῶδες ἅπαν * καταμυρίζων, * καὶ καταρδεύων μου τὸν νοῦν * ὄμβροις τοῦ θείου Πνεύματος * τοῦ δοξάζειν ἀεί σε * εἰς τοὺς αἰῶνας αἰώνων, * ὁ μέγας μύστης * τῆς τοῦ Θεοῦ χάριτος.

26. Mundanas opes non optavisti, qui coronam e manu Dei acquisivisti, nobilissime, trophæa nempe victoriæ, o Nicolae pater; sed pro tua solemni clementia hymnum nunc recipe, quem impeditis texui labiis, fetorem pectoris mei unguento tuarum precum suave olenti perfundens, et irrigans mentem meam imbribus divini Spiritus, ut tuam merear dicere gloriam in sæcula sæculorum, o magne divinæ gratiæ magister.

25. οὐ διαλείποις T. — δεδωρουμένου sic T. — mel. pro tono παρέχοντος. — ἐκπληρώσει τὸ θέλημα T. Ps. CXLIV, 19. — καὶ αὐτοῖς T.

26. ἀφορμῶν οὐ προΐεσαι T, subversa sententia. — μύρον id. male. — εἰς αἰῶνα καὶ ἐπ' αἰῶνας T, dissoluto metro ex ultimo sphalmate et continuo librarii vitio. Sed ὄμβροις τοῦ θείου πνεύματος refer ad illud Romani paschale poemation, tr. 20, quo nihil eximio melodo dignius. Cæterum cum multa alia, tum illud me de poematis sinceritate suspensum tenet, quod in acrostichide pars prior αἶνος καὶ, ad novem strophas referenda, superflua adeo otiatur, ut idem troparium in 4° et 7° loco frigide resumatur cum iisdem verbis, novumque fiat exordium, ac series quædam historica inde secundo alveo decurrat, nec tamen satis continua quin fortasse plura potuerint e loco suo auferri vel moveri. Si quis ergo sive priora, sive nonnulla vel ex posterioribus ambigua ducat et sublestæ fidei, nolim ego lamentis contendere.

XXVII.

DE SANCTO SIMEONE STYLITA.

α΄. Τὰ ἄνω ζητῶν,
τοῖς κάτω συναπτόμενος,
καὶ ἅρμα πυρὸς
τὸν στῦλον ἐργασάμενος,
δι᾽ αὐτοῦ συνόμιλος
τῶν ἀγγέλων γέγονας, ὅσιε,
σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ [ἡμῶν.
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων
β΄. Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον
ποία γλῶσσα ἀνθρώπων
ἐπαρκέσει ποτὲ
πρὸς ἔπαινον ἐξηγήσασθαι;

1. Superna dum quæris,
mixtus adhuc terrenis,
et igneum in currum
columnam instruis,
per eam socius
angelorum factus es, sancte vir,
cum iisdem ad Christum Deum
suffragia indefessa præstans pro omni-
2. Simeonis integerrimam vitam, [bus nobis.
quis hominum fando
poterit unquam
dignis enarrare laudibus?

Nullum fere ex his canticis erit, in quo non aliquid subeat inexpectatum; en iam habemus in hoc XXVII duplicem Romanum, si quid video: unum ab initio classicum et veterem, et post pauca alterum recentiorem et barbarum, qui prioris fortasse genuinum opus expulit, ut sua nobis incondita et larvata metra intruderet. Clamat ipsa res, proditque mendacium, dum superne formosum ac venustum opus statim in monstra abit et in turpia desinit ἀποπήματα. In ipsa acrostichide iam purpuræ pannus male assutus rumpitur. Dum enim, vero ut simile videtur, primus melodus incœperit cum solemni serie: Τοῦ ταπεινοῦ Ῥωμανοῦ, solum superest primum troparium a littera T oriundum, utputa τοῦ Συμεὼν κ. τ. ἑ., cætera misere avulsa evanuere, ut sequentium tropariorum rudis alius filus nectatur: αὕτη ἡ ᾠδὴ τοῦ ἐλαχίστου Ῥωμανοῦ, et quam pingui et horrido tramite tela compacta est! Quæ si ita fuerint, dolendum enimvero est, excidisse grande opus in laudem prodigiosi illius Simeonis stylitarum principis, tam virtute quam columna sublimis, et quod exegit monumentum coæqualis, conterraneus, Romanus. Quid si fur audax vela daturus, præ oculis habuerit hirmum longe nobilem, ipsi coryphæo Petro nuncupatum: τράνωσόν μου? Quibus sus deque versis, sub Romani ementito nomine, barbarus ille nihil melius excogitavit, quam humilem vitam ab Antonio, Simeonis discipulo, scriptam κατὰ πόδα sequi et retractare. Quem nos utcunque sequemur, lutosæ plantæ vestigia terentes, nec nisi quæ ad necessitatem metri syllabici pertinent, caute sollicitantes. Cæterum nobis desunt tres palmares codices, corsinius, mosquensis, taurinensis, nisi quod ex notula mihi perhumane missa disco adhuc superesse quatuor priora troparia in mutilis et evanidis ab initio foliis cod. mosq. Totum trop. post 20 excidit. Unus cætera omnia nobis servavit cryptoferratensis Δ. α. I, f. 7. Sunt versiculi novem supra trecentos, sub illo lemmate: Μηνὸς σεπτεμβρίου α΄, κονδάκιον, ἦχ. β΄, φέρον ἀκροστιχίδα· αὐτὴ ἡ ᾠδὴ τοῦ ἐλαχίστου Ῥωμανοῦ.

1. τὰ ἄνω. Insigne adeo remansit hoc exordium ut quum centies cæteri melodi certatim id usurparent, etiam inscribatur πρὸς τό· τοῦ Συμεών, in festo S. Theodori militis, die 8 februarii, ubi duplex modulus est, prior τὰ ἄνω, posterior τράνωσόν μου. — τοῖς ἄνω inepte cod.

2. Archetypi melodiam, scilicet τράνωσον, ita refingere melodus voluit, ut post brevem v. 7 similem alterum statim adderet, ne duo prolixi versus fere sibi succederent: sed frustra, et saltem in duobus trop. consilio haud inepto cecidit. — ἐξαρκέσει ed. ven. — ἄθρα ed. rom. typis oberrantibus. — καὶ ante μεγάλ. om. ven. ψάλλ. ἀπαύστως, edd. et cod. postulante metro in fine oxytonum, et quam pigebit idem mox recoquere! Nec plura edd, ac nisi fallar, Romani hactenus hæc.

Ὅμως ὑμνήσω, Θεοῦ σοφίᾳ,
τὰ τοῦ ἥρωος ἆθλα καὶ τοὺς ἀγῶνας,
τοῦ ἐν τῇ γῇ [τοῖς,
ὡς φωστῆρος φανέντος τοῖς πᾶσι βρο-
μεγάλως τῇ καρτερίᾳ
τῷ χορῷ τῶν ἀγγέλων· ἐλλάμψαντος,
σὺν τούτοις γὰρ ψάλλων συνεχῶς
ἐγκρατείᾳ ἁγνείαν ἐκτήσατο, [ἡμῶν.
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων

Attamen canam, Dei favente sapientia,
herois facinora et certamina,
qui in terra illuxit
cunctis mortalibus, sideris instar,
et magna luce ob fortitudinem,
angelorum in choro resplendet,
quibuscum sine fine psallens,
abstinentia puritatem adeptus est,
suffragia præstans indefessa pro omni-
[bus nobis.

γ'. Ἄνωθεν ἔχων τὴν θείαν χάριν, * καὶ οὐράνιον δόξαν * τὴν δοθεῖσαν αὐτῷ * ἀπὸ κοιλίας μητρὸς αὐτοῦ, * οὗτος ἀκμάσας τῇ ἡλικίᾳ * ἐκαρτέρει ἀπαύστως, τῇ ἐκκλησίᾳ * πίστει δεκτῇ * ἐπακούσας εὐρύθμως τῶν θείων γραφῶν * ἀμέμπτῳ διδασκαλίᾳ, * ἐκ Θεοῦ ὁ σοφὸς κυβερνώμενος, * ὁδῷ εὐθείᾳ πορεύεται, * καὶ λιμένα γαλήνης κατέλαβεν, * πρεσβεύων...

3. Cœlitus divinam gratiam adeptus ac supernam gloriam ei concessam ex utero matris, hic iuventa florens fortia toleravit, dum in ecclesia, cum fide probata rite exaudiens divinas scripturas iuxta sinceram doctrinam, vir sapiens a Deo gubernatus, per rectam viam graditur, ac tranquillum in portum accessit, suffragia præstans...

δ'. Ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου * ὑπερζέσας, τῇ πίστει * κραταιοῦται ψυχὴν, * καταφρονεῖ τῶν προσκαίρων τε· * βίον ἀκτήμονα γὰρ ποθήσας, * τὸν ἀβέβαιον βίον καταλιμπάνει· * λαθραῖον ἦν * τοῖς γονεῦσι τὸ δρᾶμα τοῦ γόνου αὐτῶν· * πάντη δὲ ἐξερευνῶντες, * οὐχ ἑώρακαν ἔτι τὸν φίλτατον· * πηγὰς δακρύων ἐκφέροντες, * τὸ ἐγκάρδιον πῦρ οὐ κατέσβεσαν * πρεσβεύοντος πόθῳ ὑπὲρ πάντων ἡμῶν.

4. A Spiritu sancto superaccensus, in fide animam confirmat, spernitque caduca; vitam enim pauperem ambiens, fluxum sæculum derelinquit; abscondita fuit etiam parentibus filii sui vitæ ratio; qui ubicumque investigantes, nullibi dilectissimum amplius viderunt; fontes fletuum effundentes, haud extinxerunt intimum ignem deprecantis cum amore pro omnibus nobis.

ε'. Τὸν κοσμικὸν ἀπέδυ χιτῶνα, * ἐναγώνιον ἆθλον * ἐξαντλῶν ὁ σοφὸς, * στολὴν τριχίνην ἐνδύεται, * σάρκα ἐν πόνοις καταδαμάζων, * ἐμπιέσας αὐτὴν σηπτῷ τῷ σχοινίῳ· * ἄδηλον ἦν * τὸ πραχθέν τε μυστήριον τοῖς ἀδελφοῖς· * κρυφίως τοῦτο τελέσας, *

5. Sæculi exuit tunicam sapiens, ut athleticum certamen exerceret; hirsutam induit stolam, laboribus carnem conterens, arcte eam putrefacto constringens fune. Occulta fuit fratribus arcana vivendi consuetudo. Idipsum clam perficiens, asperitates animose

3. χάριν τὴν θείαν melodia suaderet et alia id genus bene multa, quæ quum non senserit melodus hebes, tacitus prætereo. — ἀκμήσας, — τὴν δόξαν δοθ. cod.

4. ὑπερζέσασα πίστει κραταιοῦται ψυχὴ καταφρονούντων προσκαίρων λοιπὸν sic mosquens. Recte legeretur τῶν τε προσκαίρων καταφρονεῖ, tum infra : ἐξερευνῶντες δὲ πάντη. — De ἑώρακαν multa Winer. l. l. 73. — δακρ. ἐκπέμποντες M. πρεσβεύοντος πόθῳ. Cum ἐρύμνια primitus plebs vociferaretur, piaculo ducebant veteres melodi quidquam illis addere vel mutare; recentiores vero, ut noster, qualiscumque sit, liberius canunt.

5. ἐμπλίσας αὐτὴν ἀσέπτῳ σχοινίω, sic multa cod. aut apographi corruptela. Frustra emendaveris ἐμπλήσας, ut tr. 27 legitur. — ἄδηλον ἦν τὸ πραχθέν τε μυστήριον idipsum est quod supra in eod. loco : λατραῖον ἦν τοῖς γον. δρᾶμα, quin et in tr. 8 ἄδηλον οὖν... τὸ δρᾶμα, at præter otiosa recocta, certe Romanum tanta egestas dedecet.

ἀλγηδόνας προθύμως ὑπέφερε, * πιστῶς τῷ πλάστῃ δεόμενος * ἀσκανδάλιστος μεῖναι καὶ ἄμεμπτος, * πρεσβεύων...

ς΄. Ἤσθετο τούτου τις τῶν σὺν τούτῳ, * καὶ κινηθεὶς τῷ φθόνῳ * ὑπὸ τοῦ πονηροῦ, * τῷ ἡγουμένῳ ἐβόησεν· * Ἔγνωκά τινα ἐνταῦθα, πάτερ, * ἀλλοιοῦντα κανόνα τῆς ποίμνης ὅλης· * τάχυνον οὖν, * διασκέδασαι τοῦτον τῆς μάνδρας ἡμῶν, * βαρὺς γάρ ἐστι τοῖς πᾶσιν, * ἀπαράδεκτος ὅλως ὁ ἄσιτος, * πεινῶσιν τροφὴν δωρούμενος, * οὗτος γὰρ κραταιῶς ἐγκρατεύεται, * πρεσβεύων...

ζ΄. Ἦλθεν δρομαίως ἐπὶ τὸν τόπον * καὶ κατεῖδεν τὸν ἄνδρα * καὶ τὴν κοίτην αὐτοῦ * μεστὴν σκωλήκων, ὡς γέγραπται· * μείνας οὖν ἔκθαμβος αἰφνιδίως, * ἐκδυθῆναι τὸν ὅσιον ἐπιτρέπει, * ᾧπερ γυμνῷ * ἀτενίσας, ἐξέστη ἐν φόβῳ δεινῷ, * τὰ ἕλκη βλέπων ἐν τούτῳ, * τὴν φρικώδη πληγὴν καὶ ἀνίατον, * ὀσμὴν δυσώδη ἐκπέμπουσαν· * ἐν ὀδύναις γὰρ ἦν ὀδυνώμενος, * πρεσβεύων...

η΄. Ὡς δὲ τὴν σάρκα τὴν νεκρωθεῖσαν * ἀποτέμνουσι ξίφει * ἐκ σπλαγχνίων αὐτοῦ * σὺν τῷ σχοινίῳ τῷ ἔνδοθεν, * φέρει προθύμως τὰς ἀλγηδόνας, * ὡς ὁ μέγας Ἰὼβ ἐπὶ τῇ κοπρίᾳ· * ἄδηλον οὖν * ἀμφοτέροις ἀπέβη τὸ δρᾶμα φρικτῶς· * ὁ μὲν γὰρ οὐκ ἠβουλήθη, * Συμεὼν δὲ αὐτὸς ἐπεθύμησε· * γυμνὸς παλαιοῦ ὁ ἱερὸς, * τοῦ ἀσάρκου τὴν νίκην ἐνίκησεν, * πρεσβεύων...

θ΄. Δύο εἰκόνων μίαν στορίαν * τοῦ ἀγῶνος ἐκείνων * τῶν τερπνῶν ἀθλητῶν * αὐτοῖς τοῖς ἔργοις κατίδωμεν· * πρώην Ἰὼβ ἐν πληγῇ ὑπάρχων * ὠνειδίσθη ἐν γλώσσῃ τῶν βασιλέων· * νῦν Συμεὼν * ἐδιώχθη ἐν φθόνῳ τῆς ποίμνης αὐτοῦ· * παντὶ γὰρ πέφυκεν

sustinuit, cum fide conditorem deprecatus, ut sine offensa et absque labe maneret, suffragia præstans...

6. Id vero sensit aliquis ex fratribus, ac motus livore a maligno, clamavit hegumeno: « Agnovi, Pater, quemdam hic pervertentem regulam totius gregis; cito ergo expelle talem ex ovili nostro; gravis enim est omnibus, minime tolerandus, cibum qui respuit, dapesque dat pauperibus; fortiter enim abstinet, suffragia præbens...

7. Cursu locum petiit abbas, virumque invisit et stratum eius vermibus scatentem, ut habet historia; manens igitur pavore subito correptus, exui sanctum iubet, nudumque intuens, vehementer horruit, considerans eius ulcera, formidolosam plagam et insanabilem, fœtore graveolentem: doloribus enim cruciabatur, suffragia præbens...

8. Quum autem emortuam carnem ferro secant ex visceribus eius, una cum fune intus inserto, fortiter cruciatus sustinet, ut magnus Iob in stercore. Inauditum ab utroque horrendumque datum spectaculum: iste quidem nolens, Symeon vero anhelans ferebat; vir sanctus vetere exutus homine, angelicam victoriam retulit, suffragia præbens...

9. Unam geminæ imaginis historiam in palæstra et operibus nobilium athletarum intueamur. Olim Iob plaga percussus lingua regum in ludibrium vertitur, nunc Simeonem insequitur gregis sui invidia; cuivis enim homini id more contingit: si ceciderit

6. Melodia accurata requirit κινηθείς τε, sed vix melodus metricam legem curat in syllabis et ultimo accentu; immo nec linguæ parcit, qua fort. exigeretur: διασκέδασαι αὐτὸν ἐκ τῆς μάνδρας. — Post ὅλης statim regeritur ὅλως ὡς ἄσιτος.

7. ὅσιον ἐπιτρέπει inepte cod. pro ἐπιτάσσει, nisi fort. byzantinis idem sit ἐπιτρέπει. Etiam ἐκπέμποντα cod. f. respectu ad τὰ ἕλκη.

8. ἐκ τῶν σπλ. cod. — Suspicor ἄδηλον ἐν ἀμφ. tum τῷ μὲν γὰρ respectu ad Συμεὼν δὲ αὐτὸ, sic cod. — παλαιῶν id. cf. Ephes. IV, 24. Impedita plura sunt, nec liquet an vir sanctus victoriam ab angelo pravo, vel uti alter ipse angelus, retulerit.

9. ἱστορίαν quidem habet cod. sed rupto metro, ut mente saltem legerit μελουργὸς, more græculorum, στορίαν, quod non omisit Cangius, silet vero Sophocles nuperrimus. — πτωχὸς δὲ καὶ πένης, ieiunum glossema. Pergit διώκ. ὑπὸ τῶν μει-

τοῦτο· * ἐκπεσὼν δυνατὸς μυκτηρίζεται, * πτωχὸς δὲ διώκεται ὑπὸ * τῶν μειδώντων τὸν Κύριον, αὐτὸς δὲ * πρεσβεύει ἀπαύστως...

ι΄. Ἦλθεν δακρύων ἐν τῇ ἐρήμῳ * ἄνυδρον ἐπὶ φρέαρ * διωχθεὶς ὁ σοφός· * καὶ ἐν τούτῳ ἐγκατέρχεται, * ἄλγεσι τοῦ σώματος ὠδίνας, * ἀμφοτέροις τοῖς μέλεσι τετρωμένος. * Ἦν δὲ ἐκεῖ * κατοικία θηρῶν ἑρπετῶν τε δεινῶν· * ...., * κατοικεῖν ὁ σεπτὸς κατεδέξατο· * Ἠλίαν ζήλῳ μιμούμενος, * ἀφανὴς καὶ φιλέρημος γέγονεν, * πρεσβεύων...

ια΄. Τότε ἐφάνη μεσονυκτίῳ * ....* ἐτασμῷ φοβερῷ, * ἐν ὀπτασίᾳ ὁ Κύριος * φόβῳ ἀθρόῳ φρικώδει λίαν, * μετὰ πλήθους ἀγγέλων ἀφαντασίως· * τὸν Συμεὼν * ἐκζητῶν ὁ σωτὴρ τῷ ποιμένι βοᾷ· * Ποῦ ἐστιν ὁ ἐκλεκτός μου, * ὃς ἐν κρίσει δεινῇ κατακρίνει σε; * πιστὸς ὑπάρχων καὶ ἄμεμπτος * ἀναλάμψει ὡς φῶς ἐν τῇ δόξῃ μου, * πρεσβεύων...

ιβ΄. Ὄρθρου ἠγέρθη ἀπὸ τοῦ ὕπνου, * ἐναγώνιος σφόδρα, * ἐκβοῶν τοῖς αὐτοῦ * τῆς ὀπτασίας τὴν ὅρασιν· * πάντας οὖν τάχος ἐξαποστέλλει * ἐκζητῆσαι τὸν ὅσιον κατὰ τόπον· * οἱ καὶ σπουδῇ * διελθόντες τὰ ὄρη ἁπάσης τῆς γῆς, * ἐρήμους καὶ ἀοικήτους, * τρέχοντές τε αὐτὸν ἐξηρεύνησαν· * παντὶ τὰ πάντα ζητήσαντες, * ἐν τῷ τόπῳ ἐκείνῳ ἐπέπτησαν, * ἐν ᾧ ἦν πρεσβεύων...

ιγ΄. Ὑπὸ τοῦ πνεύματος ἐπιγνόντες, * εἰς

potens, deridetur; pauper autem vexatur ab his qui subsannant Dominum, interim iste suffragia præstat...

10. Flens recessit in desertum, ad puteum exsiccatum sapiens expulsus; in cisternam descendit, cruciatus corporis ægritudinibus, ac dupliciter membris exulceratus. Ibi autem erat spelunca ferarum et serpentium immanium;........... sedem hanc sibi elegit sacer vir; fervore Eliam æmulatus, nulli conspicuus, studiosusque solitudinis factus est, suffragia præstans...

33. Superna agmina ac cœlestes virtutes hymnum prolixum et perpetuum intonant : mortales vero in specu venerabundi clamant : « Gloria tibi, Christe, qui venisti « ad salvandos terrigenas a maledicto : id- « circo dicamus : Benedictus qui natus es, « Deus noster, gloria tibi. »

quod aliis esset exemplis diligentius inquirendum. — οἱ ante μαγ. om. unicus cod. vall. — λάμποντα φαιδρῶς καὶ id. rupto metro.

31. καὶ τὴν φάτνην id. cod. manifesta et facili corruptela, pro emend. quæ confirmat tr. 52 : ἀστέρος ἀσυνήθους ἐκλάμψει, nec vereor ne plus a melodi indole, quam a codice recedam. — ἐκ τῆς ἁγνῆς cod.

32. τὸν Ἡσαΐου, metro utcumque restituto, sed multa hic incondita verba in cod. Θεὸν ὃν Ἡσαΐας καταυγάζων et cætera participia, sine verbo. An plebeiis æqualibus morem gesserit Romanus, ut eodem tempore Malalas participia pro verbo definito congerit, de quo cf. indicem in ed. Bonnensi, p. 797, nisi malueris legere καταυγάζει, ne eximius μουσουργὸς spurcitie inquinetur. — τὸν Ἀδὰμ cod.

33. σῶσαι χοϊκοὺς cod. læso metro, quis enim dissyllabum audiet χοικούς? Vix puto tamen illud a librario ortum, et aliam expecto medelam.

II. ΠΡΟΣΟΜΟΙΑ, ΑΙ ΑΓΓΕΛΙΚΑΙ.

ῼΔΗΝ ᾌΔΩ Α = Ω.

Hymnum cano ab Alpha ad Omega.

MONITUM.

II. Eosdem fere codices in hac secunda serie, suspenso semper pede, sequor; incertus siquidem, an plura pauciorave ex alienis fontibus in nostros rivulos defluxerint. Quæ enim dicuntur aut στιχηρὰ, aut προσόμοια, sunt breves strophæ, promiscuo plerumque ordine, ab initio aut sub finem officiorum positæ, ut nullibi rite succedentia sibi elementa litterarum invenerim, quanquam dubio procul est Nostrum post procœmium haud inelegans, septem tropariis sub acrostichide ᾠδὴν ᾄδω nexis appensum, sua bis vestigia relegisse, dum hinc et inde quasi eumdem scopum

prospiceret, A—Ω, sub quibus latere Christum, iam cœco perspicuum est. Plurima autem cum editis conferre iuvit; in menæis enim extant die Decembr. XXIV trop. 34, 35, 36, 38, 39, 40; die XX trop. 41 ad 46; die XXI trop. 47 ad 52; die XXII trop. 53 ad 58; die XXIII trop. 59 ad 64; die XXVIII, trop. 37. Quorum plura vel tantum in vett. ven. vel in sola rom. ed.

λδ΄. Ὦ τῶν ὑπὲρ νοῦν * καὶ ἀῤῥήτων μυστηρίων! * τίκτεται Θεὸς * ἐπὶ γῆς δι' εὐσπλαγχνίαν, * τὴν δουλικὴν εἰκόνα * ἑαυτῷ περιθέμενος, * ὅπως τῆς δουλείας ἀφαρπάσῃ * τοῦ ἀλλοτρίου τοὺς βοῶντας * θυμῷ ζέοντι· * Εὐλογημένος εἶ, σωτήρ, * ὁ μόνος φιλάνθρωπος.

λε΄. Δῶμεν τῷ Θεῷ * οἱ πιστοὶ μεγαλωσύνην, * τῷ διὰ πολλὴν * εὐσπλαγχνίαν σαρκωθέντι, * καὶ τῇ αὐτοῦ πτωχείᾳ * καὶ κενώσει πλουτίσαντι * πάντας τοὺς πτωχεύσαντας ἀθλίως, * καὶ δόντι κάλλος τὸ ἀρχαῖον * πιστῶς κράζουσιν· * Εὐλογημένος εἶ, σωτήρ, * ὁ μόνος φιλάνθρωπος.

λς΄. Ἥλιε, Υἱὲ, * πῶς σε κρύψω τοῖς σπαργάνοις; * πῶς σε γαλουχῶ, * πάσης φύσεως τροφέα; * πῶς σε χερσὶ κατέχω, * τὸν κρατοῦντα τὰ σύμπαντα; * πῶς σοι ἀδεῶς ἐνατενίζω, * ᾧ οὐ τολμᾷ ἐνατενίζειν * πολυόμματα, * ἡ ἀπειρόγαμος Χριστὸν * κρατοῦσα ἐφθέγγετο.

λζ΄. Νέον δι' ἡμᾶς, * Ἰησοῦ, ὤφθης παιδίον, * ὁ ἐκ τοῦ Πατρὸς * πρὸ αἰώνων ἀνατείλας, * παλαιωθέντας πάλαι * παραβάσει βουλόμενος * πάντας καινουργῆσαι τοὺς ἀνθρώπους· * διό σοι πάντες εὐχαρίστως * ἀεὶ κράζομεν· * Εὐλογημένος ὁ τεχθεὶς * Θεὸς ἡμῶν, δόξα σοι!

λη΄. Ἄσμασι καινοῖς * ἀλαλάξατε, ποιμένες· * λόγους μαγικοὺς * ἀποῤῥίψατε, οἱ Μάγοι· * σταλάξατε, τὰ ὄρη * καὶ βουνοὶ, ἀγαλλίασιν· * δεῦτε, θυγατέρες βασιλέως, * εἰς τὴν χαρὰν τῆς Θεοτόκου. * Λαοὶ, εἴπωμεν...

34. O animo maiora verbisque ampliora mysteria! Deus editur in terra suam propter misericordiam, servilem formam induens, ut ab inimici servitute eripiat clamantes cum fervido amore : « Benedictus es, salvator, qui « solus homines amas. »

35. Deo tribuamus, fideles, magnificentiam, Deo in immensa sua misericordia incarnato, et sua egestate suaque penuria locupletanti omnes misere egentes, ac restituenti priscum decus fideliter clamantibus : « Benedictus es, salvator, solus amator ho« minum. »

36. « Sol, o fili mi, quomodo recondam te « fasciis? Quomodo te lactabo, qui omnem « alis naturam? Unde manibus te continebo, « omnia amplectentem? Unde te sine metu « intuebor, quem non audent contemplari « oculis pleni angeli? » aiebat Christum tenens viri nescia Virgo.

37. Novus puer propter nos, Iesu, visus es, qui ex Patre ante sæcula ortus es, volens omnes qui prisco lapsu inveteraverunt, homines renovare; ideo tibi omnes gratias referentes, sine fine clamamus : « Benedictus qui « natus es, Deus noster, gloria tibi. »

38. Novis canticis triumphum agite, piscatores; magicas formulas abdicate, Magi; distillate lætitiam, montes et colles. Venite, regis Filiæ, in Virginis lætitiam; populi, dicamus...

34. τῆς τοῦ ἀλλ. **edd. —** πόθῳ ζέοντι **iid. rupto modulo.**

35. οἱ **ante** πιστοὶ **om. edd. — it.** τοὺς **post** πάντ. **sed multiplicant art.** τὸ κάλλ. τὸ ἀρχ. **pessumdato metro, quæ importuna articuli iniectio aut traiectio passim emendatur, semel tantum moneatur lector de levi varietate. —** πτωχ. δολίως **vat. 2.**

36. τὰ πολυόμματα **edd. Notum de angelis appositum, quod Lucianus et vett. ad fabulosum Argum in primis retulere.**

37. νέον παιδίον **ipsum est Romani** ἐφύμνιον **in I. cant. —** ὤφθης **cum vat. 2.** ἰησοῦς ὤφθη **cæt.**

38. λόγους, **cf. tr. 5.**

λθ'. Δεῦρο, Βηθλεὲμ, * ἑτοιμάζου τὰ τοῦ τόκου· * ἴθι, Ἰωσὴφ, * ἀπογράφου σὺν Μαρίᾳ· * σεπτοτάτη ἡ φάτνη, * θεοφόρα τὰ σπάργανα, * ἔνθα ἡ ζωὴ ἐνειληθεῖσα * σειρὰς θανάτου διαῤῥήξει, * ἐπισφίγγουσα * πρὸς ἀφθαρσίαν τοὺς βροτοὺς, * Χριστὸς ὁ Θεὸς ἡμῶν.

μ'. Ὦ μακαριστὴ * τῆς θεόπαιδος κοιλία! * ἥτις νοητῶς * οὐρανοῦ μείζων ἐδείχθης, * ὃν οὐ χωρεῖ γὰρ οὗτος, * σὺ κατέχεις βαστάζουσα. * Ὦ μακαριστοὶ μαστοὶ Παρθένου, * οὕσπερ θηλάσειεν ὁ τρέφων * πνοὴν ἅπασαν * Χριστὸς, ἐν μήτρᾳ σὰρξ παγεὶς * ἀνάνδρου νεάνιδος.

μα'. Ἀνίσχει ἀστὴρ * Ἰακὼβ ἐν τῷ σπηλαίῳ· * δεῦτε καὶ ἡμεῖς * προεόρτια τελοῦντες· * συνδράμωμεν τοῖς Μάγοις, * τοῖς ποιμέσι συνέλθωμεν· * ἴδωμεν Θεὸν ἐν τοῖς σπαργάνοις, * καὶ τὴν Παρθένον γαλουχοῦσαν. * Φρικτὸν θέαμα! * Ὁ βασιλεὺς τοῦ Ἰσραὴλ * Χριστὸς παραγίνεται.

μβ'. Βουνοὶ γλυκασμὸν * σταλαξάτωσαν· ἰδοὺ γὰρ * ἥκει ὁ Θεὸς * ἐκ Θαιμάν· ἔθνη, ἡττᾶσθε· * ἀγάλλεσθε, προφῆται· * πατριάρχαι, σκιρτήσατε· * ἄνθρωποι, χορεύσατε ἐνθέως. * Ὁ ἰσχυρὸς καὶ μέγας ἄρχων, * Χριστὸς τίκτεται, * ὁ βασιλεὺς τῶν οὐρανῶν * ἐν γῇ παραγίνεται.

μγ'. Γῆθεν ἀνυψῶν * τοὺς βροτοὺς ὁ πλάστης ἥκει, * τὴν βασιλικὴν * καινουργῶν αὖθις εἰκόνα. * Συγχάρητε, τὸν ἄνω, * αἱ δυνάμεις, ὑμνήσατε. * Ἔχθρας τὸ μεσότοιχον ἐλύθη, * καθ' ὃ ἀπέκειτο· Θεὸς γὰρ * βροτὸς γίνεται· * ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, * Χριστὸς παραγίνεται.

μδ'. Δεῦτε, οἱ πιστοὶ, * ὑπαντήσωμεν

39. Ades dum, Bethleem, præpara quæ ad partum pertinent; Ioseph, inscribitor cum Maria. Venerandum est præsepium, plenæ Deo fasciæ, ubi vita involuta mortis funes disrumpet, alligans immortalitati mortales, Christus Deus noster.

40. O beatissima Deiparæ viscera, quæ cœlo ampliora fides declarat! quem enim cœlum non ambit, tu eum gestans continuisti. O beatissima Virginis ubera, quæ suget qui omnem nutrit spiritum, Christus caro factus in gremio adolescentulæ viri nesciæ.

41. Oritur Iacobi sidus in spelunca; eamus et nos, profesta celebrantes; curramus cum Magis; pastoribus conveniamus, ut spectemus Deum in fasciis et Virginem lac præbentem. Stupendum spectaculum! Rex Israel, Christus accedit.

42. Colles dulcedinem stillent : ecce enim venit Deus ex Thæman. Gentes, vincimini; lætamini, prophetæ; patriarchæ, exultate; saltate homines, divino impetu; potens et magnus princeps, Christus accedit; rex cœlorum in terram advenit.

43. Ut homines terra erigat in altum, creator venit, regiam novo opere reficiens imaginem. Congaudete, virtutes, Excelso hymnos edite. Iræ intermedius paries dissipatus est, sicuti statutum erat. Deus namque fit homo; rex Israel, Christus advenit.

44. Venite, fideles; occurramus creatori in

39. Μαρ. ἡ φάτνη εὐτρεπίζου καὶ τὰ ἔνδοξα σπαργ. vat. 2, loco 1°. — ἡ σεπτ. ἡ φάτνη vat. 1, 2 altero l. vall. — θαν. διαλύσει vat. 1, διαλύει vat. 2.

40. Θεόπαιδος. Quod veteres de filio Dei dicerent, hoc de matre nostri usurpant : Sophron. *Anacreont.* I, 1. Studites in *Pentecost. rom.* τξγ'. 2; Ioseph. ib. τξβ'. 1; anon. ib. τλε', 1. Quibus adde Ioan. Geometram, in celebri B. V. nomenclat. v. 9. — Pro rhythmo ἐδείχθ. μείζ. — ὁ ἐν μήτρ. edd. ὁ μήτρᾳ vat. 2.

41. Ad hæc in edd. l. l. ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ, αἱ ἀγγελικαί. Consentit vat. 2 fol. 181. — ὁ ἀστὴρ id. et edd. — σπαργ. ἴδωμεν παρθ. iid.

42. ἄνθρωποι, κροτήσατε τὰς χεῖρας vat. 2, 4, ut supra tr. 9. Nota in hoc et superiori tr. ἀνίσχει et βουνοὶ accentu exorbitare. — ὁ βασιλεύων τοῦ παντὸς, ἐν γῇ γὰρ παρθ. vat. 3.

43. τῶν ἄνω edd. 2 codd. — μεσότειχον edd. cf. Eph. II, 14. — ἦλθεν ᾧ ἀπέκ. edd. ἦλθεν ὃ ἀπ. vat. 2, ἦλθεν ὃ ἀπόκειται vat. 3.

44. ἀπαστράψωμεν vat. 2, 4. — τρόμω. cf. tr. 14. — ἴδ. βροτωθέντα vat. 2. — νοὸς recte, ut passim

τῷ κτίστῃ * ἥκοντι εἰς γῆν * ἐκ Παρθένου ἀνατεῖλαι. * Ἁγνείᾳ λαμπρυνθῶμεν, * ἀρεταῖς ἀστραφθείημεν, * τρόμῳ καὶ χαρᾷ ἑτοιμασθῶμεν * Χριστὸν ἰδέσθαι βρεφωθέντα, * νοὸς ὄμμασιν, * ἡμᾶς θεοῦντα τοὺς βροτοὺς * ἄκρᾳ ἀγαθότητι.

με΄. Ἐγγίζει Χριστός· * Βηθλεὲμ, προετοιμάζου, * ἤδη τῶν ἐθνῶν * τὸ σωτήριον αὐγάζει, * εὐτρέπισον τὴν φάτνην, * τοὺς ποιμένας συνάγαγε, * κάλεσον τοὺς Μάγους ἐκ Περσίδος. * Αἱ στρατιαὶ τῶν ἀσωμάτων * νοῶν κράζουσιν· * Ὁ βασιλεὺς τῶν οὐρανῶν, * Χριστὸς παραγίνεται.

μϛ΄. Ζῆλον θεϊκὸν * ἀναλάβετε, ποιμένες, * δόξαν λογικῶς * ἀναπέμψαντες τῷ κτίστῃ * μολόντι γεννηθῆναι * ἐν σπηλαίῳ, καὶ σπάργανα * δέξασθαι, καὶ φάτνῃ προσκλιθῆναι· * νηπίῳ, ὥσπερ τῷ δεσπότῃ, * διὸ κράξωμεν· * Εὐλογημένος ὁ τεχθεὶς, * Θεὸς ἡμῶν, δόξα σοι!

μζ΄. Ἤγγικεν ἰδοὺ * τοῦ τεκεῖν ἡ Θεοτόκος * τὸν Ἐμμανουὴλ, * ὃν Πατὴρ πρὸ ἑωσφόρου * ἐγέννησεν ἀρρήτως· * φοβερὸν τὸ μυστήριον, * ἄφραστον ἀγγέλοις καὶ ἀνθρώποις· * ὅθεν σὺν Μάγοις καὶ ποιμέσι, * λαοὶ, εἴπωμεν· * Εὐλογημένος...

μη΄. Θέλων, Ἰησοῦ, * τὸ ἀνθρώπινον οἰκτεῖραι, * κόρης ἐξ ἁγνῆς * σαρκωθῆναι εὐδοκήσας, * τὴν ἄφατον πτωχείαν * ἐνεδέξω, μακρόθυμε, * καὶ πλουτίσαι καὶ θεῶσαι θέλων * καὶ τῆς πτωχείας ἀπαλλάξαι * πιστοὺς κράζοντας· * Εὐλογημένος...

μθ΄. Ἵνα τῆς φθορᾶς * τὸν ἰὸν ἀποκαθάρῃς, * καὶ τὴν ἀρχικὴν * ἀναπλάσῃς μοι εἰκόνα, * σαρκοῦσαι καὶ θηλάζεις * καὶ σπαργάνοις ὁ νεύματι * πάντα περιάγων ἐνει-

terram venienti, ex Virgine orituro. Innocentia niteamus, virtutibus coruscemus. Cum tremore et gaudio præparemur, ut Christum mentis oculis videamus puerascentem, nosque mortales deos facientem præ sublimi clementia.

45. Appropinquat Christus : Bethleem, præparare; iam salutare gentium albescit, sterne stabulum, pastores congrega, convoca Magos a Perside. Agmina cœlestium spirituum clamant : « Cœlorum rex Christus ad« venit. »

46. Æstu divino impleamini, pastores, mystica gloriæ cantica promentes creatori ad partum properanti in speluncam, ut pannos suscipiat iaceatque in præsepio. Puero ut Domino propterea clamemus : « Benedictus « qui editus es, Deus noster, tibi gloria! »

47. En accessit Virgo ut pareret Emmanuelem, quem Pater ante luciferum ineffabili modo genuit. Tremendum mysterium, inenarrabile angelis et hominibus! Unde cum Magis et pastoribus, populi, dicamus : Benedictus...

48. Cum velles, o Iesu, humani generis misereri, ex intemerata Virgine caro fieri dignatus, pauperiem, quæ verba superat, o magnanime, suscepisti, cupiens et ditare et deificare, et a paupertate amovere fideles clamantes : Benedictus.

49. Ut corruptelæ venenum repurges, et priorem mihi reficias imaginem, sumis carnem et lac sugis, et fasciis tu involveris, qui nutu omnia circumagis. Te cano, por-

in N. T. pro νοῦ vett. de quo cf. Lobeck ad Phryn. p. 453. Ita et mox νοῶν a νοὸς sine contr. — De ἄκρᾳ cf. tr. 81, 88.

45. ὁ Χριστὸς edd. f. ἤγγικε χρ. acc. ergo, nisi obstaret alphabet.

46. μολοῦντι barbare edd. vall.

47. ἀῤῥεύστως vall. — μετὰ μάγους καὶ ποιμένας id. perverse.

48. πλουτῆσαι καὶ θεῶσαι θέλων τοῦ καὶ τῆς sic vall. multiplici ἀμετρίᾳ. — cf. tr. 35.

49. μου εἰκόνα vat. 2, cf. tr. 34, 43. — σαρκοῦσαι pro σαρκόῃ, σαρκοῖ, seriorum est, ut σταυροῦσαι cant. VIII, 10; XVI, 10. — ἐνειλίσσῃ pro solito ἐνειλίττῃ. cf. tr. 74.

λίσση· * τερατουργὲ, ὑμνῶ σε, Λόγε *, βουλῆς ἄγγελε * τῆς πατρικῆς, δι' ἧς ἐγὼ * ἀπαθανατίζομαι.

ν'. Κόλπων πατρικῶν * οὐκ ἐκστὰς, βροτὸς ἐδείχθης, * καὶ παρθενικαῖς * ἐποχούμενος ὠλέναις, * τοὺς Μάγους ἐκ Περσίδος * δι' ἀστέρος ἐκάλεσας, * ἄνακτα Θεόν σε προσκυνοῦντας, * πνεύματι κέλλων ἀσεβοῦντας * ἐθνῶν ἄρχοντας, * οὓς ἀνελεῖς καὶ ποιμανεῖς * λαὸν περιούσιον.

να'. Λύων με δεσμῶν * τῶν πολλῶν μου ἐγκλημάτων, * ἔρχῃ, λυτρωτὰ, * Ἰησοῦ μου, ἐν σπηλαίῳ * σπαργάνοις εἰληθῆναι, * καὶ ἐν φάτνῃ, ὡς νήπιον * ἐπανακλιθῆναι τῶν ἀλόγων, * ἐπὶ τοῦ γένους ἀνακλήσει * βροτῶν, δέσποτα, * ῥυόμενος, παμβασιλεῦ, * ἀλόγων ἐκ πράξεων.

νβ'. Μάντεως χρησμοὶ * Βαλαὰμ ἀποπληροῦνται· * οἱ γὰρ Περσικαῖς * τερατείαις κεχηνότες, * ἀστέρος ἀσυνήθους * τῇ ἐλλάμψει τὸν ἄδυτον * ἥλιον Χριστὸν καταυγασθέντες, * ἐν Βηθλεὲμ σωματωθέντα, * Θεὸν ἄνακτα * καὶ ἐθελούσιον νεκρὸν, * τοῖς δώροις τεκμαίρονται.

νγ'. Νῦν ἐπὶ τῆς γῆς * πεφανέρωται παιδίον, * ὁ ἐκ τοῦ Πατρὸς * γεννηθεὶς πρὸ τῶν αἰώνων· * ἀγάλλου, πᾶσα κτίσις· * οὐρανοὶ εὐφραινέσθωσαν, * βλέποντες τοὺς πρὶν ἀπατηθέντας * πάλιν Θεῷ οἰκειουμένους, * αὐτῷ κράζοντας· * Εὐλογημένος ὁ τεχθεὶς * Θεὸς ἡμῶν, δόξα σοι.

νδ'. Ξύλου πονηρᾷ * νεκρωθέντας παραβάσει * ἦλθες ἐπὶ γῆς * τοῦ ζῶσαι τοὺς ἀνθρώπους, * Χριστὲ, καὶ ἐν τῇ φάτνῃ * ἀνεκλίθης ὡς νήπιος, * δωροφορησάντων σε τῶν Μάγων, * καὶ ὑμνησάντων τῶν ἀγγέλων, * μεθ' ὧν κράζομεν· * Εὐλογημένος...

tentorum ferax, Verbum, paterni consilii angele, per quem ego rursus sum immortalitate consecratus.

50. Patris e sinu non exiens, mortalis visus es, Virgineisque vectus ulnis, Magos a Perside per stellam accersivisti, te regem Deumque adorantes; tuo spiritu profanos movens gentilium duces, quos penitus immutabis, ac reges tanquam populum tibi peculiarem.

51. Me ut solvas e multorum nævorum vinculis, venisti, o redemptor, mi Iesu, in spelunca fasciis involvendus, et ut infans reclinandus in præsepe iumentorum; unde excitetur humanum genus, o Domine, et summe rex, ab insanis actibus eruendum.

52. Vatis Balaam oracula implentur; qui enim persicis portentis inhiabant, fulgente præter morem stella, inaccessum solem Christum in radio speculati, eum in Bethleem carne indutum, Deum simul, regemque et sponte moriturum esse, muneribus contestantur.

53. Nunc in terra ostensus est puer, idem a Patre natus ante sæcula. Lætare, omnis creatura; cœli exultent, videntes olim deceptos iterum Deo consociatos, ipsi clamantes : « Benedictus qui natus es, Deus noster, « gloria tibi. »

54. Ut mortuos ob nefariam ligni violationem homines redivivos faceres, in terram venisti, o Christe, et in præsepe iacuisti, ut infans, ubi munera tibi obtulerunt Magi, et cantica angeli, quibuscum clamamus : Benedictus...

50. βροτὸς ὡράθης vall. vat. 2, et edd. pro ὤφθης veterum vel ἑωράθης, quo ferrea ætas utitur. Illud vero ὡράθης et ὡράθη in tr. 89, tum ὁραθεὶς in tr. 84, dein καθωράθης in tr. 77, 88, nullius linguæ, nullius ætatis sunt. — ἐποχ. ἐπ' ἀγκάλαις vat. 2. — πνεύματι χειλέων absurde edd. et codd.

51. ἐπὶ ἀνακλήσει τοῦ γένους βροτείου vall. — ἐξ ἀλ. πρ. id.

52. καταυγασθέντες vim activam præbet, ut raris constat exemplis Antip. Sidon. (*Anthol.* IX, 58) et Apollod. Rhod. II, 1248. — νεκρόν. Nempe ad Deum, Regem et mortuum thus, aurum et myrrha respiciunt. ἐθελούσιον, omnino Romani.

53. πάλιν τῷ Θεῷ edd.

54. σοι post δωροφ. veterum esset, σε tamen to-

νε. Ὁ τῶν προφητῶν * μεγαλόφωνος κραυγάζει· * Ἐκ παρθενικῆς * μέλλει τίκτεσθαι νηδύος * παιδίον ὁ δεσπότης, * ὑπὲρ λόγον καὶ ἔννοιαν, * ἄγγελος βουλῆς ὢν τῆς μεγάλης, * ζωὴ τῶν ζώντων χρηματίζων, * πρὸς ὃν κράζομεν· * Εὐλογημένος ὁ ἐλθὼν * Θεὸς ἡμῶν, δόξα σοι!

νϛ'. Πάλιν Βηθλεὲμ * τὴν Ἐδὲμ διεξανοίγει· * πάλιν ὁ Ἀδὰμ * ἐν αὐτῇ περιχορεύει. * Ἔρχεται γὰρ ὁ κτίστης * ἐξ αὐτῆς προερχόμενος, * ἄφθαρτον διδοὺς ἀθανασίαν * Χριστὸς, ἡ πάντων ζωαρχία, * ἧς μετέχοντες * οὐκέτι θνήσκομεν, βροτοὶ * ἀθανατιζόμενοι.

νζ'. Ῥάβδος μυστικὴ, * ἀνεβλάστησας, Μαρία, * ἤνθησεν, ἁγνὴ, * ἐκ σοῦ ἄνθος ὁ δεσπότης, * ὁ κτίσας τοὺς αἰῶνας * καὶ κατέχων τὰ σύμπαντα· * δι' οὗ Θεοτόκος ἀνεδείχθης· * εἰς τὴν χαρὰν οὖν συνελθόντες * τὴν σὴν κράζομεν· * Εὐλογημένος..

νη'. Σκίρτησον, Δαυίδ, * ἐξ ὀσφύος σου Χριστὸς γάρ· * χαίροις, Ἰεσσαὶ, * ἐξανθεῖ γὰρ σοῦ ἡ ῥίζα. * Ἐκ σοῦ μηροῦ, Ἰοῦδα, * προελεύσεται Κύριος * κατὰ Βαλαάμ. Ἔδεται ἔθνη, * κατὰ τὸν μέγαν Ἡσαΐαν· * ἰδοὺ τέξεται * παιδίον, τὸν Ἐμμανουὴλ, * Παρθένος ἡ πάνσεπτος.

νθ'. Τὸ προορισθὲν * τῷ Πατρὶ πρὸ τῶν αἰώνων, * καὶ προκηρυχθὲν * τοῖς προφήταις ἐπ' ἐσχάτων, * μυστήριον ἐφάνη, * καὶ Θεὸς ἐνηνθρώπησε, * σάρκα προσλαβὼν ἐκ τῆς Παρθένου· * κτίζεται ἄκτιστος βουλήσει, * ὁ ὢν γίνεται, * ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, * Χριστὸς παραγίνεται.

55. Qui inter prophetas voce grandior est, clamat, nasciturum esse Virginis ab utero puerum, Dominum, modo eloquia sensumque superante, quem angelum magni consilii, vitamque viventium nuncupant, ad quem clamamus : « Benedictus qui venisti, Deus « noster, tibi gloria! »

56. Iterum Bethleem Edenum late aperit; iterum in paradiso Adamus choreas agit. Venit namque creator inde profectus, incorruptam daturus immortalitatem, Christus, vivorum omnium caput, cui dum communicamus, amplius non morimur, mortales renati ad æternitatem.

57. Virga mystica, germinasti, o Maria; effloruit, o intemerata, flos tuus, Dominus, conditor sæculorum, rerum omnium comprehensor, per quem Deipara facta es. In tuam ergo lætitiam coeuntes, recinimus : Benedictus...

58. Exulta, David : tuis enim ex lumbis Christus oritur. Lætare, Iesse : efflorescit enim radix tua. Ex femore tuo, Iuda, exibit Dominus, teste Balaam. Gentes, ait magnus Isaias, comedet; ecce pariet puerum Emmanuelem Virgo ab omnibus honoranda.

59. Quod Patri ante sæcula præfixum est, quod a prophetis prædicatum est in novissimis temporibus, mysterium apparuit, et Deus humanatus est, carnem assumens ex Virgine. Voluntate sua creatur increatus; qui est, fit; Rex Israel, Christus advenit.

lerandum. — καὶ ἀνυμν. edd. fort. cum crasi retinendum.

55. κραυγάζει. Is. VII, 14, IX, 6; Matth. I, 23. — ἄγγελ. βουλῆς, ut tr. 16, 49. — καὶ ζωὴ edd. — χρηματίζων « nomen ferens », quæ dictio multum melodis placet, sed argenteæ græcitatis, fort. a Polybio, inde in cæteros quos adducendi Sophocles otium fecit.

56. Ἐδέμ. Plane ut super. cant. 1, 2. — pro modulo malim ὁ κτίστ. ἔρχεται γὰρ, vel βαδίζει γὰρ ὁ κτ. displicet prorsus cumulari ἔρχεται, προερχόμενος. — ἄφθαρτον φυτὸν ἀθανασίας vat. 1, 2. — οὗ μετέχοντες iid. — De Protoplasto cf. tr. 6, 9, 12, 16, 23, 32.

57. Ῥάβδος. Is. XI sqq. — ἤνθησας vall. serie minus plana.

58. ἐξ ὀσφύος γὰρ vat. 4. — χαίρου vat. 2; γήθη vat. 3, 4. — ἐκ μηροῦ σου vall. vat. 2. — εἴδετε edd. vall. opportuna emendatio oritur tota ex ipso orac. Is. XI, 8. Gen. XLIX, 10, iuxta vat. 1, 2, 4. cf. tr. 10, 14,17, 57,76. — πάνδεμνος vat. 1.

59. ὁ ἄκτιστος vat. 2. Iterum βουλήσει, more per-

ξ'. Ὕμνον αἰνετὸν * ἀνυμνήσατε ἀπαύστως * τῷ ἐν Βηθλεὲμ * φῦναι μέλλοντι δεσπότῃ, * ἀσπόρως γὰρ σαρκοῦται, * ἀληθείᾳ γεγένηται. * Μέλψωμεν, λαοὶ, σὺν τοῖς ἀγγέλοις· * Δόξα Θεῷ τῷ ἐν ὑψίστοις! * Λαοὶ, εἴπωμεν...

ξα'. Φῶς τὸ ἐκ φωτὸς * προϊὸν καὶ ἐκ Παρθένου, * λάμψαν τοῖς ἐν γῇ, * δι' ἀστέρος κατιδόντες, * οἱ ἀστρολόγοι Μάγοι * Περσικὸν ἀπετίθεντο * σκότος καὶ ἀστρῴαν πᾶσαν πλάνην, * καὶ ἐν χαρᾷ τῷ γεννηθέντι * Θεῷ ἔψαλλον· * Εὐλογημένος...

ξβ'. Χάριν λογικὴν * ἀναλάβετε, ποιμένες· * τὸν ἐν Βηθλεὲμ * ἀνυμνήσατε δεσπότην, * ἐκ κόρης γὰρ προῆλθεν * ὁ σωτὴρ ἡμῶν Κύριος· * λέλυται τῆς Εὔας ἡ κατάρα * διὰ τεχθέντος βασιλέως· * διὸ εἴπωμεν· * Εὐλογημένος...

ξγ'· Ψάλλετε σαφῶς, ὅτι σήμερον ὁ κτίστης, * ὁ σὺν τῷ Πατρὶ * συστησάμενος τὰ πάντα, * (αἱ τάξεις τῶν ἀγγέλων * καὶ οἱ Μάγοι ἐκραύγαζον *) σήμερον Χριστὸς ἐκ τῆς Παρθένου * τίκτεται ἡμῶν εἰς σωτῆρα · * Λαοὶ...

ξδ'. Ὤφθης ἐπὶ γῆς, * καὶ βροτοῖς συνανεστράφης, * Καίσαρος θεσμοῖς * σὺν τοῖς δούλοις ἀπεγράφης· * ἐπλάσθης, οὐκ ἐτράπης, * ἀναλλοίωτος ἔμεινας * ὅλος ὢν Θεὸς, κἂν ἐσαρκώθης· * Δόξα τῇ σῇ οἰκονομίᾳ, * τιμὴ, αἴνεσις, * μεγαλοπρέπεια, καὶ νῦν * καὶ εἰς αἰῶνας. Ἀμήν.

60. Hymnum laudis perpetuum canite nascituro in Bethleem Domino, nam sine semine caro fit; vere natus est. Canamus, populi, cum angelis : Gloria in excelsis Deo. Populi, clamemus...

61. Lucem ex luce prodeuntem et ex Virgine, emicantem terrigenis, postquam in stella vidissent Magi, astrorum periti, Persidis umbras deseruere et omnem siderum fallaciam, exultantesque genito Deo psallebant : Benedictus...

62. Verbi gratiam, Pastores, excipite; natum in Bethleem Dominum celebrate; ex Virgine enim prodiit Salvator noster Dominus : Evæ soluta est maledictio ab edito rege. Ideo dicamus : Benedictus...

63. « Psallite ore claro, quoniam hodie « creator qui cum Patre omnia condidit (sic « angelorum agmina et Magi communi aiebant voce), hodie Christus ex Virgine nascitur, ut noster sit salvator. Populi, dicamus... »

64. Visus es in terra, et cum mortalibus conversatus es; Cæsaris legibus cum tuis servis ascriptus es, figmentum factus es, haud mutatus, qui immutabilis permanes totus, qua Deus es, licet carne indutus. Gloria tuæ incarnationi, honor, laus, magnificentia, et nunc et in sæcula. Amen.

petuo Romani, ut tr. 14, 16, 21, 37, 48, 52, 73, 87.

60. ὕμν. αἰν. ἀνυμν. respicit hymnum angelicum, ut in fine trop.

61. φῶς τὸ ἐκ πατρὸς vat. 2. — δι' ἀστέρων id.

62. διὰ τοῦ τεχθ. id. cf. tr. 7.

63. συστησάμενος, respectu ad ὁ κτίστης, intelligo ut Hesychius συστήσασθαι, πήξασθαι, sic ps. CVI, 36 : συστήσαντο πόλεις « urbes condiderunt. »

64. ἐν τοῖς δούλοις vat. 2. — καὶ εἰς τοὺς αἰῶνας edd.

III. ΟΜΟΙΑ ΠΡΟΕΟΡΤΙΑ.

Ω = Α.

Hymnum cano ab Omega ad Alpha.

ξε'. Ὦ τῶν ὑπὲρ νοῦν * καὶ μεγάλων μυστηρίων! * Πῶς ὁ ἀναφὴς * ἐνειλούμενος σπαργάνοις * ἐν φάτνῃ τῶν ἀλόγων * ἀνεκλίθη, ὡς νήπιος, * πάντας ἀλογίας ἀπαλλάττων, * καὶ πρὸς παράδεισον εἰσάγων * αὐτῷ κράζοντας· * Εὐλογημένος...;

ξς'. Ψάλλε, ὁ καινὸς * Ἰσραὴλ, τὸ καινὸν ᾆσμα, * ᾆσον τὴν ᾠδὴν * τὴν οὐράνιον ἐκείνην· * εὐφράνθητι καὶ τέρπου * καὶ ἀγάλλου καὶ χόρευε, * ἄγε δὴ φαιδρῶς τὰς ἑορτάς σου· * ὁ ἐκ Θαιμὰν Θεὸς ἐφάνη, * σαρκὶ μέλλει δὲ * ἐν Ἰορδάνου ταῖς ῥοαῖς * λουθῆναι ὡς ἄνθρωπος.

ξζ'. Χλόην ἐμμανῶς * τῶν νηπίων ἐκθερίζει * ὑπὸ τῶν σοφῶν * ἐμπαιχθεὶς Ἡρώδης Μάγων, * καὶ χεῖρα μιαιφόνον * κατὰ σοῦ αἴρειν ᾤετο· * ἀλλ' ἐπιδημεῖς τοῖς Αἰγυπτίοις, * σκότος βαθύτατον διώκων, * μεθ' ὧν ψάλλομεν· * Εὐλογημένος...

ξη'. Φάθι ἐμφανῶς, * Ἡσαΐα ὦ προφῆτα· * Ἰδοὺ ἐν γαστρὶ * ἕξει ἄνανδρος Παρθένος, * καὶ τέξεται ἀσπόρως * πλαστουργὸν καὶ δεσπόζοντα * πάντων τῶν αἰώνων, ᾧ βοῶμεν * εἰς τὴν χαρὰν τῆς Θεοτόκου, * φαιδρῶς ψάλλοντες· * Εὐλογημένος ὁ τεχθεὶς, * Θεὸς ἡμῶν, δόξα σοι!

ξθ'. Ὕμνησαν Χριστὸν, * ἐκ Παρθένου προελθόντα, * ὄρη καὶ βουνοὶ * καὶ κοιλάδες

65. O quæ mentem superant et quam ingentia mysteria! Quomodo intangibilis fasciis involutus in præsepio iumentorum, reclinatus est, ut puellus, a belluina mente omnes amovens et adducens in paradisum conclamantes: Benedictus..?

66. Canticum psalle novum, nove Israel, cœlestem modulare melodiam, lætare et tripudia et exulta et salta et festive adimple tuas solemnitates: Deus ex Thæman apparuit, qui ipse mox in Iordanis fluentis, ut homo, lavaturus est.

67. Gramen infantium crudeliter messuit Herodes, a sapientibus Magis deceptus, manumque sanguinolentam in te ferre cogitabat. Sed transis ad Ægyptios, noctem ut expellas opacam, cum quibus psallimus: Benedictus...

68. Fare luculento ore, Isaia propheta: Ecce in utero habebit innupta Virgo, et pariet sine semine rerum fabrum ac dominatorem omnium sæculorum, cui ob Deiparæ lætitiam psalmum clamamus splendidum: « Benedictus qui natus es, Emmanuel, glo« ria tibi. »

69. Hymnis extulere Christum, ex Virgine natum, montes et colles et valles et campi.

III. Ex hoc altero βουστροφηδὸν alphabeto edd. libri continent in die decembr. XX trop. 83; die XXI trop. 78, 81, 82; die XXII trop. 71 ad 76; die XXIII trop. 66, 67; die XXIV trop. 85; die XXVIII trop. 69, 70, 73; die XXX trop. 65, 68, 79, 87.

65. νήπιον edd. — πρὸς οὐρανίους ἡμᾶς iid. — πρὸς τὸν π. ε. κραυγάζοντες vat. 2.

66. ψάλλων... ᾄδων edd. — ἀγαλλία καὶ χόρ. vat. 2. Θαιμάν. cf. trop. 42. edd. perperam σαρκὶ ἐφάνη. ὁ Θεὸς ἀπὸ Θαιμ. εἴληφε σαρκὸς.. Ἰορδάνου προχοαῖς vat. 2.

67. χλ. ἐμφανῶς vat. 2. — σκ. τὸ βαθ. edd.

68. φάθι, nisi malueris in obscura script. φάο ionice, extra melodorum consuetudinem. Iam de Isaia dictum in trop. 10, 17, 32, 59, 75. λέγε ἐμφ. edd.

69. πέδια vett. edd. contra rhythm. et usum Græcorum. vat. 2 scribit πεδία pro tono et serie.

καὶ πεδία· * ἀστὴρ δὲ τοῦτον Μάγοις * οὐρανόθεν ὑπέδειξε * κείμενον ὡς βρέφος ἐν σπηλαίῳ, * ἠμφιεσμένον σάρκα δούλου, * πρὸς ὃν κράζομεν· * Εὐλογημένος...

ο΄. Τίς σου ἡ πολλὴ * καὶ ἀνείκαστος πτωχεία, * δι' ἧς ὁ Ἀδὰμ * κατεπλούτησε τὰ θεῖα, * ἐβόα ἡ Παρθένος, * ἐν ἀγκάλαις κατέχουσα * τὸν Ἐμμανουὴλ Θεὸν καὶ κτίστην, * σάρκα αὐτῆς ἀνειληφότα, * πρὸς ὃν κράζομεν· * Εὐλογημένος...

οα΄. Σύμμορφος ἡμῖν * οὐρανίων χορευμάτων * ὁ ἀλαλαγμὸς * τοῖς ἐν γῇ ἀποτελείσθω· * αἱ σάλπιγγες αἱ θεῖαι, * εὐηχέστερον ᾄσατε, * αἱ τῶν προφητῶν· Θεὸς γὰρ ἦλθε. * Ποιμένες, μέλψατε αὐλοῦντες· * λαοί, ᾄσατε· * ὁ βασιλεὺς τοῦ Ἰσραὴλ * Χριστὸς παραγέγονεν.

οβ΄. Ῥάβδῳ σιδηρᾷ * ποιμανθήσῃ, Ἰουδαῖε, * οἷα ἀπειθὴς * καὶ προφήταις ἀντιπίπτων· * Υἱῷ γὰρ γεννηθέντι * ὁ Πατὴρ κλῆρον δίδωσιν * ἔθνη καὶ κατάσχεσιν γῆν πᾶσαν· * σὲ ἀπωθεῖται, μιαιφόνε, * ἀρνῇ γὰρ βοᾶν· * Ὁ βασιλεὺς τοῦ Ἰσραὴλ * Χριστὸς παραγίνεται.

ογ΄. Παιδίον ὁ ὢν * βασιλεὺς ὁ τῶν αἰώνων * τίκτεται ἑκὼν * καὶ υἱὸς ἡμῖν ἐδόθη· * ἀκούσατε, τὰ ἔθνη· * Ἰσραήλ, ἐνωτίσασθε· * γνῶτε καὶ ἡττᾶσθε, μεθ' ἡμῶν γὰρ * ὃς λεπτυνεῖ καὶ ἐκλικμήσει * ἐκ γῆς ἅπασαν * καὶ βασιλείαν καὶ ἀρχὴν * αὐτῷ μὴ ὑπείκουσαν.

οδ΄. Ὁ τερατουργῶν * καὶ τὴν Αἴγυπτον μαστίζων, * ὕων τε λαῷ * τῷ ἀγνώμονι τὸ μάννα, * σαρκοῦται καὶ θηλάζει, * καὶ παιδίον ὁρώμενος, * φεύγει τὸν διώκοντα Ἡρώδην, * ὡς ἐν νεφέλῃ τῇ Παρθένῳ * ἐποχούμενος, * ὡς Ἡσαΐας προορᾷ * ὁ θεοπτικώτατος.

οε΄. Ξένου τοκετοῦ * * ξένα πράγματα

Eum vero Magis stella cœlitus demonstravit, uti puerum in spelunca iacentem ac servili carne vestitum; ad quem clamamus : Benedictus...

70. « Qualis est tua nimia et inexplicabi- « lis egestas, ex qua Adamus divinis donatur « divitiis? » exclamavit Virgo in ulnis gerens Emmanuelem, Deum et creatorem, qui carnem eius assumpsit, ad quem personamus : Benedictus...

71. Faustus cœlestium agminum concentus a nobis æque compleatur in terra; prophetarum tubæ divinæ, suaviore melodia clangite : « Deus enim venit. Hymnificate, « pastores, tibias inflantes. Populi, canite : « Rex Israel, Christus accessit. »

72. In virga ferrea regeris, vir Iudæe, quia incredulus es et prophetis contradicis. Filio enim genito Deus dedit gentes hæreditatem, et possessionem universam terram. Te vero reiicit, homicida, dicere namque recusas : Rex Israel, Christus venit.

73. Puer qui est rex sæculorum sponte sua nascitur, et filius nobis datus est. Audite, gentes; Israel, præbe aures; scitote et vincimini : nobiscum enim est; qui comminuet et conteret omne terræ et regnum et imperium sibi non subiectum.

74. Prodigia qui operatur et Ægyptum castigat, qui ingrato quoque populo manna pluit, caro fit et lac sugit, et pueri sub specie, fugit persequentem Herodem; sicut in nube, sic matre sua vectus, ut prævidit Isaias, Dei testis oculatissimus.

75. Insoliti partus insolita spectacula fiunt.

Cæteri male παιδία. — τούτοις μάγοις vat. 2. — σάρκα δουλικὴν ἠμφ. edd.

70. ἐξ αὐτῆς edd. cf. trop. 35, 48.

71. συμφώνως ἡμ. vat. 2. — μέλψατε, ποιμένες edd. ποιμ. ἀγραυλοῦντες λ. κράξατε vat. 2.

72. ποιμανθήσει edd. cf. Ps. II, 10 sqq. — γῆς vat. 2. — σὲ δὲ edd. tum βοᾶν οὐ πείθῃ γὰρ iterum insulse.

73. παιδίον ὁ προὼν iid. et vat. 2. — λεπτύνει. Is. XLI, 15, 16. — ἐνωτίσθητε edd. cf. Act. II, 14; Gen. IV, 23. cf. tr. 42.

74. ὡς ἐπὶ νεφέλης τ. π. μητρὶ ὀχούμενος edd. valde depravati. cf. Is. XIX, 1.

75. πῶς ὁ παντ. iid. vat. 2. cf. tr. 6.

ὁρᾶται. * Πῶς ὁ τῷ Πατρὶ * ἐν ὑψίστοις συνεδρεύων, * ἐν φάτνῃ τῶν ἀλόγων * γεννηθεὶς ἀνακλίνεται; * πῶς ὁ ἀναφὴς ἐν τοῖς σπαργάνοις; * ὁ πανταχοῦ, ἐν τῷ σπηλαίῳ; * Λαοὶ, κράζωμεν· * Ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, * Χριστὸς παραγέγονεν.

ος'. Νῦν αἱ παλαιαὶ * διαλύονται ἐμφάσεις· * ἔσχεν ἐν γαστρὶ * ἡ Παρθένος γὰρ, καὶ λίθος * ἐξ ὄρους ἀπετμήθη, * καὶ ἡ ῥάβδος ἐβλάστησεν * ἡ τοῦ Ἰεσσαὶ, καὶ δρόσος ἄρτι * τοῦ Γεδεὼν ἐν γῇ ἐῤῥύη. * Λαοὶ, κράζωμεν. * Ὁ βασιλεὺς...

οζ'. Μήτραν ὑποδὺς * ἀνεκφράστως τῆς Παρθένου, * πόλει Βηθλεὲμ * Ἰουδαίας καθωράθης, * διὰ πολλὴν, Χριστέ μου, * εὐσπλαγχνίαν τικτόμενος, * ἄνωθεν κηρύττοντος ἀστέρος, * καὶ ἕλκοντος μακρόθεν Μάγους * πιστῶς κράζοντας· * Εὐλογημένος...

οη'. Λόγος ὁ Πατρὶ * ὁμοούσιος ὑπάρχων, * ἐκ παρθενικῶν * φυραθεὶς ἁγνῶν αἱμάτων, * καὶ πλάττεται καὶ αὔξει, * χρονικῷ διαστήματι, * αὖθίς τε γεννᾶται ἐν σπηλαίῳ· * ἐμπλήξει ἄγγελοι κροτοῦσι, * βροτοὶ μέλπουσιν· * Ὁ βασιλεὺς...

οθ'. Κράζε, ὦ Δαυίδ, * θεοπάτωρ καὶ προφῆτα, * ἄστρον φαεινὸν * προεκλάμψαν ἑωσφόρου. * Καὶ ποῖον ἀνακράζεις; * τὸν ἀσπόρως τικτόμενον * κόρης ἐκ Παρθένου, καὶ βοῶμεν * εἰς τὴν χαρὰν τῆς Θεοτόκου, * λαοὶ, λέγοντες· * Εὐλογημένος...

π'. Ἱστῶμεν ὀρθῶς * ἐν τῷ οἴκῳ τοῦ Κυρίου, * καὶ ἀλαλαγμῷ * ἀνυμνήσωμεν συμφώνως * τὴν τούτου εὐσπλαγχνίαν * καὶ πολλὴν συγκατάβασιν, * ὡς ἐν Βηθλεὲμ τῆς

Quo pacto is qui cum Patre in excelsissimo throno sedet, pecudum in præsepio natus sternitur? quomodo intactilis in his fasciis? quomodo ubique stans, in hoc specu? Populi, clamemus : Rex Israel, Christus venit.

76. Iam nunc prisca solvuntur vaticinia. In utero enim habet Virgo, et lapis de monte excisus est, et virga floruit Iessæa, et nunc in terra ros Gedeonis fluxit. Populi, clamemus : Rex Israel...

77. Virginis uterum penetrans inscrutabili more, in civitate Bethleem Iudææ visus es, ob tuam ingentem clementiam genitus, Christe meus. Cœlitus stella renuntiat, et e longinquo Magos accersit, ad te cum fide clamantes : Benedictus...

78. Verbum quod Patri consubstantiale est, coagulatum ex virgineo sanguine, condensatur et augescit temporis intervallo, iterumque generatur in specu. Præ stupore angeli plaudunt, mortales canunt : Rex Israel...

79. Tolle vocem, o David, Dei progenitor et propheta, ad coruscum sidus, ante luciferum fulgens; qualem autem esse dicis? eum scilicet qui sine semine natus est ex puella Virgine : unde nos populi, ob Deiparæ lætitiam, clamamus : Benedictus...

80. Stemus recti fide in domo Domini, et cum tripudio hymnos una voce misceamus, tantam canentes misericordiam multamque condescendentis clementiam, qua in Be-

76. λίθος ἐξ ὧν εἷς vat. 2 singulari scriptura. — ἡ τοῦ Γεδεὼν edd. Iud. VI, 37; Dan. II, 34.

77. καθωράθης sic vat. 2 cf. tr. 49. — καὶ μακρόθεν ἕλκοντος τοὺς μάγους vat. 2 incondita verborum copia.

78. Pro καὶ πλάττεται placeret πλατύνεται καὶ αὔξει ut coalescat elegans similitudo, ex farina ducta, quæ subacta dilatatur, turgetque et crescit. — ἔκπληξις. ἀλλ' ἄγγελοι κρ. edd. vat. 2.

79. θεοπάτωρ retineo etiam vocativis connexum, quum huius clausulæ verba, maxime in hymnis orphicis et apud nostros melodos, intacta manere soleant. Orpheus ad solem : δεξιὲ μὲν γενέτωρ ἠοῦς εὐώνυμε etc. — προεκλάμψ. cf. ps. CIX, 3 et per otium inquire de activo illo usu verbi κράζειν, ex Hebraismo solemni, de quo silet Sophocles, dum hîc toties ostentatur.

80. στῶμεν εὐλαβῶς vat. 2, rupta acrostichide. sed servata melodia. — πῶς ἐν id. — κατεδείξατο id,

Ἰουδαίας * βρέφος ὀφθῆναι ἐδείξατο * τοῖς κραυγάζουσιν· * Εὐλογημένος...

πα'. Θέσφατα πληρῶν * προφητῶν καὶ τὰς ὁράσεις, * τίκτεται σαρκὶ * καὶ παχύνεται ὁ Λόγος, * καὶ φάτνῃ τῶν ἀλόγων * γεννηθεὶς ἀνακλίνεται. * Τούτου συγκατάβασις ἡ ἄκρα! * τούτου φρικτὴ οἰκονομία, * δι' ἧς ψάλλομεν· * Ὁ βασιλεὺς...

πβ'. Ἡ δημιουργὸς * νῦν προέρχεται σοφία· * αἱ προφητικαὶ * διανίσχουσι νεφέλαι· * ἡ χάρις αἰθριάζει, * ἡ ἀλήθεια ἔλλαμψε, * παύεται αἰνίγματα σκιώδη, * ἡ τῆς Ἐδὲμ ἠνοίγη πύλη. * Ἀδὰμ, χόρευε, * ὁ πλαστουργὸς Θεὸς ἡμῶν * ἑκὼν πεπλαστούργηται.

πγ'. Ζῆλός τε καὶ πῦρ * καταφάγεταί σε, ἄφρον, * πλάνε ἀληθῶς * καὶ τοῦ νόμου συκοφάντα. * Ἰδοὺ γὰρ ἡ Παρθένος, * Ἡσαΐας ὡς ἔφησεν, * ἔσχεν ἐν γαστρὶ, καὶ ἐπὶ φάτνης * ἀνακλινεῖ τὸν βασιλέα· * διὸ ἅπαντες * οἱ ἐξ Ἰούδα τῆς φυλῆς * δυνάσται ἐκλείψουσιν.

πδ'. Ἐν ἀλαλαγμῷ * συνελθόντες, τὸν τεχθέντα * Κύριον ἐν γῇ, * καὶ ὡς βρέφος ὁραθέντα, * καὶ τὴν κακίαν πᾶσαν * τοῦ ἐχθροῦ ἀφανίσαντα, * καὶ ἐπουρανίους τοὺς γηΐνους * δείξαντα, ᾄσωμεν συμφώνως, * αὐτῷ κράζοντες· * Εὐλογημένος...

πε'. Δεῦρο, Ἰσραὴλ * βαρυκάρδιε, ἀπόθου * τὸ ἐν τῇ ψυχῇ * ἐπικείμενόν σοι νέφος· * ἐπίγνωθι τὸν πλάστην * ἐν σπηλαίῳ τικτόμενον· * οὗτος τῶν ἐθνῶν ἡ προσδοκία, * ὃς καθελεῖ τὰς ἑορτάς σου· * βοᾶν γὰρ ἀρνῇ· * Ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, * Χριστὸς παραγίνεται.

πς'. Γεγηθὼς χορὸς * τῶν ἀγγέλων ἐν σπη-

thleem Iudææ puer se manifestum fecit clamantibus ad se : Benedictus es...

81. Prophetarum decreta complens et visiones, in carne gignitur et densatur Verbum, et in gregum præsepio genitus sternitur. Huius quam summa demissio, quam formidolosa dispensatio! cuius gratia psallimus : Rex Israel...

82. Nunc creatoris sapientia progreditur; nunc propheticæ nubes discutiuntur; gratia serenat, illucescit veritas, diffugere tenebricosa ænigmata; Edeni porta aperta est. Adam, exerce choream, Deus plasmator noster lubens efformatus est.

83. Invidia et ignis te comedunt, insane, omnino fallax, et legis cultor calumniose! Ecce enim Virgo, ut cecinit Isaias, in utero concepit, et in præsepio reclinabit regem : ideo omnes ex tribu Iuda principes intercident.

84. Exultabundi dum convenimus, natum Dominum in terra, qui ut puellus visus est, a quo omnis nequitia inimici dissipata est, et cœlestes fiunt viri terreni, hymnis unanimis extollamus, clamantes illi : Benedictus...

85. Adesto huc, Israel, corde gravis; disiice nubem, animæ tuæ incumbentem; agnosce creatorem in spelunca genitum; ipse est expectatio gentium, qui tua festa destruet, dicere quia negas : Rex Israel, Christus advenit.

86. Exultans chorus angelorum, ubi te in

81. θεσπίσματα edd. vat. 2, offensa εὐρυθμίᾳ. — deleto καὶ ante φάτνῃ, facile leg. ἐν φάτνῃ; stet vero dativ. suffragante Apoll. Rhod. III, 117. cf. trop. 65. — τούτου ἡ φρικτὴ vat. 2. — τούτῳ συγκ. ἡ ἄ. τοῦτο ἡ φρ. id.

82. διανίσχουσαι vat. 2.

83. καταφλέγεται vatic. 2. Præstat καταφάγεται edd. ex ps. LXVIII, 10. — f. ἕξει ob cæ[t]era fut

84. βρέφος ὁραθέντες sic vat. 2. — ὑμνήσωμεν συμφ. id.

85. οὗτος καθελεῖ edd. neque ὃς impedit ἀκολουθίαν, dum edd. vix seriem habeant : οὗτος καθελεῖ τὰς ἑ. σ. βοᾶν οὐ πείθῃ recocta ex trop. 72.

86. Ὅτε σε χορὸς τῶν ἀγ. ἐκ σπ. ἔβλεψέ σε vat. 2. — τῷ φανέντι ἐπὶ γῆς id.

λαίῳ * ὅτ' ἔβλεψε σὲ * γεννηθέντα ἐκ Παρθένου, * δοξολογῶν ἐβόα * σὺν ποιμέσι, καὶ ἔλεγεν· * Δόξα ἐν ὑψίστοις τῷ φανέντι * ἐν γῇ εἰρήνην πρυτανεῦσαι * τοῖς κραυγάζουσιν· * Εὐλογημένος...

πζ'. Βουλῇ οὐρανοὺς * κλίνας, Κύριε, κατέβης, * καὶ παρθενικὴν * μήτραν ᾤκησας ἀφράστως, * καὶ βρέφος ἐγνωρίσθης * ἐν σπηλαίῳ τικτόμενος, * καὶ συνανεστράφης τοῖς ἀνθρώποις, * ὁδὸν ἀρίστην προδεικνύων * τοῖς κραυγάζουσιν· * Εὐλογημένος...

πη'. Ἄνω στρατιαὶ * ἀνυμνοῦσιν τῶν ἀγγέλων· * κάτω σαρκωθεὶς * διὰ ἄκραν εὐσπλαγχνίαν * ἐκ τῆς ἁγνῆς Παρθένου, * καθωράθη ὡς νήπιος, * Μάγοις προσιτός τε καὶ ποιμέσιν, * ἀπρόσιτος ὁ φύσει πέλων, * πρὸς ὃν κράζομεν· * Εὐλογημένος...

specu aspexit genitum ex Virgine, hymnis te celebravit cum pastoribus, et aiebat : « Gloria in altissimis manifestanti se in terra, ut « pacem largiatur clamantibus ad se : Bene« dictus...

87. Sponte cœlos inclinans, Domine, descendisti, et virgineum uterum inhabitasti ineffabiliter, et infans agnitus es, in spelunca exortus, et conversatus es cum hominibus, optimam illis viam ostendens, ad te clamantibus : Benedictus.

88. Superna agmina angelorum hunc concinunt; deorsum caro factus per summam clementiam, ex casta Virgine, quasi puellus aspectus est, Magis et pastoribus se dans obvium, ipse qui natura inaccessus est, ad quem clamamus : Benedictus.

87. θέλων οὐρανοὺς cod. rupto pene ultimo acrostichidis annulo, sed neque tono βουλῇ satisfacit. cf. ps. XVII, 10. — ἀρίστην ὁδὸν ὑποδεικνύων id. edd. vat. 2. — τοῖς σοῖς κράζουσιν edd.

88. ἄκραν, ut in trop. 44, 81, quum nondum apud Roman. occurrerit. — ὁ φύσει ἀπρόσιτος τυγχάνων vat. 2.

IV. ΟΜΟΙΑ ΜΕΘΕΟΡΤΙΑ.

πθ'. Ἄγει ἑορτὴν * ἐν χαρᾷ πᾶσα ἡ κτίσις, * καὶ οἱ οὐρανοὶ * σὺν ἡμῖν ἀγαλλιῶνται· * ἐν φάτνῃ γὰρ ὁ κτίστης * ἐκ Παρθένου σαρκούμενος * καὶ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας * βρέφος ὡράθη παραδόξως, * πρὸς ὃν εἴπωμεν· * Εὐλογημένος...

ϟ'. Ὄρθρος νοητὸς * ἐξανέτειλας, Παρθένε, * Ἥλιον Χριστὸν * ἐν ἀγκάλαις σου κρατοῦσα, * δι' οὗ φωταγωγεῖται * λογικὴ φύσις ἅπασα * φέγγει ἐπιγνώσεως τελείας, *

89. Festum agit in gaudio universa creatura, et cœli nobiscum lætantur. In præsepio en conditor ex Virgine carnem induit, et in Bethleem Iudææ puer videtur mirum in modum, ad quem aiamus : Benedictus...

90. Mane uti spirituale orta es, Virgo, quæ solem Christum tuis in ulnis gestas, perquem illuminatur creatura omnis radio sa-

IV. Ut προεόρτια iure dicuntur ea nostri moduli angelica, quæ cani solent a XX ad XXIV decembris diem, sic μεθεόρτια dixeris quæ nunc in dies XXVIII et XXX reservantur. Silent enim αἱ ἀγγελικαὶ, saltem in edd. menæis, ad decembr. dies XXV, XXVI, XXVII, XXIX et XXXI. At non ita in mss. libris, neque eadem in iisdem diebus editi retinent. Immo trop. 96, ubi ad Iordanem respicitur, et alia facile Ianuario reservarentur. Pauca autem quæ in hanc IV et ultimam classem reiicimus, si unum exceperis, ad dies XXVIII et XXX, quin et XXVI et XXIX plerumque pertinent, videlicet trop. 89, 92, 93, 99, 100, 101.

89. An ἄγῃ ἑορτήν? — Utrum vero initium id sit tertii alphabeti, donec plura subeant, vix coniicitur, immo mox alia suspicio erit. — νῦν ὡράθη edd. cf. tr. 40.

90. ὄρθρος id cant. VI, 9, et de Christo sole trop. 96.

τῆς ἀφθαρσίας ἀξιοῦται· * πιστῶς κράζωμεν· * Εὐλογημένος...

ϟα'. Στόμασιν ἁγνοῖς * φλογεροῖς ὃν ἀνυμνοῦσιν * αἱ τῶν οὐρανῶν * ὑπερκόσμιαι δυνάμεις, * τεχθέντα ἐν σπηλαίῳ, * διὰ ἄφατον ἔλεος, * γλώσσαις καὶ ἡμεῖς ὑμνεῖν πηλίναις * καταξιούμεθα· ἀπαύστως * αὐτῷ κράζωμεν· * Εὐλογημένος ὁ ἐλθὼν, * Θεὸς ἡμῶν, δόξα σοι.

ϟβ'. Ὅπου ὁ Χριστὸς * τίκτεται, ἴωμεν πάντες, * ἔχοντες ἐν νῷ * τὸν τῆς πίστεως ἀστέρα· * ἐκεῖ γὰρ βαδιοῦντες * νοητῶς καὶ προφθάνομεν, * ὡς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας * αὐτὸν ὀψόμεθα τεχθέντα, * καὶ προσάξωμεν * δῶρα ἐπάξια αὐτῷ, * τὰ κρείττονα ἀρετῶν.

ϟγ'. Τὸν Ἐμμανουὴλ, * ἐν σπηλαίῳ γεννηθέντα, * ἄνωθεν ἀστὴρ * κατεμήνυσε τοῖς Μάγοις, * δικαιοσύνης ὄντα * ἀπερίγραπτον ἥλιον, * καὶ περιγραφόμενον ἐν φάτνῃ, * σάρκα ὑλικὴν ἠμφιεσμένον. * Πρὸς ὃν κράζομεν· * Εὐλογημένος...

ϟδ'. Ἄφθορον, ἁγνὴν * ἑαυτὴν κατανοοῦσα, * μετὰ τὴν φρικτὴν * καὶ ἀνέφραστον λοχείαν, * ἐβόα ἡ Παρθένος· * Ἀνερμήνευτε Κύριε, * βρέφος σπαργανούμενον κρατῶ σε, * δοξολογῶ μετὰ ποιμένων, * πιστῶς κράζουσα· * Εὐλογημένος...

ϟε'. Πῶς ὁ ἀναφὴς, * συνεχέθης ἐν κοιλίᾳ; * πῶς ὑπάρχων πῦρ, * τὴν νηδὺν οὐ καταφλέγεις; * πῶς τεχθήσῃ παιδίον, * ὁ Πατρὶ συναΐδιος, * σάρκα εἰληφὼς ἐκ τῆς Παρθένου; * ὑμνῶ, αἰνῶ τὰ μεγαλεῖα * τῆς σῆς, Κύριε, * κυοφορίας φοβερᾶς * εἰς κόσμου σωτήριον.

ϟς'. Ἥλιε, Χριστὲ, * ἡ Παρθένος ἀνέ-

pientiæ perfectæ et incorruptibilitate honestatur. Cum fide clamemus : Benedictus.

91. Quem ore puro, flammeo concelebrant, supernæ nempe cœlorum virtutes, natum in spelunca, per ineffabilem misericordiam, eumdem nos lutosis linguis canere permittimur; sine fine ipsi clamemus : « Benedictus, « qui venisti, Deus noster, gloria tibi! »

92. Ubi Christus paritur, eamus omnes, præfulgente in animo fidei stella, huc enim in spiritu gradientes, opportune in Bethleem Iudææ accedimus, ut natum videamus, et offeramus dona ipsi digna, virtutum quæ potissima sunt.

93. Emmanuelem in antro natum stella superna Magos edocuit, solem iustitiæ incircumscriptum, quanquam in præsepio descriptum, carne terrena vestitum : ad quem clamamus : Benedictus...

94. Illibatam se et puram sentiens post stupendum ineffabilemque partum, Virgo exclamavit : « In interpretabilis Domine, te puerum fasciis involutum teneo; te celebro « cum pastoribus, in fide canens : Benedictus...

95. « Quî tu intactilis contentus es in « utero? Quî quum sis ignis, gremium non « comburis? Quî Patri coæternus, puer editus fuisti carnem a Virgine sumens? te « cano, tuæ laudo prodigia tremendæ nati- « vitatis ad orbis salutem.

96. « Sol, o Christe, Virgo voce eructavit,

91. αὐτῷ κραυγάζωμεν vat. 2, qui cum mosquensi solus servavit hoc et præcedens tr.

92. προφθάσωμεν edd. nec displicet « mente properemus, præcurramus ad videndum. » προφθάνοντες vat. 2. — ἀρετῶν τὰ κρείττ. edd. τὰ κράτιστα vat. 2.

93. ἀπερίγραπτον ἥλ. καὶ περιγραφόμενον, quæ omnino ætatem referunt Iconomachorum. — σάρκα. v. abundat, nisi quid elidatur aut coalescat.

94. καὶ δοξολογῶ edd.

95. κατεφλέχθης vat. 4. — σωτηρίαν id contra modulum. Rarum illud trop. legitur in vat. 1, 4 et mosquensi.

96. De Christo sole cf. tr. 36, 52, 86, 92. — πῶς δὲ γαλ. vat. 2.

βόα, * πῶς σε καθορῶ, * καὶ σπαργάνοις ἐνειλίττω * φωταγωγοῦντα πάντων * τὰς ψυχὰς θείᾳ χάριτι; * πῶς σε περιπτύσσομαι ἀγκάλαις; * πῶς γαλουχῶ, ὁμοιωθέντα * τοῖς κραυγάζουσιν· * Εὐλογημένος...

ϞΖ'. Δῶρα ἐκ Θαιμὰν * ὁ προπάτωρ ἀνεβόα προσφέρειν Χριστῷ, * τῷ τεχθέντι ἐκ Παρθένου, * τοὺς Μάγους προμηνύων, * προσκυνεῖν τε τὰ σύμπαντα * τὸν ἐν τῷ σπηλαίῳ γεννηθέντα· * ὃν ἔτεκες, ἁγνὴ Παρθένε, * διὸ εἴπομεν· * Εὐλογημένος...

ϞΗ'. Ὑπὲρ γυναικῶν, * Θεοτόκε, ἀνεδείχθης· * Λόγον γὰρ Θεοῦ * ὑπεδέξω ἐν γαστρί σου, * ὃν ἔτεκες, Παρθένε * ἀπειρόγαμε δέσποινα, * μείνασα παρθένος μετὰ τόκον, * κεχαριτωμένη· ᾧ ἐν πίστει, * λαοί, εἴπωμεν· * Εὐλογημένος...

ϞΘ'. Λέγει Γαβριήλ· * Τί βοᾷς; τί ἀποδύρῃ; * — Βλέπουσα ἐμῶν * τὴν ἀναίρεσιν νηπίων, * ὡς ἁπαλῶν ἀρνίων, * καὶ τὸν πόνον μὴ φέρουσα, * θρήνοις ἑαυτὴν ὅλως συγκόπτω. * Ἀλλ' ὅμως νῦν σὺν τούτῳ μέλπω * τῷ ποιήσαντι· * Εὐλογημένος...

« ut te contemplor, ut fasciis involvo te, « omnium animas divina gratia illustrantem! « Ut te amplector ulnis! Ut lac tibi præbeo, « qui similis factus es clamantibus : Bene- « dictus!.. »

97. Grandi voce psaltes atavus significavit, ut Magi munera ex Thæman afferant Christo ex Virgine nato, ut omnia illum adorent editum in spelunca, quem peperisti, o casta Virgo, ideo clamamus : Benedictus...

98. Super mulieres, o Dei genitrix, præstantior es : Verbum enim suscepisti in utero tuo, quem edidisti, o Virgo, viri nescia domina, virgo manens post partum, o gratiæ plenissima. In fide, populi, dicamus : Benedictus...

99. « Gabriel me alloquitur : Ut quid cla- « mas? Quid lamentaris? — Dum intueor cæ- « dem meorum infantium, uti tenellorum « agnorum, nec dolorem sustineo, meosque « eiulatus intercipio. At nihilominus illum « cano qui fecit eos : Benedictus... »

97. Θαιμάν. Respicere vid. ps. LXXI, 10, ubi tamen Reges Tharsis appellantur. — art. ὁ ante προπάτωρ et τῷ ante σπηλαίῳ om. vat. 3 qui solus retinuit trop. quatuor ultima. — ὃν ἔτεκες, παρθένε, ἀπειράνδρως id. extra mensuram.

98. ὑπὲρ omnino in cod. evanuit. — ᾧ ἐν πίστ. id.

99. En flebile Rachelis in Rama carmen, forte immani cæde, ut tenelli pueri, truncatum. Cæterum cum læta poemata sint αἱ ἀγγελικαὶ, ideo tacent in die dec. XXIX, sanctis pueris dicata. — cod. habet λέγε γαβρ. — ὡς ἁπαλοὶ id. — Multa supersunt de hoc genere canticorum, quæ ad S. Iosephum Hymnographum remittimus.

ANASTASIUS.

CANTICUM IN MORTUORUM EXEQUIIS.

α'. Ὁ τῆς ζωῆς τῶν ἀνθρώπων
καὶ τοῦ θανάτου ἐξουσιαζων,
μεθιστάνων δὲ πάντας
σῷ προστάγματι,
ὅτε θέλεις ἐλεῆσαι,
καὶ τὸν μεταστάντα ἀνάπαυσον,
ὡς μόνος Θεὸς οἰκτίρμων.

β. Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος,
ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον·
οἱ βροτοὶ δὲ ἐκ γῆς διεπλάσθημεν,
καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα,
καθὼς ἐκέλευσας ὁ πλάσας με,
καὶ εἰπών μοι· Γῆ εἶ, καὶ εἰς γῆν πορεύσῃ·
ὅπου πάντες βροτοὶ πορευσόμεθα,
ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν,
τὸ ἀλληλούϊα.

1. Qui vitæ hominum
mortisque dominator es,
qui cunctos migrare facis
tuo imperio,
quando mavis misereri,
mortuum quoque fac requiescere,
solus utpote Deus misericors.

2. Tu solus immortalis es,
qui fecisti et fixisti hominem :
nos vero mortales humo compacti sumus,
et in terram illam ibimus,
prout jussisti qui formasti me,
et dixisti mihi : « Terra es, et in terram reverteris, »
quo mortales omnes migrabimus,
funereum in planctum promentes
canticum illud : Laudate Dominum!

Jam ad Anastasium semel et iterum provocavimus, (p. 44, 92, 106), vix non existimantes eum esse Romano vetustiorem; utpote hirmi illius conditorem αὐτὸς μόνος, qui quum funereis canticibus solemnis sit, primaque omnium sit exequiarum celebritas, id ipsum facile me movet ut credam, hunc melodum esse inter antiquissimos. Romano certe, uti Theodoro Studitæ et aliis, præluxit illud quasi priscæ et exquisitæ melodiæ exemplar, quod certatim novis ornare verbis æmulati sunt. Sed neque ullus æmulorum omisit, quod peculiare huic esse modulo videtur, præter στίχων grandiorum insolentiam, mæstos animi sensus rauco τῶν ο et ω sono reddere. Aliud, in tantæ antiquitatis poemate, admirationi multæ erit, tot scilicet in eo resonare ὁμοιοτέλευτα, præter insitam doctis viris opinionem, similes modulos tantum esse recentium Græculorum. A duobus vero sæculis, ut alias dixi (*Juris eccl. gr. hist. et monum.* t. II, p. 286), hoc funereum opus inseruit Goar in suum *Euchol.* p. 431, 553, 561 ad 575 ed. Paris. Tum etiam jure meo inquiebam disjecta nimium ibi esse membra melodi, plura misere truncari, dissipari acrostichidem, quin Anastasii non superesse nomen nec vestigium, neque minimam sive metri, sive toni suspicionem unquam subiisse Goaro aut ejus lectoribus. Neque ipse ego satis melodiæ consului ubi primum et raptim inter Anastasiana mea id tetigi. Agedum, prima esto editio editorum a duobus sæculis, juxta duos palmares meos codices corsinium f. 157-159 et taurinensem f. 152, 153. Goarus vero referat suos optimos codd. plerosque barberinos et cryptoferratenses. Sunt trop. XXIX, versibus 253 conflata, sub isto corsinii titulo : Κοντάκιον εἰς κοίμησιν, ἦχος πλδ', φέρον ἀκροστιχίδα· Ἀναστασίου τοῦ ταπεινοῦ αἶνος.

1. fere evanuit in T præmissum breve trop. μετὰ τῶν ἁγίων, quod integrum habet Goar p. 531, etc. tritumque negligere licet.

2. ὑπάρχει C. — οὖν ἐκ γῆς Goar. — πορευόμεθα bis C. — ἐκέλευσεν C. — ἐπελεύσῃ Goar, et ἀπελεύσῃ ut LXX, Gen. III, 19. — τὸ ἀλλ. const. codd. sed edd. art. semper om. Nota v. 7 apud Romanum p. 44 esse una syllaba ampliorem, et cf. infra Theodor. Studit. XVII.

γʹ. Νουνεχῶς, δυσωπῶ, ἐπακούσατε· * μετὰ μόνων γὰρ ταῦτα καὶ φθέγγομαι, * δι' ὑμᾶς γὰρ τὸν θρῆνον ἐποίησα, * ἴσως ἔχειν τινὰ προσωφέλειαν· * ἀλλ' ὅτε ταῦτα μελῳδήσετε, * μνημονεύσατέ μου, τοῦ ποτε γνωρίμου· * πολλάκις γὰρ ὁμοῦ συνεισήλθομεν, * καὶ ἐν οἴκῳ Θεοῦ ἐψάλλομεν ᾠδὴν, * τὸ ἀλληλούϊα.

δʹ. Ἀναστάντες οὖν, πάντες συνάχθητε, * καὶ καθίσαντες, λόγον ἀκούσατε· * Φοβερὸν, ἀδελφοί, τὸ κριτήριον, * ὅπου μέλλομεν πάντες παρίστασθαι· * οὐκ ἔνι δοῦλος οὔτ' ἐλεύθερος, * οὔτε ἔνι ἐκεῖ μικρὸς, οὔτε μέγας· * ἀλλ' οἱ πάντες γυμνοὶ παριστάμεθα· * διὰ τοῦτο καλὸν τὸ βοᾶν τῷ Χριστῷ * τὸ ἀλληλούϊα.

εʹ. Συγκαιόμεθα πάντες τοῖς δάκρυσιν, * ὅταν ἴδωμεν λείψανον κείμενον· * καὶ ἐγγίζοντες πάντες ἀσπάζονται, * ἴσως δὲ καὶ τοιαῦτα προσφθέγγονται· * Ἰδοὺ ἀφῆκας τοὺς φιλοῦντας σὲ, * οὐ λαλεῖς τοῦ λοιποῦ μεθ' ἡμῶν, ὦ φίλε· * διὰ τί οὐ λαλεῖς ὡς ἐλάλεις ἡμῖν, * ἀλλὰ οὕτω σιγᾷς μὴ λαλῶν μεθ' ἡμῶν * τὸ ἀλληλούϊα;

ϛʹ. Τί πικρὰ τῶν θνησκόντων τὰ ῥήματα, * ἅπερ φθέγγονται, ὅταν πορεύωνται· * Ἀδελφοὶ, ἀδελφῶν μου χωρίζομαι, * φίλους πάντας ἀφῶ, καὶ πορεύομαι. * Ποῦ οὖν ὑπάγω οὐκ ἐπίσταμαι· * ἢ πῶς μέλλω ἔχειν οὐδεὶς ὁ γινώσκων, * εἰ μὴ μόνον Θεὸς ὁ καλέσας με, * ἀλλὰ μνείαν ποιεῖτε ἐμοῦ μετ' ᾠδῆς, * τοῦ ἀλληλούϊα.

3. Attente, precor, audite : nam vobis etiam hæc solis eloquor, propter vos enim carmen lugubre feci, si quid forte afferat utilitatis. Verum quum hæc modulati eritis, mementote mei, quem quondam novistis; frequentius namque simul convenimus, et in domo Dei una cecinimus canticum : Laus Deo!

4. Sursum ergo erecti, omnes convenite, dein consedite, audituri concionem : « Fratres, « tremendum tribunal, cui nos omnes astare necesse erit! Ibi servus nullus, nullus « liber est, nec parvus ullus est, neque ma« gnus; ast nudi nos omnes sistemus. Prop« terea bonum est clamare ad Christum : « Laus Deo! »

5. « Consumimur cuncti lacrymis, si quando cernimus cadaver jacens : en juxta omnes accederunt, osculo ut valedicant, ac flebilia id genus dicant : « Tu deseris nos te aman« tes! Jam non ultra nobiscum loqueris, o « amice? Cur non dicis quæ nobis dicebas? « Siccine siles, haud nobiscum aiens : Laus « Deo! »

6. « Quam amara sunt morientium verba, quæ loquuntur, quando discedunt! « Fra« tres, a meis fratribus exulo, omnes ami« cos desero, et proficiscor. Quo ergo va« dam, nescio! aut qualiter ego futurus sim « nemo est qui noscat, nisi tantum Deus, « qui me evocavit. Verum memoriam mei « facite cum cantico : Laus Deo! »

3. ὑπακούσατε T. — μετα πόνου T, πόνων C, μετὰ μόνων Goar. nobiscum. — δι' ἡμᾶς G. — πρὸς ὠφέλειαν G. ut codd. præstat una dictio pro solito προσωφέλησιν. — συνήλθομεν C, contra metrum, quod etiam postulat συνυμνοῦμεν ᾠδὴν aut simile paroxytonum.

4. πορεύεσθαι C. — οὐκ ἔνι ἐκεῖ edd. codd. ἀμέτρως — οὐδὲ bis Goar. — ἀλλὰ πάντες G. — βοᾶν συνεχῶς τὸν ψαλμὸν Goar.

5. συγχεόμεθα ὅτε C. — ἀσπάζεσθαι G. ἀσπαζόμεθα T. — προσφθέγγεσθαι G. — ὦ φιλος C. — ἐλάλεις τὸ πρὶν T. — ἀλλ' οὕτω C, T, G. contra metr. — σιγ. τοῦ λαλεῖν G.

6. Rarum est τί pro ὡς, extra scriptores ecclesiasticos. — ἀδελφῶν ἐξορίζομαι G. — ἀφῶ pro ἀφίημι ex ἀφέω, unde ἀφοῦμαι a Dorotheo Sophocles adduxit, quibus et hoc satis rarum adde, cf. Apoc. II, 20; Exod. XXXII, 32. Quin alibi, si codici fides, erit ἀφιῶ pro ἀφήσω, haud exiguo vade Cosma, in cant. de transitu B. V. trop. 13. — ποῦ δὲ T. — μέλλω ἐκεῖ edd. et codd. quod absonum; frustra G et T ἐκεῖ εἶναι, rupto metro, nisi cum T pergas οὐ γινώσκων, sed quanto durius! γινώσκω G. — μὴ μόνος C. — μοῦ T. ἐμοῦ om. G. — codd. τὸ ἀλλ.

ζ'. Ἆρα ποῦ αἱ ψυχαὶ νῦν ὑπάρχουσιν; * ἆρα πῶς ἐν τῷ ᾅδῃ διάγουσιν; * ἐπεθύμουν μαθεῖν τὸ μυστήριον, * ἀλλ' οὐδεὶς ἱκανὸς διηγήσασθαι. * Ἆρα κἀκεῖνοι μνημονεύουσι * τῶν ἰδίων αὐτῶν, ὡς ἡμεῖς ἐκείνων; * ἢ ἐκεῖνοι λοιπὸν ἐπελάθοντο * τῶν θρηνούντων αὐτοὺς καὶ ποιούντων ᾠδὴν, * τὸ ἀλληλούϊα;

2. In v. 2 ἡ om. C, læso metro. — læditur accentus in v. seq. σὴν ἁγίαν καὶ σεπτὴν. — τοὺς μαργ. τῶν C. — Post tr. 7 codex inserit aliud adeo simile secundo trop. ut satis videatur illud inter varietates rescribere, monito lectore timendum esse, ne larvatus quidam melodus clam nostra interpolaverit. En recocta: Στέφος βασίλειον | ἔχει σε ἡ ἐκκλησία, | χρυσουργημένη ἀρεταῖς | ποικιλοτρόποις, | Βασίλειε σοφέ· | ἔχον (l. iterum ἔχει) τοὺς τῶν λόγων σου λίθους λάμποντας | (ὡσμαράγδους sic, ὡς male additur) σμαράγδους δογματικοὺς, | λυχνίτας θεολογίαν ἀστράπτοντας, | μαργαρίτας διδαγματικοὺς, | καὶ φέρει,

Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ·
ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν
ἀδιαλείπτως ἱκέτευε.

« Ne obliviscaris tuæ plebis,
« sed Dominum pro nobis
« supplex sine fine exora. »

γ'· Ὅνπερ κατέστεψαν * στόματα τῶν θεολόγων * τοῖς ἐγκωμίοις, πῶς ἐγὼ * αἰνεῖν τολμήσω; * Θεόν σε Φαραὼ * εἴπω, καὶ βασίλειον ἱεράτευμα; * λειμῶνα πνευματικὸν, * στῦλον τῆς ἐκκλησίας καὶ ἕδρασμα, * καὶ λαμπτῆρα τῆς ὑπ' οὐρανόν; * καὶ τίς σου ἐξαριθμήσει, σοφὲ, * πάσας τὰς αἰνέσεις; * ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, * ὡς ἔφησαν οἱ βοῶντές σοι, * μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ *, ἀλλὰ...

3. Quem ora theologorum præconiis coronarunt, quomodo ego illum ausim laudare? Deum tene dicam Pharaonis, regiumque sacerdotium? tene pratum animarum, Ecclesiæ columnam et fulcrum, et terreni orbis facem? Et quis enumerabit, o sapiens, omnes tuas laudes, uti dicunt qui ad te clamant : Tu nos e cœlo considerans, ne obliviscaris tuæ plebis, sed...

δ'. Ὑπὸ τοὺς πόδας σου, * οἷον ἱκέτης, προσπίπτω, * ἀναβοῶν σοι· Δέξαι * κἀμοῦ τὸ δῶρον, * Βασίλειε σοφὲ, * τόδε τὸ πενέστατον ἐγκωμίδιον. * Σὺ ἔφυς ἐξ εὐκλεοῦς * ῥίζης φωστήρων δύο, ὡς ἥλιος, * ταῖς ἀκτῖσί σου ταῖς λογικαῖς * φαιδρύνας ἐξ οὐρανίου νοὸς * ἅπαντα τὸν κόσμον· * ὅς· καὶ χαρᾷ ἀναμέλπει σοι· * Ὁ ἐπιβλέπων ἐξ οὐρανοῦ, * μὴ...

4. Ad pedes tuos, supplicis ritu, procumbo, tibi clamans: « Accipe meum quoque do« num, Basili sapiens, hoc tenuissimum en« comii frustum. Tu ortus e nobili radice, e « duobus sideribus veluti sol, radiis tuæ « mentis, face ingenii tui cœlestis totum « orbem collustras, qui exultans tibi canit: « Tu qui nos e cœlo consideras, ne oblivis« caris... »

ε'. Σὺ ἐκ νεότητος * Πνεύματος πλησθεὶς ἁγίου, * ἱεροφάντωρ, εἰς ἄνδρα * τέλειον φθάνεις· * σοφίας γὰρ ἐρῶν, * ἄνθη ὥσπερ μέλιττα ἐκλεγόμενος * τῆς γνώσεως τὰ τερπνὰ, * ὄντως εἰς τὰ τῶν λόγων μαθήματα * καὶ τὰ σύμβολά σου νοητὰ * πληρώσας, καταγλυκαίνεις ἡμᾶς * ταῖς μελισταγέσι * τῶν διδαχῶν ὁμιλίαις σου· * διὸ βοῶμέν σοι ἐκτενῶς· * Μή...

5. Tu a juventa Spiritu sancto plenus, hierophanta, in virum cito perfectum crescis: sapientiæ enim amans, api similis, decerpis flores, grata veræ scientiæ serta, et in eruditis sermonibus symbolisque spiritualibus coacervans, nos suaviores efficis tuis mellifluæ doctrinæ homiliis; ideo enixe tibi clamamus : Ne obliviscaris...

ϛ'. Τίς, ὦ Βασίλειε, * φθάσει σου ἐγκωμιάσαι * τὰ ἐν Ἀθήναις πρακτικὰ * τῶν μα-

6. Quis, o Basili, eo perveniet, ut tua in scholis Athenarum gesta et studia celebret?

ὡς ἐπὶ χάρας αὐτῆς, | ..... (deest aliquid) τὴν σὴν ἐκτελοῦσα | μνήμην φαιδρῶς· καὶ κραυγάζουσα. Raram dictionem χρυσουργ. et novam ποικιλοτρόποις vide an notaveris, utramque tenui tibicine fultam.

3. Φαραώ, ut Exod. VII, 1. — οἱ ἐκβ. C.

4. σοι δέξιο sic omnino C. f. σὺ δέξαι, nisi, transpositis verbis, emendetur : δεξιῶ, ἀναβοῶν σοι, scilicet δεξιῶ pro δεξιάου a v. δεξιᾶσθαι « dextera data salutare, benigne accipere. »

5. Φθάνεις. Ephes. IV, 13. — καὶ τὰ συμβλα σου C, sine accentu, et manifesta ac simul obscura corruptela. Quid si per *symbola* melodus respexerit famigeratas fidei formulas ab Oriente in Occidentem circumlatas et tanto strepitu tunc temporis ventilatas? — μελισταγέσι ex horto Theodori crevit. Tota vero ἔκφρασις, jam tacta in II, 4, sumitur; ut dixi, ab Athan. in vita Antonii, n. 3. Cf. II, 4; XVIII, 3.

6. γνώσεως includimus, ne v. deficiat.

θημάτων; * Γρηγόριον ἐκεῖ εὗρες, τὸν πολύσοφον ὁμογνώμονα· * ἐν σώμασι γὰρ δυσὶ * μία ψυχὴ ἐκράθη ἀμφοῖν ὑμῖν· * τοὺς συμπράκτοράς σου ἐπιστὰς,* αὐτίκα ἀποξενίζεις νικῶν * ταῖς [γνώσεως] ὑψηγορίαις * διδάσκαλος γνωριζόμενος· * Μὴ...

ζ'. Ὄντως γενόμενος * ἔμπλεως πάσης παιδείας * ἐν ἐπιστήμῃ τελείας * φιλοσοφίας, * κινεῖς ἐξ Ἀθηνῶν, * ἥκεις εἰς Καισάρειαν τὴν περίδοξον, * λαμβάνει σε οἰκιστὴν * αὐτὴ καὶ πολιοῦχον ἐπάξιον, * ἀπαστράπτοντα ταῖς ἀρεταῖς, * καὶ πάσῃ τῇ οἰκουμένῃ λαμπρῶς * δι' αὐτῶν τῶν λόγων * πυρσεύοντα, ὦ Βασίλειε, * διὸ βοῶμέν σοι περιχαρῶς· Μὴ...

η'. Ὑπὸ τῆς ἄνωθεν * χάριτος ἐκλελεγμένος, * τῆς ἐκκλησίας τὸ κράτος * θείως διέπεις, * Βασίλειε σοφὲ, * στήσας τὰ τῆς νίκης σου θεῖα τρόπαια. * Οὐάλεντα γὰρ πικρὸν * τρέψας τοῖς λογικοῖς σου τοξεύμασι, * καὶ ἔθνος ἅπαν αἱρετικὸν * ὅπλοις ὀρθοδοξίας ἑλὼν, * ταύτην ἐν εἰρήνῃ * ἐποίμανας ἐκβοῶσάν σοι· * Μὴ...

θ'. Ἆσμα προσοίσωμεν * ἅπαντες ἀξιοχρέως * οἱ ἱεράρχαι αἰνοῦντες * τὸν ἱεράρχην, * τὸν πάνσοφον σοφοὶ, * πόλεις τὸν κοσμήτορα πασῶν πόλεων, * τὸν μάρτυρα ἀθληταὶ, * πάντες τὸν ἅπασι διαλάμψαντα· * συνᾴδουσι καὶ αἱ οὐρανῶν * δυνάμεις ἐπὶ τῇ μνήμῃ αὐτοῦ, * ὅτι τοῦ Κυρίου * φίλος πιστὸς κεχρημάτικεν, * ἀλλὰ βοήσωμεν πρὸς αὐτόν· * Μὴ...

Illic invenisti Gregorium, sapientia multum, tibi unanimem. Nam una in duobus corporibus anima ambobus vobis concreta est. Vix apparuisti, collegas tuos statim superans, extorres facis, sublimibus te sententiis magistrum ostendens. Ne obliviscaris...

7. Jam quacumque disciplina plenus, perfectaque eruditus philosophia, moves ab Athenis, petis famosam Cæsaream: quæ quidem te et conditorem et propitium urbis numen accipit; te cujus virtutes fulgurant, concionesque totum orbem luculenter illustrant, o Basili; ideo clamo tibi exultans: Ne obliviscaris...

8. Superna electus gratia, Ecclesiæ regimen vi divina vindicas, o Basili sapiens; erigis sacra victoriæ tuæ tropæa; Valentem enim sævum subvertens verborum tuorum jaculis, et cunctam hæreticorum gentem armis orthodoxiæ profligans, Ecclesiam in pace rexisti, clamantem tibi : Ne...

9. Canticum, ut decet, promamus omnes: sacerdotes, hierarcham celebrantes; sapientes, sapientissimum; civitates, civitatum omnium gloriam; pugiles, martyrem; omnes omnibus illucescentem. Concinunt etiam cœlestes virtutes in ejus memoria, quoniam Domini amicus fidelis vocatus est. Sed et clamemus ad eum : Ne obliviscaris...

7. πολυοῦχον C, leviter subversa sententia nobili, raris expressa verbis, quibus numina urbium præsentia invocari solebant. — ἀπαστοάπτοντα sic C, primum πάντα vel πάντας ἅπτοντα cogitavi, sed emendatio melius sapit Theodorum, ac repetita tollit. — Cf. XVI, 1, 3. — δι' αὐτοῖς τοῖς λόγοις C.

8. τὸν πικρὸν C. — ἐν ante εἰρ. om. C.

9. πρ. πάντες C. De aor. οἶσαι multus est Lobeck ad Phryn. p. 733. Quæ forma ab homerico imper. οἶσε, et post Herodotum (ἀνοῖσαι), in recentiorum scriptis resurgit. — τὸν ἐν ἅπ. C. — καὶ οὐρανῶν C.

VII.

DE S. ATHANASIO.

α'. Τὰ θεόφθογγα * τῆς ἐμμελοῦς σου * γλώττης ῥεῖθρα * πλουσιώτερα * τοῦ χρυσοῤῥόα Νείλου βλύζων, * τὴν ἐκκλησίαν, * Ἀθανάσιε, * καταρδεύσας, * καὶ δείξας αὐτὴν ὡς παράδεισον ἄλλον, * καθεῖλες αὐτῆς * τὰς τριβόλους, αἱρέσεις, * ἱεράρχα * ὁ πολυκαρτερώτατος· * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

β'. Ἄλλον σε ἥλιον * ἔσχηκεν ἡ ἐκκλησία * τὸν ἐκ παστοῦ ὡς νυμφίον * ἐκπορευθέντα * τῶν θείων ἀρετῶν, * ὅλον ὡραιότατον ἐν τῷ Πνεύματι· * ὡς γίγας συ γὰρ δραμὼν, * ἔαρ τῆς εὐσεβείας ἐτέλεσας, * γαληνῇ τε τοῖς ὑπ' οὐρανοὺς * ἡμέραν ὀρθοδοξίας ἡμῖν * ταῖς σου δᾳδουχίαις * κατέλαμψας, Ἀθανάσιε · * διὸ βοῶ σοι εἰλικρινῶς · * Μὴ ἐπιλάθῃ τοῦ σου λαοῦ, * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

γ'. Σὲ ἀφιέρωσε * Κύριος παιδίον ὄντα · * ἱερουργὸς γὰρ ἐδείχθης * νεάζων ἔτι * χρισθεὶς ὑπὸ Θεοῦ, * ὥσπερ προδεδήλωκεν ὁ ἐκθρίξας σε * Ἀλέξανδρος ὁ κλεινὸς, * μέγαν τῆς ἐκκλησίας ὑπέρμαχον, * Ἀθανάσιε θαυματουργὲ, * ὀρθόφρον, τῆς ἐκκλήσιας κανὼν, * ἀγγελικὲ τρόπον, * πιστεύουσιν μαρτυρόστεφε· * διὸ χορεύων ἐν οὐρανοῖς, * μὴ...

δ'. Μύστην προέφηνεν * ἄριστον Χριστὸς, παμμάκαρ, * τῷ εὐσεβεῖ Νικαέων * συλλόγῳ·

1. Ab ore Dei flumina linguæ tuæ mellifluæ effundens, abundantiora quam aureos opulenti Nili fluctus, Ecclesiam irrigasti, Athanasi, eamque in alterum mutans paradisum, eruisti ab ea vepres, ceu hæreses, o longe patientissime pontifex; agedum pro nobis Dominum assidue supplex deprecare.

2. Te alium solem habuit Ecclesia, ut sponsum e thalamo divinarum virtutum prodeuntem, totum in spiritu formosissimum. Ut gigas enim exultans, ver religiosum renovasti, serenumque diem orthodoxiæ sub cœlo fecisti, tuis, Athanasi, circumlatis facibus; ideo clamamus ad te enixe: Ne obliviscaris plebis tuæ, sed Dominum pro nobis assidue supplex deprecare.

3. Te sanctificavit Dominus a teneris: sacrorum enim minister, adhuc adolescens, factus es, unctus a Deo, ut prædixit ille te qui totondit, insignis Alexander, futurum esse te magnum Ecclesiæ vindicem, o thaumaturge Athanasi, recta sapiens, ecclesiastica regula, vir moribus angelice, pro fidelibus martyrum ferens coronam; ideo in cœlis exultans, ne obliviscaris...

4. Optimum initiatorem, multum beate, Christus te sacro ostendit Nicæno cœtui;

VII. Corsin. f. 47: Μηνὸς ἰανουαρ. ιη', κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου, ἦχ. α'. In acrostichide: ᾆσμα Στουδίτου. Inter ea quæ mox sequentur ἀνεπίγραφα, plurima poemata, titulo ᾆσμα inscripta, f. Theodoro assignaveris.

1. Cod. præ se fert duos hirmos τὰ θεόβρυτα et τέρπεται. — κατήρδευσας C. — τῷ κυρίῳ C, constanter pro τὸν κύριον.

2. τὸν ὡς ν. ἐκ π. C. — καὶ γαληνὴν ἐν οὐρανοῖς C absurde. — ταῖς σου κατ. δᾳδ. C. — βοῶμέν σοι. C.

3. ἐκτρίξας C, novum hoc de re trita in Euchologiis. Rectius esset ἐκθρέψας vel ἐκτριχώσας, ut τριχόω et ὀρθοτριχέω. Cæterum alia verba non desunt in quibus ἐκ pro ἀ privative sumitur, ut ἐκμελὲς, ἔκδικος, ἔκνομος, ἔκνοουν, ἔκτοπα, et multa in lexicis. Quibus et adde ἐκθρίξας, novum uti mox μαρτυρόστεφε. — πιστεύωσιν C.

4. τῷ νικ. εὐσ. C. — ὡς τῆς χ. διάκ. C.

πρῶτον * ἐν πρώτοις γὰρ ἐκεῖ * ἔλαμψας, τῆς χάριτος ὡς διάκονος· * ἐντεῦθέν σοι τὸ σεπτὸν * κράτος τῆς ἐκκλησίας πεπίστευται· * σὺ διώδευσας γὰρ τὸν πρὸ σοῦ * ἀστέρα, ὡς ἑωσφόρος λαμπτὴρ, * τῇ τοῦ βίου αἴγλῃ * καταλάμπων τὴν ὑφήλιον· * διὸ βοῶ σοι ᾀσματικῶς· * Μὴ...

ε'. Ἄλλον ἀπόστολον * Παῦλον σὲ ὑμνοῦμεν, μάκαρ· * ὑπὲρ Χριστοῦ γὰρ ὡσαύτως * παῤῥησιάζῃ * ἀγῶνας ἀνατλὰς, * πόνους, περιστάσεις τε καὶ ἀθλήματα, * κινδύνους καὶ διωγμοὺς, * δόλους ἐκ ψευδαδέλφων καὶ ἔνεδρα * ἐξ ἀνάκτων τε καὶ τῶν ἐθνῶν, * βαστάζων τὴν θείαν κλῆσιν αὐτοῦ * καὶ προκινδυνεύων * τῆς πίστεως, Ἀθανάσιε· * διὸ βοῶ σοι ᾀσματικῶς· * Μὴ...

ς'. Σὺ κέρας ἤγειρας * πίστεως ταῖς ἐκκλησίαις * τοῖς πολυάθλοις ἱδρῶσι * τῶν σῶν ἀγώνων, * τὸν Ἀριανισμοῦ * θραύσας, δυσμαχώτατε, μέγαν πόλεμον· * σὺ ξίφος γὰρ γέγονας * ὀρθοδοξίας, κόπτων τὴν αἵρεσιν· * σὺ ἐγνώρισαι πῦρ νοερὸν, * πυρίζον ἄκανθαν πλάνης, σοφὲ, * ἐμφυτεύσας πίστιν * εὐσεβείας ἐν τοῖς πέρασιν· * διὸ βοῶ σοι...

ζ'. Τρεῖς ἐκ τῆς ποίμνης σου * πέπονθας τὰς ἐξορίας, * ὑπὲρ Τριάδος πρεσβεύων, * ὅσιε πάτερ, * καὶ τρὶς ἐπιδημῶν, * πάλιν ἐν τῇ ποίμνῃ σου πεφανέρωσαι * νυμφίος ὑπερκαλλής· * αὐτὴ ποθεινοτέρως ὁρῶσά σε * καὶ προπέμπουσά σε παγγενεὶ * ἐν ὕμνοις καὶ λιτανίαις πολλαῖς, * καὶ εὐφραινομένη * περιχαρῶς ἀνεκραύγαζεν· * Διὸ βοῶ σοι ᾀσματικῶς· * Μὴ...

η'. Ὑπὲρ τῆς πίστεως * δράματα σὺ καθυπέστης * τῇ νέᾳ χήρᾳ ἐκείνῃ * κατηγορηθεὶς * τὸ μῦσος τὸ αἰσχρόν· * ἀλλὰ ὅσα ἔδειξαν ψευδεπίπλαστα * ᾐσχύνθησαν δικασταὶ, * πᾶσιν ἀποδειχθέντες ῥιψάσπιδες· * καὶ ὑπέ-

primus enim inter primos fulgebas, ut gratiæ diaconus: unde tibi commissum est sacrum Ecclesiæ pontificium: tu enim viam tenebas prævii sideris, lucifero similis, terram sub sole positam splendore vitæ tuæ collustrans: ideo cum cantico clamo ad te: Ne obliviscaris...

5. Alterum te Paulum apostolum canimus, beate: pro Christo enim, cum eadem confidentia obivisti prælia, labores, discrimina et pugilatus, pericula et persecutiones, fraudes a falsis fratribus, atque insidias regum et gentium, onus ferens eundi quo cœlitus vocareris, et pericula pro fide spernens, Athanasi; ideo clamo cum cantico...

6. Tu fidei cornu erexisti in ecclesiis per cumulatos inter prælia sudores; arianismum fregisti, invicte vir, ingenti bello. Tu enim factus es orthodoxiæ gladius, discerpens hæresin. Tu agnitus es ignis mentium, exurens spinam erroris, o sapiens, simulque inserens religiosam fidem in ultimos fines: ideo...

7. Ter exilium ab ovili tuo passus es pro Triade, sancte pater, ac triplici reditu iterum tuo gregi apparuisti, sponsus quo formosior nullus; quæ te amantius dum contemplatur, et occurrit catervatim in hymnis et litaniis multis, lætabunda tripudiat et cum gaudio deprecatur: ideo ad te clamo per melodias: Ne obliviscaris.

8. Pro fide theatra subiisti, ab ista juvene vidua de re turpi accusatus. At omnia falsa esse cum comperissent, judices erubuerunt, omnibus digito monstrati, ut ignavi, clypeo rejecto. Et transivisti, ut Christus inter lapi-

5. ἐπαῤῥησιάσω C. — καὶ ἐθνῶν C.

6. κέρας ἡγίασας C. inepte et rupto metro. Cf. Luc. I, 69. — σὺ γὰρ γέγ. ξ. πολλῆς ὀρθ. κόπτ. αἵρεσιν C. — ἐμβρίζον ἄκανθαν pro ἐμπυρίζον, quod metrum excedit. Cf. XII, 5.

7. τρεῖς ἐπιδ. C. — νυμφίου ὑπερκαλλοῦς C. — προπ. σοι C.

8. f. πίστ. τραύματα. Non solum falsum crimen erat, sed tota historia spuria reputatur. — σὺ om. C. — ὥσπ. χρ. C.

δυς, ὥσπερ ὁ Χριστὸς * ἐκ μέσου τῶν λιθαζόντων αὐτὸν * ἀβλαβὴς, παμμάκαρ, * λύσας καὐτὸς τούς σε βάλλοντας· * διὸ βοῶ σοι...

θ'. Τίς τοὺς ἀγῶνάς σου * ἅπαντας ἐξαριθμήσει; * ὅλος ἐγένου ψυχῇ σου * στεῤῥὸς ὡς λέων· * φωνή σου, ὡς βροντὴ, * ἤχει ἐν τοῖς πέρασι δογματίζουσα,* ἣν ἔφριξαν ἀληθῶς * θῆρες αἱρετιζόντων ἀκούοντες· * τὴν Τριάδα γὰρ φύσει μιᾷ * τρανώσας δοξάζεις ἕνα Θεὸν * ἐν τρισὶ προσώποις, * Πατρὸς, Υἱοῦ καὶ τοῦ Πνεύματος· * διὸ...

ι'. Ὑπὲρ τὸν ἥλιον * ἔλαμψας ἐν βίῳ, πάτερ, * καταφαιδρύνας τὸν κόσμον * ταῖς ἀρεταῖς σου· * διό σοι πᾶς βροτὸς * ᾄδει ἑορτάζων σου τὸ μνημόσυνον· * χορεῖαι ἱεραρχῶν, * στέφη τῶν μοναζόντων, ἡ σύναξις * ὀρθοδόξων καὶ ἅπας χορὸς * στεφάνους ἀνατίθενται τῇ σῇ * ἱερωτάτῃ μνήμῃ, * ἀγγελόφρον Ἀθανάσιε· * διὸ χορεύων ἐν οὐρανοῖς * μὴ ἐπιλάθῃ...

dantes, illæsus, o beate, sic tu dissipasti tuos inimicos te offendentes; ideo...

9. Quis tuos pugilatus omnes enumerabit? Totus factus es mente tua imperterritus, ut leo; vox tua, ut tonitru, dogmata sonuit ultimos in fines: quo auditu, horruere prorsus belluæ hæreticorum. Clara enim voce Trinitatem in una natura glorificas, unum Deum, Patrem, Filium et Spiritum: ideo...

10. Sole clarior vita tua, pater, qui mundum tuis irradias virtutibus: tibi ergo omnis homo plaudit, festum agens diem memorabilem; tibi pontificum pompæ, monachorum coronæ, cœtus orthodoxorum, omnium chorus serta decernit, et vota tuæ sacerrimæ memoriæ, o mente angelis par Athanasi: ideo exultans in cœlis, ne obliviscaris...

9. τῇ ψ. στεῤῥὸς C. — φανεῖσα ὡς βρ. C. turpi lapsu. — τὴν γὰρ τρ. C.

10. ἡ om. C. ante σύναξις, post vero inserit τῶν. — Valedicens melodus lexicis largitur ἀγγελόφρων.

VIII.

DE S. GREGORIO NAZIANZENO.

α'. Τὰ σοφώτατα * τῆς φλογερῆς σου γλώττης ἔπη,* ἀστραπτόμενα * ἐκ τοῦ ἀῤῥήτου φάους, λάμπων,* τὴν οἰκουμένην * κατελάμπρυνας, * Γρηγόριε, * βροντίσας φρικτῶς * τῆς Τριάδος τὸ δόγμα, * καὶ πάσας ἀπρὶξ * τὰς αἱρέσεις μαράνας, * ἱεραρχῶν * ὁ θεολογικώτατος· * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

β'. Ἅπασα γλῶττά σε * σήμερον ἐγκωμιά-

1. Providissima flammeæ linguæ tuæ eloquia dum vibrares ex arcano lumine fulgurantia, orbem luce perfudisti, o Gregori, horrendum intonans dogma Triadis, omnesque a radice arefaciens hæreses, tu pontificum summus theologus: agedum Christo pro nobis in perpetuum esto supplex.

2. Omnis te hac die lingua collaudat, ut qui

VIII. Corsin. f. 32: Μηνὸς ἰανουαρ. κε', κονδάκιον τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Iterum in acrost. ᾆσμα Στουδίτου, sed amissis quatuor tropariis, si extiterint.

1. Ibid. ἦχ. α', πρὸς τό· τὰ Θεόδρ. — μωράνας C. — Theologo κατ' ἐξοχὴν convenit Θεολογ. Sed f. rara superlativi exempla sunt.

2. πᾶσαν αἵρεσιν C contra modul. perpetuum.

ζει, * ὡς ἐν σοφίᾳ ἁπάντων * ὑπερτεροῦντα, * Γρηγόριε σοφὲ, * ῥῆτορ ὡραιότατε τῆς θεότητος, * ὁ πύρινος ποταμὸς * φλέγων πάσας αἱρέσεις τοῖς δόγμασι, * νοημάτων τε ἡ ἀστραπὴ, * ὁ γνώμων τῶν ὀρθοδόξων φωνῶν, * ἡ βροντῶσα σάλπιγξ * ἐν τῷ κόσμῳ τὰ τῆς χάριτος, * διὸ βοῶμέν σοι, πᾶς ὁ λαός· * Μὴ ἐπιλάθῃ τοῦ σου λαοῦ· * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

γ'. Σὺ ἐξανέτειλας * ἥλιος ὡς ἐκ φωστήρων, * τῶν εὐκλεῶν σου γονέων, * ἱεροφάντορ, * ἐκ παίδων παρευθὺ * λάμψας ἐν τοῖς ἤθεσι καὶ παιδεύμασι· * σοφίας γὰρ ἐραστὴς * ὤφθης καὶ εὐσεβείας ὑπέρτερος, * ἐν ἀμφοτέραις ἀποδειχθεὶς * ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ, * κατηγλαϊσμένος * ἐν τῷ κάλλει τῶν φθεγμάτων σου, * διὸ βοῶμέν σοι...

δ'. Μάλα τὴν παίδευσιν * ἤσκηκας ἐν ταῖς Ἀθήναις· * ἐξ ὧν ὑπάρχων ἔμπλεος * πάσης σοφίας, * ἤρησαι τὸν τερπνὸν * βίον τὸν ἰσάγγελον καὶ ἀπράγμονα· * ἐντεῦθεν οὖν καθαρθεὶς * χρίῃ ἱερωσύνης τῷ χρίσματι, * καὶ ἐξανοίξας τὴν λογικὴν * πηγήν σου ἐσφραγισμένην Θεῷ, * τὰ τῆς ἐκκλησίας * ἄρδεις φυτὰ ἐκβοῶντά σοι· * Μὴ ἐπιλάθῃ τῶν σῶν οἰκετῶν * ὁ ἐπιβλέπων ἐξ οὐρανοῦ, * ἀλλά...

ε'. Ἄλλον Μωσέα σε * ἔγνωμεν, ἱεροφάντορ, * ἐπὶ τὸ ὄρος τῆς σεπτῆς θεολογίας * προβάντα εὐσεβῶς· * ἔνθα θεασάμενος τὰ ἀπόρρητα, * τὰς πλάκας τὰς νοερὰς * φέρεις κεχαραγμένας τοῖς δόγμασι, * τὸ μυστήριον ὡς ἀληθῶς * τῆς μιᾶς τρισυποστάτου μορφῆς * καθυποδηλούσας, * ἣν ὡς Θεὸν ἕνα σέβοντες * ἀναβοῶμέν σοι ᾀσματικῶς· * Μή...

ϛ'. Στῦλος πυρὸς ἡμῖν * πέφηνας ὀρθοδοξίας * τοῖς ἐν ἐρήμῳ τοῦ βίου * διερχομένοις· * δι' οὗ τῆς σκοτεινῆς * πλάνης φρυκτωρούμενοι ἐκλυτρούμεθα, * Γρηγόριε ἱερὲ, * πέτρα τῆς

sapientia omnes longe superas, sapiens Gregori, tu deitatis orator elegantissime; tu flammigerum flumen, cujus dogmata cunctas comburunt hæreses; tu sententiarum fulgurans acuminibus; tu norma verborum rite theologicorum; tu in orbe tuba intonans sonum gratiæ; ad te ergo clamamus cunctus populus : Ne obliviscaris plebis tuæ, sed Christo pro nobis esto in perpetuum supplex.

3. Tu veluti sol ex sideribus, ortus es ab egregiis parentibus, sacrorum interpres; statim a teneris resplendens moribus et eruditione : sapientiæ enim æque ac pietatis amans nulli impar, hinc et inde factus es Ecclesiæ fax ingens, exquisita verborum venustate emicans; ideo tibi clamamus...

4. Studuisti multum disciplinis Athenarum, unde sapientiæ omnis plenus, vitam illam amavisti amœnam, quæ angelos æmulatur et negotia amovet; repurgatus igitur ab ea, ungeris sacerdotii oleo, ac reserans ingenii fontem a Deo signatum, plantas Ecclesiæ irrigas, tibi clamantes : Tuos famulos ne obliviscaris, tu nos de cœlo despiciens, sed pro nobis...

5. Alium te Moysen novimus, hierophanta, ascendentem pio gressu in sacrum theologiæ montem; ibique arcana contemplatus, tabulas spiritus affers, dogmatibus exaratas, quibus perspicue demonstratur verum esse mysterium unius in triplici persona substantiæ, quam Deum unum esse credimus, cum cantico ad te clamantes : Ne obliviscaris...

6. Ignea orthodoxiæ columna palam nobis es, mortali in eremo peregrinantibus : qua, uti sublatis e specula facibus moniti, ab erroris caligine liberamur, o Gregori sacer,

— τῶν νοημάτων ἡ ἀ. C : Ab initio strictos hirmi tramites sequi præstat, quamvis τε melodis minus placeret.

3. σου om. C. — ἀμφοτέροις C. — f. κατηγλαϊσμένης.

4. ἔρασαι C, et placeret, sed cum genit.

5. καθυποδηλούσας, cujus compositi vix exempla sunt.

6. φρυκτωρούμενοι. Cf. I, 4.

εὐσεβείας ἀκρότομε, * ἐξ ἧς ἔβλυσαν ῥεῖθρα ζωῆς, * εἰς κόρον τοῦ ὀρθοδόξου λαοῦ, * τῶν αἱρετιζόντων * τοὺς χειμάῤῥους κατακλύσαντα, * διὸ βοῶμέν σοι πᾶς ὁ λαός· * Μη ἐπιλάθῃ σκέπων ἡμᾶς, * ἀλλὰ...

ζ'. Τίς, ὦ Γρηγόριε, * ἄβυσσον ἐξαριθμήσει * ἧς ἀπηρεύξω σοφίας * ἐκ τῆς σῆς γλώττης; * πληροῖς γὰρ ἀληθῶς * πᾶσαν τὴν ὑφήλιον ἐν τοῖς δόγμασιν· * βαθύς σου ὁ ποταμὸς * ὄντως τῶν νοημάτων καθέστηκεν, * καὶ δυσπέρατος πάσῃ πνοῇ, * τοὺς νόας ὑποβρυχίους ποιῶν * τῶν αἱρετιζόντων, * τοῖς πιστοῖς δὲ ἡδυνόμενος· * διὸ βοῶμέν σοι ᾀσματικῶς· * Μή...

η'. Ὄργανον δέδεικται * Πνεύματος τοῦ παναγίου * τὸ θεολόγον σου στόμα, * οὐρανοφάντορ, * Γρηγόριε κλεινὲ, * πλήκτρῳ τῷ τοῦ Πνεύματος καταυλούμενον· * δι' οὗ ἡμῖν τοῖς πιστοῖς * ἦχος ὡραϊσμένος διήκουσται, * μελουργήμασι δογματικοῖς * εὐφραίνων ἡμῶν τὰς [.....] * τῆς ψυχῆς δυνάμεις * πρὸς ἔρωτα τῆς θεότητος· * διὸ βοῶμέν σοι ᾀσματικῶς· * Μή...

θ'. Δῆλος ἐν ἅπασι * γέγονας ἐν κόσμῳ τούτῳ * * ὡς ἐπὶ γνωστικοῦ ὄρους * ἀνηνεγμένος, * Γρηγόριε τερπνὲ * ἄγαν, ὁ πολύσοφος καὶ γλυκύφωνος· * θαυμάζεται γὰρ τὰ σὰ * μεῖζον Ἀριστοτέλους καὶ Πλάτωνος, * οὕσπερ Ἕλληνες οἱ παιδικοὶ * θρυλλοῦσιν ἐπὶ σοφίᾳ πολλῇ, * ὅτι καὶ σὺ ταύτην * ἐξήσκησας ὑπὲρ ἄνθρωπον· * διὸ βοῶμέν σοι ᾀσματικῶς· * Μή...

ι'. Ὕμνον ὃν ᾖσά σοι, * ὅσιε, πόθῳ καὶ φόβῳ, * ὡς μικρὸν δῶρον δεξίου * τοῦ σου οἰκέτου· * Θεῷ τε γὰρ καὶ σοὶ, * φίλος ὥσπερ, λέλακα τὸ εἰς δύναμιν· * τὰς θείας σου προσευχὰς * δός μοι εἰς σωτηρίας ἀπόλαυσιν, *

tu pietatis acuta rupes, unde scaturiunt fluenta vitæ, in satietatem fidelis populi, obstructis hæreticorum vorticibus; ideo ad te clamamus, totus populus : Tu nos respicere ne obliviscaris...

7. Quis, o Gregori, satis enarrabit abyssum sapientiæ quam eructasti ab ore tuo? Dogmatibus sane imples omnem sub sole terram; profundus revera substitit amnis tuarum cogitationum, nulli animæ transmeabilis, in imum mergens hæreticorum intellectus, fidelibus vero suavissima lympha; ideo clamamus tibi cum hymno...

8. Organum sanctissimi Spiritus os tuum theologum extitit, vates ad sidera notus, clare Gregori, quod plectro Spiritus tactum insonuit; quo nostris fidelium auribus amœnissimus subiit susurrus, et melodicis dogmatibus nobis exhilarantur animæ vires, gestientes in Deitatis amore : ideo clamamus tibi cum hymno...

9. Conspicuus cunctis in hoc mundo, scientiæ tanquam in monte stetisti sublimis, venustissime Gregori, tu sapientia multus ac voce suavis : tua quippe plus miramur quam Aristotelis Platonisve opera, quos Græcorum pueri præ ubertate sapientiæ jactant. At enim illam tu ultra hominem exercuisti : ideo tibi cum hymno clamamus...

10. Quem tibi cecini hymnum, vir sancte, amore motus et tremore, hoc munusculum famuli tui accipe; Deo enim et tibi, amici instar, vocem sustuli pro viribus. Tua mihi suffragia præsta, ut salute fruar, orbique

7. ἐξαριθμήσει, ut VII, 10. At placeret ἐξαναρύσει « quis exhauriet? » — ἅπασαν τὴν ὑφ. C.

8. στόμα σου C. — εὐφραῖνον C, mox in lacuna f. lege : σκιρτησάσας.

9. ἀνην. ab insueto ἀνήνεγμαι. — ἐν τῷ κόσμῳ ὡς ἐπὶ ὄρους γν. C. — σὺ ταύτην additur.

10. δέξιο iterum C, ut VI, 4. An pro optativo δέχοιο, vel δέξαιο? sed ob accentum præstat δεξίου a verbo byz. δεξιοῦν, eodem sensu quo δεξιᾶσθαι. — φίλων ὥσπερ λέλεχας sic codex barbare, ut iterum in XVII, 13. Ex Suida emendatur λέλακας, ἀντὶ τοῦ κέκραγας. — δούς μοι σωτηρίας C. — f. οἰκ. καὶ εὐλογῶν — post πάντες om. σοι C. — Init. πόθῳ καὶ φόβῳ, ut Roman. XXIX. In fine τῷ κυρίῳ C.

τὴν οἰκουμένην κατευλογῶν, * κράτυνον τὴν βασιλείαν ἡμῶν * σὺν τοῖς ἱερεῦσιν, * ἵνα πάντες σοι ἀνακράζωμεν· * Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ, * ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

bona verba donans, da robur imperio nostro ac pontificibus, ut omnes ad te clamemus : Ne obliviscaris plebis tuæ, qui nos e cœlo respicis, verum Domino pro nobis esto in perpetuum supplex.

IX.

DE S. EPIPHANIO.

α'. Τὰ φανότατα * τῆς λιγυρᾶς σου γλώττης ἔπη, * ἐκβλαστάνοντα * ἐκ θησαυρῶν ἐνθέων, πᾶσαν * τὴν οἰκουμένην * κατελάμπρυνεν, * Ἐπιφάνιε· στῦλος φωτὸς * τῆς ἐκκλησίας, πάτερ, * ἐδείχθης ἀεὶ * ἐκ θεϊκῶν βολίδων, * ἱεραρχῶν * λύχνος περιφανέστατος· * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

1. Luculentissima canoræ linguæ tuæ verba, ut imber effusa e thesauris divinis, universum orbem illuminarunt, Epiphani pater; columna luminis in Ecclesia ostensus es in ævum, eliciens divina fulgura, pontificum lampas longissimo ambitu fulgens : age, Domino pro nobis in perpetuum esto supplex.

β'. Ἆσμα ᾀσμάτων σοι * ἔξεστιν ἐπικροτῆσαι· * ἀγγελικῶς γὰρ ἐν βίῳ * ἐπολιτεύσω, * ἀείφωτε λαμπτὴρ, * ῥῆτορ Ἐπιφάνιε ἱερώτατε· * ἀλλ' ὅμως τοὺς ἐκ ψυχῆς * δέχου σοι προσιόντας καὶ πίστεως, * τοὺς ἐγχειρίζειν πρὸς τὸ ὑμνεῖν * τολμῶντας τὴν ἀξιέραστόν σου * τὴν μυροδοτοῦσαν * τὰς ἰάσεις τοῖς αἰτοῦσί σε· * μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ * σὲ ἐξαιτοῦντος εἰλικρινῶς, * ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

2. Canticum præstantissimum decet tibi modulari. Angelicam enim vitam vixisti, semper luminosa fax, sacerrime rhetor, Epiphani; verumtamen accipe accedentes ad te ex animo et fide, qui audent mihi committere munus laudandi tuam memoriam, amore dignam, qua largiris sanationes orantibus te; ne obliviscaris plebis tuæ te enixe supplicantis, sed Domino...

γ'. Σὺ ἐξανέτειλας * ἥλιος πρὸ ἑωσφόρου, * καταφωτίζων ἀκτῖσι * τῶν μαθημάτων * τὴν σύμπασαν ἀεὶ * λόγοις τοῖς πανσόφοις σου, Ἐπιφάνιε. * Νεάζων γὰρ ἀληθῶς * ὤφθης ἐν φιλοσόφοις φιλόσοφος, * μῦρα βρύουσι δὲ καὶ ἡμῖν * ὄντως, κατὰ θεϊκὴν τὴν φωνὴν, * τίμιά σου χείλη, * ἀεννάως νᾶμα πότιμον, *

3. Tu ortus es sol ante luciferum, radiis scientiarum continuis totum orbem illuminans per tua eruditissima opera, o Epiphani. Adhuc enim juvenis, verus visus es inter philosophos philosophus ; nobisque unguenta omnino pluunt, ut habet divina vox, ex venerandis labiis tuis, uti lympha perennis, quæ

IX. Corsin. f. 111 : Μηνὶ μαΐῳ ιβ', κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐπιφανίου ἐπισκόπου Κύπρων. In marg. Τοῦ Στουδίτου, iterumque in acr. ᾆσμα.

1. Ibid. notantur hirmi, ut supra. — ἐκβλυστάνοντα sic C liquido, raro exemplo, nisi legendum sit ἐκβλαστάνοντα. — κατελάμπρυνας C. — καὶ στύλος C., ut supra VI, I, in eod. V.

2. Ἆσμα ᾀσμάτων hebraico de more melodus exaggerat. — μοι etiam placeret, ubi πρὸς in loco vexato, in quo subaudi μνήμην, unde pendet μυροδοτοῦσαν, confirmante hanc vocem raram coæquali Theophane 679, 8. — μὴ διαλείπῃς ὑπὲρ λαοῦ C, altera depravatione bis repetita.

3. Inter lumina caligat iste sol ante luciferum

οὗ πεπωκότες ἡμεῖς γηγενεῖς, * ἀναβοῶμεν περιχαρῶς· * ἀλλὰ...

δ'. Μέγα προπύργιον * ἔχει σε ἡ ἐκκλησία, * νικητικὸν γὰρ ὁπλίτην * τροπαιοφόρον, * αἱρέσεις ἐκσοβῶν * λόγοις τοῖς πανσόφοις σου, Ἐπιφάνιε· * ἐν ταύτῃ γὰρ οἰκισθεὶς * πρῶτον ὡς θηκοφύλαξ διάκονος * μετ' οὐ πολὺ δὲ προχειρισθεὶς * ἐκ θείας ἐπιφανείας αὐτῇ * ἀρχιερατεύεις, * καθά φησί σοι, καὶ ἔπρεπε· * διὸ βοῶμέν σοι ἐκτενῶς· * μὴ διαλείπῃς ὑπὲρ λαοῦ, * ἀλλὰ...

epota mortales facit exultare, clamantes: Domino...

4. Te magnum propugnaculum habet Ecclesia, ovantemque militem trophæis onustum, hæreseon expulsorem, ob tuos libros doctissimos, Epiphani. In ea namque tu primum degisti diaconus, sacrorum custos, ac paulo post, manibus impositis ex divina revelatione, ipsius summus pontifex, ut tibi dictum, et te decuit; ideo clamamus tibi fortiter: Ne obliviscaris...

oriens, nisi id ortum Epiphanii inter Judæos innuat. — κατὰ θείαν φων. τὰ τίμ. C. — οἱ pro ἡμεῖς C.

4. ἔχει. — hunc v. furabatur interpolator, de quo VI, 2, et hic fortasse manum injecit. Nisi ἐκσοβῶν absolutus sit nominativus, legendum: νικητικὸς γὰρ ὁπλίτης, τροπαιοφόρος, αἱρέσεις ἐκσοβεῖν. — εἰσοικισθεὶς ἐν πρώτοις C. — ἀρχιερατεύειν C.

X.

DE S. NICOLAO.

α'. Τῷ φαεινῷ σου βίῳ
ἀστράψας ὡς ἥλιος,
περιφανὴς τῷ κόσμῳ
ἐδείχθης τοῖς θαύμασιν,
Νικόλαε ἱερομάκαρ,
ὁ τοῦ Χριστοῦ θεράπων πιστότατος,
πρέσβευε ὑπὲρ ἡμῶν,
τῶν ἑορταζόντων
προστάτα θερμότατε.

β'. Τὸν θείῳ μύρῳ χρισθέντα,
τῶν Μύρων ἀρχιερέα,
ὁ τὰ μύρα σου τερπνῶς
ὀσφραινόμενος τῶν θαυμάτων,
πῶς σε ὑμνήσω
ἁμαρτίαις δυσωδῶν,
ἅγιε Νικόλαε;

1. In lucida tua vita
rutilans ut sol,
conspicuus orbi
miraculis factus es,
beate Nicolae sacer;
tu Christi famulus fidelissimus,
esto advocatus noster,
celebrantium te
defensor acerrime.

2. Divino linitum unguento,
te Myrorum pontificem,
cujus unguenta suaviter
perflant mihi ex miraculis,
quomodo te canam,
peccatis fœtens,
o sancte Nicolae?

X. Corsin. f. 22, 2° loco: ἕτερον κονδάκιον τοῦ ἁγίου Νικολάου, ἦχ. πλδ', φέρον ἀκροστιχίδα· Τοῦ Στουδίτου. Initium in palat. 288, f. 304.

1. τῷ φαεινῷ. Et hoc videtur, ut pleraque hactenus, αὐτόμελον opus Theodori in utroque modulo, ad quem multa exiguntur. — Post ἑορταζόντων intrusa videntur in C ἐν πόθῳ, quæ in cæteris ephymniis non comparent.

2. τὸν μύρῳ θείῳ C, cum in alio ordine passim hirmus revocetur. Cf. Roman. XXVI, iisdem turgentem παρονομασίαις. — ὡς τὰ μ. P. — ἁμαρτίας δυσωδίᾳ γέμων, Νικόλ. P. — ἴθυνόν μου P.

Ἀλλὰ νάρδῳ προσευχῶν
μύρισόν μου τοὺς τρόπους,
ἥδυνόν μου τοὺς φθόγγους
εἰς ὀσμὴν εὐωδίας νοητῆς,
πρὸς τὸ ὑμνεῖν σε ἀξίως,
τῶν ἑορταζόντων
προστάτα θερμότατε.

Verum nardo precum
perfunde meos mores,
emollias mea verba,
ut oleant suavitate mentis,
teque digno hymno exornent,
celebrantium te
defensor acerrime.

γ'. Ὁ κόσμος ὅλως, ὡς ἄλλου * φωστῆρος φωτοβολοῦντος, * ἐν τῇ μνήμῃ σου, σοφὲ, * φαιδρυνόμενος ἑορτάζει, * χαίρει, δοξάζει, * ἀναβλέπων νοερῶς * θαύματα πανάγαστα· * ἀλλὰ δεῦρο καὶ ἡμῖν * φοίτησον οὐρανόθεν, * ταῖς εὐχαῖς σου ἀστράψας, * τῶν παθῶν σκεδαννύων τὴν ἀχλύν, * τῶν σε ἀξίως ὑμνούντων, * τῶν ἑορταζόντων...

δ'. Ὑμνεῖται ὄντως ἀξίως * ἐν πᾶσι τὸ ὄνομά σου, * ὅτι χάριν ἐκ Θεοῦ * ταῖς ἀρεταῖς σου κατεκτήσω· * πάντας προφθάνεις * τοὺς ἐν πίστει ἐκτενῶς * αἰτοῦντας παρεῖναί σε· * καὶ γὰρ λύεις πειρασμοὺς, * ἀδικοῦντας ἐλέγχεις, * κτεινομένους λυτροῦσαι * θαυμαστῶς μεταβάλλων τὰς ὀργὰς, * ἱεροφάντορ παμμάκαρ, * τῶν ἑορταζόντων...

ε'. Σὺ τοὺς δεσμώτας ἐρρύσω * θανάτου τοῦ πικροτάτου, * φοβερὸς τῷ βασιλεῖ * ἐποφθεὶς αὐτῷ ἐν ὀνείρῳ· * πῶς γὰρ οὐκ εἶχεν * ἐπακοῦσαί σου φωνῆς, * ἅγιε Νικόλαε; * σὺ γὰρ ἔχεις ἐκ Θεοῦ * δύναμιν τηλικαύτην * πειρασμῶν ἀπαλλάττειν * τοὺς πιστῶς ἐξαιτοῦντας πρὸς Θεὸν * πρεσβευτὴν κινδυνευόντων, * τῶν ἑορταζόντων...

ϛ'. Τίς οὗτος ἄλλος ἐπώφθη * ἐν θλίψεσι προασπίζων * τοὺς ἁλόντας πειρασμοῖς, * ὥσπερ σύ ποτε, θεομάκαρ; * σὲ γὰρ ὑμνοῦσιν * ἀπαχθέντες εἰς σφαγὴν * ἄδικον τρεῖς ἄρνες σου· * ἄλλος ἄριστος ποιμὴν, * ἀφηρπάσω τοὺς ἄνδρας, * ὡς ἐκ στόματος λύκων, * φοβερὸς κατ' αὐτῶν, θαυμαστωθεὶς * ἐν τοῖς υἱοῖς τῶν ἀνθρώπων, * τῶν ἑορταζόντων...

ζ'. Οὐκ ἔστιν ὅστις ἐν λύπῃ * οὐ προσφεύγει

3. Totus orbis, ac si novum sidus effulgeat, in hac tua memoria, o sapiens, lumine perfusus festum agit, gaudet, gloriatur, mente suspiciens sacra prodigia. Agedum et nobis adesto cœlitus, tuis precibus illustra, pelle voluptatum caliginem, tu digno hymno canentium te et celebrantium defensor acerrimus.

4. Vere decet: omnium hymnos tuum nomen habet: gratiam enim quum a Deo tuis virtutibus acquisieris, ades omnibus qui cum fide tuam enixe exorant præsentiam; pericula enim solvis, injustos redarguis, ab interitu liberas morte damnatos, judicum iras prodigiose compescens, o beate hierophanta, celebrantium te...

5. Tu vinculis constrictos a morte eripuisti sævissima, dum terribilis imperatori in somno apparuisti. Curnam tuam valuisset vocem non exaudire, sacer Nicolae? Tantam enim tu virtutem a Deo habes averruncandi pericula a fidelibus, te apud Deum invocantibus ut protectorem periclitantium, celebrantium...

6. Quis alius similis visus est adesse oppressis et jactatis inter discrimina, sicut tu olim, o beate Dei? Canunt enim te abacti juvenes in necem injustam, tres oves tuæ. Alter pastor optimus, eruisti homines ex ore luporum, formidolosus illis, mirabilisque inventus inter filios hominum, celebrantium...

7. Non est ullus homo lugens, qui ad tuam

3. δοξάζει absol. — τῶν πιστῶς σε ὑμν. C in fine.
5. αὐτῷ additur. — ἐξαιτ. σε εὑρεῖν εἰς θεὸν πρεσβευτῆρα τ. κ. C. Cf. XII, 14.
6. ποτε add. — φοβερῶς C.

τῇ σῇ σκέπῃ, * τῶν κακῶν ἀπαλλαγὴν * ἐξαιτούμενος ἀνευρέσθαι· * σὺ δὲ εὐθέως * ὑπακούεις συμπαθῶς, * ἅγιε Νικόλαε, * διασείεις τὰ δεινὰ, * καταλλάττεις τὰς ἔχθρας, * ἀναφέρεις ἐκ βάθους * ἀθυμίας τῶν περιστάσεων * εἰς τὸ ὑμνεῖν σε ἀξίως, * τῶν ἑορταζόντων...

η'. Ὑπὲρ τὰ ἄνθη κυπρίζει * ἡ λάρναξ τῶν σῶν λειψάνων, * νοητῶς μυροδοτεῖς, * προστατεύων ταῖς εὐωδίαις· * τίς γὰρ ἐν πίστει * προσφοιτήσας οὐκ εὐθὺς * εὕρατο ὃ ᾔτησεν; * Ἀλλὰ δίδου καὶ ἡμῖν * ὀσφραίνεσθαι εὐψύχως πόῤῥωθεν * οὖσι ταύτης, * τῶν χαρίτων εἰς ῥῶσιν νοητῶς, * πρὸς τὸ ὑμνεῖν σε ἀξίως, * τῶν...

θ'. Δωρεῖσαι ὄντως ποικίλως * θεόθεν εὐεργεσίας· * ἂν εἰκόνι γὰρ γραφῆς * παρεδρεύῃ σοί τις ἐν πίστει, * ἔχει ὃ θέλει· * ἡ γὰρ χάρις σου πολλὴ, * ἅγιε Νικόλαε. * Ἀλλὰ νέμοις καὶ ἡμῖν * ἅπερ σε ἐξαιτοῦμεν, * χάριτι πρεσβειῶν σου * πρὸς τὸν ὄντως σου ἐραστὴν Χριστὸν, * εἰς τὸ ὑμνεῖν σε ἀξίως, * τῶν. .

ι'. Ἱκετηρίαν λαμβάνων * οὐ βραδύνεις ὑπακοῦσαι, * ὁ ἀκοίμητος φωστὴρ, * τοῦ ἐξάπτοντός σοι κανδήλας, * μέχρι γὰρ τούτου * ἐπιδίδως ἑαυτὸν * τοῖς θερμῶς ζητοῦσί σε· * κραταιά σου ἡ ῥοπὴ, * εὐμενής σου ἡ κλῆσις· * φίλος γὰρ χρηματίζεις * τοῦ δεσπότου τῶν πάντων καὶ τῶν σὲ, * Νικόλαε χριστομάκαρ, * νῦν ἑορταζόντων...

ια'. Τὴν χάριν ταύτην ἰδίως * ὑπὲρ πάντας τοὺς ἁγίους * σοι δεδώρηται Χριστὸς * προ-

non confugerit tutelam, deprecabundus donec a malis immunitatem reppererit. Tu statim exaudis propitius, sancte Nicolae; sæva removes, simultates concilias, eruis ex abysso temporum desperatorum, ut te digne canant, celebrantium...

8. Flagrantior floribus renidet arca tuarum exuviarum, tu mystica respergis unguenta, rerum suaveolentium præses. Quis enim in fide huc accedens, subito non repperit quod petierat? Sed nobis quoque da, suavi perfundi odore, qui procul ab illa sumus, in spiritualium robur gratiarum, ut digno te hymno ornemus, celebrantium...

9. Confers variis verisque modis divina beneficia. Si quis enim juxta imaginem tuam depictam cum fide tibi steterit se, habet quod vult. Tua enim copiosa est gratia, sancte Nicolae. Sed et nobis largire quæ exoramus, tuorum gratia suffragiorum apud vere tui amantem Christum, ut digno te hymno canamus...

10. Supplicia vota sumens, non exaudire moraris, fax nunquam extincta, quicumque tibi cereos accenderit : huc enim usque temet tradidis his qui te cum ardore inquirunt. Præpotens est tua in ultimis efficacia, benigna tua invocatio; amicus enim diceris Domini omnium, et eorum qui te hymnis prosequuntur, o Nicolae in Christo beate, et qui nunc celebrant te...

11. Hanc tibi peculiarem gratiam præ omnibus sanctis Christus largitus est, pro-

7. Rectius : μὴ τῇ σου πρ. σκέπῃ. — εὕρασθαι C. — περιστ. δεινῶν C addit, sed frustra : sunt enim sæpe tempora sat per se rebus desperata.

8. μυροδοτεῖς sic C (cf. supra μυροδοτοῦσαν) novum videtur. — εὕρατο refer ad similia in aor. byzantin. quæ nullibi tamen vidimus apud Theodorum. — ὠσφραίνεσθαι C, aut fortasse ὡς ὑμνεῖσθαι. Cum vitiosa scriptura luctamur in pagina fere evanida.

9. Haud sine consilio εἰκόνι γραφῆς affectata est tautologia ab egregio iconomachorum profligatore, ob celebritatem imaginis Nicolaï, de qua multum tunc temporis disputatum est. — παρεδρεύει C. — τίς πίστει C — ὄντως ἐρ. σου χρ. C.

10. οὐ βραδύνης καθυπακοῦσαι. C. — κἂν δῆλον vel κανδήλας, vox latino-græca in obscura C scriptura. — τῶν ἁπάντων C.

στατεύειν τῶν ἐν κινδύνοις· * ὅθεν σε ἅπας * ἀντιλήπτορα ζητεῖ, * ἅγιε Νικόλαε, * ὁ ἐν λύπαις ἐμπαρῶν, * τληπαθῶν ἐξορίαις, * ἀπαχθεὶς τοῦ τεθνάναι· * ἐπὶ πᾶσι γὰρ βοηθεῖς θερμῶς * εἰς τὸ ὑμνεῖν σε ἀξίως, * τῶν ἑορταζόντων...

tegendi periclitantes: unde te patronum unusquisque exposcit, sancte Nicolae, qui in ærumnas incidit, qui exiliis torquetur, qui morti traducitur; omnibus enim alacriter auxiliaris, ut te digno hymno canant, celebrantium...

ιβ'. Ὁ δι' ἡμῶν σὺ πρεσβεύων, * ἐκ βαθέων ἀνακράζω, * ἀντιλῆπτορ ἀγαθὲ, * κινδυνεύοντα πρόφθασόν με, * χεῖρα ὀρέξας * βοηθείας κραταιᾶς, * ἅγιε Νικόλαε, * καὶ ἐξάρας τῶν δεινῶν, * δεῖξον ὅσα ἰσχύεις * τοῖς υἱοῖς τῶν ἀνθρώπων, * ἵνα πάντες ὑμνῶσι διὰ σοῦ * νῦν τὴν ἐμὴν σωτηρίαν, * τῶν ἑορταζόντων...

12. O tu qui noster es sequester, ad te de profundis vocem attollo, bone patrone, periclitanti mihi adesto, manum porrigens auxilii potentis, sancte Nicolae, et dira removens, quantum valeas filiis hominum ostende, ut nunc omnes te canant ob meam incolumitatem, celebrantium...

ιγ'. Ὑπερκοσμίως ὑπάρχων, * καὶ χαίρων σὺν τοῖς ἀγγέλοις, * μνήσθητί μου πρὸς Θεὸν, * ἀναξίου τοῦ ὑμνῳδοῦ σου· * δίδου τὴν χάριν * ὁμοῦ πᾶσι τοῖς τὸ σὸν * τελοῦσι μνημόσυνον, * τῆς εἰρήνης βραβευτὰ, * ἔκδικε τῶν ἐν λύπαις, * πρεσβευτὰ τῶν ἐν κόσμῳ, * ἱερέων ἐγκαλλώπισμα σεπτὸν, * βασιλέων συμμαχία, * τῶν ἑορταζόντων * προστάτα θερμότατε.

13. Ultra mundos inhabitans et cum angelis gaudens, memento mei apud Deum, qui tuus immerito melodus sum; da quoque gratiam omnibus tuum recolentibus diem memorandum, tu pacis arbiter, vindex lugentium, intercessor mundi, sacerdotum decus augustum, imperatorum commilito, celebrantium te defensor acerrime.

11. βοηθεῖς γὰρ C.
12. δι' ἡμῶν σοι C. — πάντες ἀνυμνοῦσι C. — in fine νῦν id. om.

13. τοῦ ἀναξ. C. Cæterum ubique codex in detritis foliis multa passus est.

XI.

DE S. JOANNE CHRYSOSTOMO.

α'. Τῇ χρυσοῤῥείθρῳ αἴγλῃ * τῶν θείων δογμάτων σου, * τῆς ἐκκλησίας, πάτερ, * τοὺς θῆρας ἀπήλασας, * Χρυσόστομε ἱεροφάντορ, * ὡς ἀγαθὸς ποιμὴν θεαυγέστατος, * πρέσβευε ὑπὲρ ἡμῶν, * ὡς τῆς μετανοίας * προστάτης θερμότατος.

1. Tu, aurifluo sacrorum dogmatum fulgore ab Ecclesia, pater, belluas fugavisti, hierophanta Chrysostome, ut bonus pastor divino radio splendens, intercede pro nobis, cum sis pœnitentium zelosissimus patronus.

XI. Corsin. fol. 53, 2° loco: ἕτερον κονδάκιον τοῦ Χρυσοστόμου, ἦχ. πλδ', φέρον ἀκροστιχίδα· Τοῦ ἀσώτου ᾆσμα. En alterum jam notatum, præter ᾆσμα, modesti hymnographi latibulum.

1. Corsin. πρὸς τό· Τῷ φαεινῷ. — χρυσοῤῥείθρῳ nova solemnioris χρυσοῤῥόῃ varietas est, ejusdemque officinæ videntur tum θεαυγέστατος, tum infra χρυσοφθόγγῳ.

β'. Τὸν ῥεῖθρα πᾶσι πλουσίως * ἀναβλύζοντα σοφίας, * χρυσοφθόγγῳ διδαχῇ, * τῇ τοῦ Πνεύματος αἴγλῃ, * πῶς σε ὑμνήσω * ἐπαξίως, ἀπορῶ,* τίμιε Χρυσόστομε· * ἀλλ' ὡς ὄντως τὸν ἐμὸν * ἐπιστάμενος πόθον, * σύγγνωθί μοι καὶ δίδου * λόγον, ἵν' εὐφημήσω σε ᾠδαῖς * καὶ ἀνυμνήσω ἀξίως, * ὡς τῆς μετανοίας * προστάτην θερμότατον.

γ'. Ὁ θεῖος ὄντως χειμάῤῥους * πανσόφων τῶν σου λογίων, * ἀποστάζων κρουνηδὸν * ἀεννάως, εὐφραίνει * πάντας τοὺς πίστει * προσιόντας τῷ Χριστῷ, * ἅγιε Χρυσόστομε· * σὺ γὰρ πέλεις ἀληθῶς * μετανοίας ὁ κλήτωρ * καὶ τῶν ἁμαρτανόντων * ἐπανόρθωσις ἄῤῥητος, διὸ * ὁμόφρονές σε τιμῶμεν, * ὡς τῆς μετανοίας * προστάτην θερμότατον.

δ'. Ἰλύδους πάσης κακίας * ἀμέτοχος, θεοφάντορ, * καὶ παθῶν σωματικῶν * γεγονὼς ἀληθείᾳ, * ἔξω τοῦ κόσμου * καὶ σαρκὸς ἀναδειχθείς, * ὄλβιε Χρυσόστομε, * ποιμενάρχης ἀληθῶς * ἐχρημάτιζες θεῖος, τὸν λαὸν ἐκπαιδεύων * διδαχῇ χρυσοφθόγγω τὸν Χριστοῦ· * διό σε πάντες τιμῶμεν, * ὡς τῆς...

ε'. Ἀνέτειλεν ὡς φωσφόρος * ἀστὴρ ἐν τῇ οἰκουμένῃ * ἡ εὐφροσύνη νυνί· * μνήμη τῶν σῶν ἀγώνων * πάντας φαιδρύνει * ἀγλαΐζουσα πιστούς, * τίμιε Χρυσόστομε, * κοσμοπόθητε φωστήρ, * ἱερέων τὸ κλέος, * ποιμεναρχῶν τὸ φάος, * διδασκάλων μελίῤῥυτε ἀρχηγέ, * χρυσόῤῥημον ποιμενάρχα, * ὡς τῆς μετανοίας...

ϛ'. Συναγελάζῃ, θεόφρον, * χορείαις τῶν ἀσωμάτων * καὶ αὐλίζῃ ἐν φωτὶ * τῷ ἀδύτῳ Τριάδος, * αἶνον προσφέρων, * ἱερώτατε φωστήρ, ἅγιε Χρυσόστομε· * ἀλλὰ δεῦρο, καὶ

2. Quomodo ego te, qui aureis labris docens, spiritu irradiante, omnibus effundis opulenta sapientiæ flumina, dignis valeam hymnis canere, ambigo, o venerande Chrysostome. Tu vero, ut bene conscius amoris mei, ignosce, et da sermonem, faustis ut odis et hymnis meritis te laudem, ut pœnitentium promptissimum defensorem.

3. Torrens vere divinus sapientium tuorum oraculorum, perenni fonte scaturiens, lætificat omnes fideles Christo adhærentes, sancte Chrysostome, tu enim verus es pœnitentiæ præco et peccatorum stator stupendus, unde una mente honoramus te, ut pœnitentium animosissimum patronum.

4. Cujuscumque lutosæ corruptelæ, o Dei vates, corporisque libidinum expers omnino factus, mundum extra et carnem transegisti, fortunate Chrysostome, qui merito divinus pastor vocatus es, erudiens populum Christi ab ore aureo; ideo te omnes celebramus, ut...

5. Ut luciferi stella, mundo exorta est lætitia; tuorum præliorum memoria omnes fideles suavi splendore collustrat, venerande Chrysostome, dulce mundo sidus, pontificum gloria, ducibus gregum fax ardens, magistrorum melliflue primas, aurea voce oves agens, ut pœnitentiæ præsidium ardentissimum.

6. Immoraris, o theophore, ubi ludunt angeli, et aulas tenes ubi splendet lux inaccessa Triadis, hymnum proferens, sacratissimum sidus, sancte Chrysostome; agedum

2. Corsin. πρὸς τό· Τῷ θείῳ μύρῳ. Multum ad hujus hirmi elegantiam facit frequens heptasyllabus, qui post D. Ephrem adeo Syris volupe fuit. Suavitati audaciam Theodorus de more addidit, quum idem versus fere continuus sexies in prooœmio decurrat, septies vero in altera strophe; immo in hoc cantico, v. 4 non jam novem, sed septem quoque syllabis continetur. — ἄλλως C. — ὅπως εὐφημ. C.

3. τῶν σοφῶν σου λογίων C. — ἀποστάζων absolute, præter morem. — ὁμοφρόνως C male.

4. ἐν ἀληθείᾳ C. — χρυσοφθόγγῳ διδαχῇ C. — τὸν τοῦ Χρ. C.

5. ὥσπερ φωσφ. C. — τῇ mox om. C. — μελιῤῥύτων C. — lege elisum μελίῤῥυτ', nisi sequatur, ut sæpe, clausula abundans.

6. τῆς τριάδος C. — τοὺς πιστῶς σε τιμῶντας C.

ἡμῖν * φοίτησον οὐρανόθεν, * ταῖς εὐχαῖς σου ἀστράψας, * καὶ παθῶν ἐλευθέρωσον ἡμᾶς * τοὺς σε πιστῶς ἀνυμνοῦντας, * ὡς τῆς...

ζ'. Ὦ πόλις ὄντως ἁγία, * ὡς μέγιστον ἱερέα * δεδεγμένη ἐκ Θεοῦ * ποιμενάρχην φωσφόρον· * σοῦ γὰρ τὸ κλέος * καὶ τὸ φάος ἀτρεκῶς * πέλει ὁ Χρυσόστομος * καὶ τοῦ κόσμου δὲ παντός· * ἀλλὰ σὺ μακαρία, * ὅτι εἴληφας, ὅνπερ * ἐσυλήθης ἐκ φθόνου θησαυρὸν, * τὸν πάνσοφον ποιμενάρχην, * ὡς τῆς μετανοίας προστάτην...

η'. Τὸ ὄμμα ὄντως ὡς ἔχων * ὑλώδους ἐξ ἐμπαθείας * καθαρώτατον ἀεὶ, * τὸν τῇ πλάνῃ παρέντα * ἔγνως, τρισμάκαρ, * τῷ γυναίῳ ἐμπαθεῖ * βλέψει ἀτενίζοντα· * διὸ τοῦτον παρευθὺ * ἐκκαθάρας ἰάσω * διδαχαῖς σου, θεόφρον, * καὶ τοῦ πτώματος ἤγειρας ταχὺ, * θεοφάντορ ποιμενάρχα, * ὡς...

θ'. Ὁ πάλαι ὄφις τὴν Εὔαν * ἀπάτῃ ἰσοθεΐας * διὰ βρώσεως καρποῦ * παραδείσου συλήσας, * οὗτος τὴν ὄντως * ἀβασίλευτον δεινῶς * βρώσει ἐδελέασεν * δι' ἀμπέλου εὐμαρῶς, * ἵνα σοι προξενήσει * ἐξορίας τὸ κόνδυ· * οὐκ ἠνέσχου τὴν ἄδικον ὁρμὴν, * διὸ καὶ ταύτην ἐλέγχεις, * ὡς...

ι'. Ὑμνῶ σου, πάτερ, τὰ θεῖα * παθήματα, ἃ ὑπέστης * τοῦ δικαίου προεστὼς, καὶ δοξάζω τὴν χάριν * δόντα Θεόν σοι, * ἐκκλησίας ὁ φωστὴρ, * ὄλβιε Χρυσόστομε, * .... * ποιμεναρχῶν τὸ κλέος, * οἰκουμένης τὸ φάος, * καὶ τῶν προσκεκρουκότων τῷ Θεῷ * διαλλακτὰ πλουτοφόρε, * ὡς τῆς μετ...

ια'. Ἀσμάτων ᾆσμα, θεόφρον, * προσφέρει ἡ ἐκκλησία, * συγχορεύουσα νυνὶ * τῶν ἀγγέλων χορείαις, * καὶ συσκιρτῶσα * εὐφροσύνῳ χαρμονῇ, * γήθει καὶ ἀγάλλεται * καὶ δοξάζει τὸν Θεὸν, * ἐντρυφῶσα τῷ κάλλει * τῶν

huc, cœlitus adesto, precibus tuis coruscans, nosque a voluptatibus libera, cum fide recolentes te, ut...

7. O vere sancta civitas, ut quæ tantum pontificem a Deo recepisti, luciferum gregis antistitem. Chrysostomus enim est tuum decus, tuaque certa lux, sed et totius orbis: tu interim beata, quæ habuisti thesaurum, tibi ex invidia suffuratum, sapientem pastorem, uti pœnitentiæ vindicem...

8. Oculum habens omnino semperque a libidine spurca purissimum, vidisti, ter beate, quemdam fallacia implicitum, immodestos intuitus mulieri infigentem, eumque statim tua doctrina repurgans sanasti, o vir Dei, ac cito e lapsu erexisti, Dei interpres pastor, uti...

9. Vetus ille serpens, qui Evam spe deceptam fore ut, fructu comeso, similis Deo fieret, paradiso spoliavit, idem reginam, heu! non regiam, sævæ comestionis illecebra cepit, vite in promptu reperta, ut tibi propinaret exilii cyathum: non tulisti injustam impressionem, ideoque eam redarguisti, uti...

10. Cano tuos, o pater, quos sustinuisti cruciatus, justitiæ vindex, Deumque gloriosum dico, gratiæ tuæ largitorem, o fax Ecclesiæ, fortunate Chrysostome....., decus pontificum, orbis luminare, eorum qui Deum offenderunt locuples reconciliator, uti...

11. Canticorum canticum, o vir Dei, promit tibi Ecclesia, quæ nunc cum angelorum choreis choreas miscet, et tripudians gaudio, alacritate exultat, et triumphat, et gloriam Deo canit, laute ac splendide tuis de-

7. φαεσφόρον C. — ἀλλά σοι C. — διὰ φθόνον ἐσυλ. θησ. C. — τὸν σοφὸν C.

8. ἐμπαρέντα C.

9. κόνδυ, exotica vox, sed rara et elegans, maxime de exule. — ἠνέσχου γὰρ C.

10. τὸν θεῖαν χάριν C. — v. 8 excidit, aut alter heptasyll. — φάος Nazianzeno solemnis diæresis, hactenus ignota nostris melodis, quater in hoc emicat, ne lateat Theodorus. — καὶ τῶν πάλαι C.

11. Ter quoque ᾆσμα, quaterve recidit. — f. σοι ἐκκλ. — ταῖς χορείαις C. — τὰ κάλλη C. — ὡς ποιμένα C.

σεπτῶν διδαχῶν σου * καὶ ὑμνεῖ σε ποιμένα ἑαυτῆς * καὶ διδάσκαλον θεῖον, * ὡς...

ιβ'. Σὺ τοὺς ἀσπλάγχνους εὐσπλάγχνους * ἐνθέῳ σου νουθεσίᾳ * ἀπειργάσω, ὦ σοφὲ, * παραινῶν μεταδοῦναι * πᾶσιν ἀφθόνως * τοῖς αἰτοῦσι συμπαθῶς, * τίμιε Χρυσόστομε, * μετανοίας ὁδηγὲ * καὶ ἐλεημοσύνης * παναρμόνιε λύρα, * ποιμενάρχα φαεινὲ τῶν γηγενῶν, χρυσόῤῥημόν τε παμμάκαρ, * ὡς...

ιγ'. Μὴ διαλείπῃς, τρισμάκαρ, * πρεσβεύειν ὑπὲρ τοῦ κόσμου * καθαρώτερον, νυνὶ * παρεστὼς τῇ Τριάδι, * ὅπως τε πάντες * ἐκβιοῦντες εὐσεβῶς * μνήμην ἐκτελοῦμέν σοι· * ἐξελοῦ τῶν πειρασμῶν, * περιστάσεως ῥῦσαι, * μετανοίᾳ τὸν βίον * διανύσαι ἀξίωσον ἡμᾶς * τούς σε πιστῶς ἀνυμνοῦντας, * ὡς...

ιδ'. Ἀσμάτων αἶνον προσφέρω * ὁ ὑμνῳδὸς ὁ πτωχός σου, * ἐξαιτούμενος εὑρεῖν * λύσιν τῶν ὀφλημάτων· * βρίθω γὰρ ὄντως * ἁμαρτάδων τῷ ἑσμῷ, * τίμιε Χρυσόστομε, * τῇ ἀχλύϊ τῶν παθῶν * ἐζοφώθην ὁ τλήμων· * ἀλλὰ δίδου καιρόν μοι * μετανοίας, ὡς ποιμὴν φωταυγὴς, * καὶ τῆς γεέννης με ῥῦσαι, * ὡς τῆς μετανοίας * προστάτης θερμότατος.

pasta sacris doctrinis, teque hymnis adornat, suum uti pastorem, divinumque magistrum,...

12. Tu immisericordes fecisti benignos deifico tuo monitu, o vir sapiens, quo hortaris ut larga manu dona erogent, omnibus mendicantibus compatientes, Chrysostome sacer, dux pœnitentiæ, eleemosynæ lyra omnibus canora, luculente pastor animarum, aureumque flumen beatissimum, uti...

13. Ne desistas, ter beate, mundo purissima præstare suffragia, qui modo stas coram Triade, ut pie viventes nos omnes, tuam recolamus memoriam, eripe e periculis, ab angustiis erue, dignos fac nos vitam transigere in pœnitentia, qui cum fide te celebramus, uti...

14. Canticorum plausus tibi voveo, egenus ego tuus melodus, deprecans ut reperiam peccatorum veniam; premor enim examine noxarum, venerande Chrysostome, caligine passionum obtenebratus sum, infelix, sed pœnitentiæ da mihi tempus, sicut pastor lumine coruscus, meque a gehenna salvum fac, uti pœnitentiæ præsidium strenuissimum.

12. μεταδίδειν C. — παναρμόνιος C. — τε post χρυσόῤῥ. om. C. — Et quam belle et juste Chrysostomus salutatur *lyra eleemosynæ*. Vix enim ulla est illius aurea concio, vel in exponendis scripturis, quæ non desinat in pauperibus commendandis.

13. ἐκτελοῦμεν fut. attic. rectissime post ὅπως. — διανοῖσαι καταξίωσον sic C, certe Theodoro placent ἀνύω, διανύω. — πιστῶς σε C.

14. In v. 2 claudicante ὁ πτωχὸς ὑμν. σου C. — ὡς ποιμὴν φωτολαμπὴς καὶ γεέννης C.

XII.

DE S. THEODORO DUCE.

α'. Ἀνδρείᾳ ψυχῆς
    τὴν πίστιν ὁπλισάμενος,
    καὶ ῥῆμα Θεοῦ

1. Virili animo
    fidei arma induens,
    verbumque Dei,

XII. Corsin. f. 60: Μηνὸς φεβρουαρ. ζ', κονδάκιον τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου. ἦχ. β', φέρον ἀκροστιχίδα· Τοῦ Στουδίτου.

1. Corsin. πρὸς τό· Τὰ ἄνω ζητῶν. Hirmum quære

ὡς λόγχην χειρισάμενος,
τὸν ἐχθρὸν κατέτρωσας,
τῶν μαρτύρων κλέος, Θεόδωρε·
σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ
πρεσβεύων μὴ παύσῃ
ὑπὲρ πάντων ἡμῶν.

β'. Τῶν ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος
δεῦτε πάντες τοῖς ὕμνοις,
ὡς στεφάνοις, πιστοὶ,
Θεόδωρον καταστέψωμεν·
δῶρον Θεοῦ γὰρ μέγα τῷ κόσμῳ
ἀναδείκνυται λάμψεσι τῶν θαυμάτων·
τὸν γὰρ ἐχθρὸν
ἐκνικήσας Βελίαρ, δυνάμει Χριστοῦ,
ὀμβρίζει, ἀντὶ αἱμάτων,
κρουνηδὸν ἰαμάτων τὰ ῥεύματα·
ἐν τούτοις οὖν πᾶσι χαίρων σὺν Χριστῷ,
καὶ διδοὺς τὴν εἰρήνην ἀνέκλειπτον,
πρεσβεύων μὴ παύσῃ
ὑπὲρ πάντων ἡμῶν.

ut manu lanceam, intentans,
hostem confodisti,
decus martyrum, o Theodore;
quibuscum Christo Deo
supplex ne desinas esse
pro omnibus nobis.

2. Pugilum resplendentem decorem,
agitedum omnes, hymnis,
sertorum vice, o fideles,
Theodorum coronemus,
qui magnum mundo Dei donum
apparet fulgoribus miraculorum;
hoste namque
prostrato Beliale, virtute Christi,
effundit, non jam cruorem,
sed fontis instar sanationum flumina;
in quibus omnibus cum Christo gaudens,
pacemque dans ininterruptam,
tu ne desinas suffragari
pro omnibus nobis.

γ'. Ὄντως φρικτὸν τὸ πρώτιστον δρᾶμα,* ὅτε πίστει ἑδραίᾳ * ἐν τῇ λόγχῃ αὐτοῦ * τὸν δράκοντα ἐθανάτωσεν, * ὄφιν ἐν τούτῳ ἄλλον νικήσας, * τὸν εἰσδύσαντα πρώην ἐν παραδείσῳ, τόν τε Ἀδὰμ * δελεάσαντα θανάτῳ, βέλει φθορᾶς, * νυνὶ δὲ τῇ ἀθλοφόρου * ἐκκρουσθεὶς ἐν ἀνδρείᾳ νενίκηται· * πρὸς ταῦτα οὖν πέλει τοῦ κόσμου χαρὰ, * καὶ αἰώνια χαίρει ὁ ἔνδοξος, * πρεσβεύων...

δ'. Ὑπεισελθὼν τοῖς σκάμμασι, μάρτυς, * ἔστης ὅλος ἀτρέμας, * ὡς ὁπλίτης Χριστοῦ, * Θεόδωρε ἀνδρειότατε· * φόβον θανάτου

3. Stupenda vere est prima scena, in qua cum robusta fide draconem cuspide exanimavit, alium in eo serpentem jugulans, illum olim paradiso insertum; qui Adamum esca mortis, jaculo corruptionis decepit, nunc forti sub pede ovantis athletæ conculcatus debellatur. En igitur propterea mundi gaudium est, dum ipse æterna lætitia gloriosus fruitur, suffragari...

4. Exiliens in stadium, o martyr, totus stetisti impavidus, ut Christi miles, Theodore fortissime : interitus carnei metum

apud Roman. XXVII, 210. Menæa hoc trop. 1. retinent, habetque fortasse Noster ab antiquiore melodo receptum. — πίστ. θωρακισάμενος C. — μέγιστε Θεόδωρε C.

2. Corsin. πρὸς τό· Τράνωσον, cf. Roman. XXII, p. 170. Cum cætera edd. libri neglexerint, hoc 2 trop. servarunt. — ὑμν. τῶν στεφάνων edd. — ταῖς τῶν θαυμ. iid. — Βελίαρ ἄθλοις σεπτοῖς ib. — ἱερῶν ἰαμάτων χαρίσματα ib. cum C. — πᾶσι χαίρει Χριστὸς C. — καὶ δίδωσιν εἰρήν. ἀν. διὸ βοῶμεν αὐτῷ πρ. Sic melodos editi libri potius pervertere quam servare solent. — καὶ εἰρ. ἀνέκλ. δίδωσι C. — Ephymnia habent aliquando πρεσβεύων ἀπαύστως, vel πρεσβεύοντα, vel πρεσβεύειν, quas varietates ambiguas negligimus.

3. ὅτι πίστ. C. — θανάτῳ rhythmo nocet, f. τῷ καρπῷ. Stat series, cum βέλος φθορᾶς idem sit ac θανάτου τὸ κέντρον in I Cor. XV, 55. — καὶ βέλει C. — πρὸς ταύτην C. — αἰώνια sic C, adverb. jubente rhythmo.

4. ὅπως Θεὸν C. — κηρύξας καὶ ποιητὴν, αἰσχ. τὰ μαξ. C.

σαρκὸς μὴ πτήξας, * Χριστὸν μόνον δὲ τρέμων τὸν βασιλέα, * ὥσπερ Θεὸν, * τοῦτον πάντων ἐκήρυξας τὸν ποιητὴν, * αἰσχύνεις τε Μαξιμίνου * βδελυρὰ τῶν εἰδώλων σεβάσματα, * ῥωννύμενος θείᾳ ἀγάπῃ τὸν νοῦν, * τὸ σὸν σῶμα κολάσει ἐκδέδωκας, * πρεσβεύων...

ε'. Σὺ πτερωθεὶς τῷ θείῳ σου ζήλῳ, * ἦλθες, ἧκες εὐθύμως, * καὶ ἐμπρίζεις θεᾶς * τέμενος, τὸ μητροείδωλον· * οὐδὲ γὰρ φέρεις Χριστοῦ τὴν δόξαν * μετατίθεσθαι βλέπων ἐν τοῖς εἰδώλοις· * ὅθεν ποινὰς * ὑπομείνας βασάνων ἐν τῇ σου σαρκὶ, * κραυγάζεις· Οὐδὲν χωρίσει * ἀλγεινὸν τῆς Χριστοῦ με φιλήσεως· * ἐν τούτοις συμπάσχω αὐτίκα αὐτῷ, * καὶ συντεύξομαι δόξης τῆς ἐν οὐρανῷ, * πρεσβεύων...

ς'. Ταῦτα παθὼν, πανεύφημε μάρτυς, * χαίρων οὕτως εἰσῆλθες * ἐν ζοφώδει εἱρκτῇ * ὠμότητι τοῦ δικάζοντος. * Νύκτωρ τὸ φῶς ὁ Χριστὸς ὀφθείς σοι· * Σὺ, Θεόδωρε, ἔφη, χαρᾷ ἀγάλλου, * ἐν οὐρανῷ * μετ' ἐμοῦ γὰρ χορεύσεις ζῶν εἰς ἀεὶ, * ἀνθ' ὧν με οὐκ ἐξηρνήσω * ἐπὶ τοῦ παρανόμως δικάζοντος, * ἀνθρώπους τε πάντας κινήσω ᾠδαῖς * τοῦ γεραίρειν σε πάντοτε μὴ ἐκκακεῖν, * πρεσβεύοντα...

ζ'. Ὄντως ἐκστὰς πρὸς Κύριον μάρτυς, * ὥσπερ ἄλλου ἀθλοῦντος, * τὰς βασάνους στεῤῥῶς * ὑπέφερες τῶν τυπτόντων σε· ὅθεν πολλαῖς σὺν ἄλλαις αἰκίαις, * καὶ τὴν πάνδεινον ξέσιν καθυπομένεις, * ἕως αὐτῶν * τῶν ὀστέων ἐμφανῆναι τῶν σῶν πλευρῶν. * Ὢ θαῦμα! ὢ ξένον δρᾶμα! * πῶς οὐδὲν τῶν βασάνων μεθῆκέ σε * τῆς θείας ἀγάπης τοῦ πάντων Θεοῦ, * τοῦ καὶ δόντος σοι χάριν ἀένναον * πρεσβεύων...

η'. Ὑπὲρ τὸ πῦρ θερμότερος πέλων, *

spernens, Christum times, solum imperatorem, utpote Deum; hunc universorum prædicasti conditorem, pudorique traducis turpia Maximini idolorum sacraria, divina dum mens confortatur charitate, corpus supplicio tradis, suffragatus...

5. Alas tibi deifico zelo subdente, ibas, currebas alacriter; et comburis Deæ sacrarium Mithræ idolum: jam enim videre non pateris Christi gloriam transferri in simulacra; unde pœnas tormentorum in carne tua sustinens, clamas: « Nihil doloris me « separabit ab amore Christi; in his cum « illo libenter compatior, et in cœlo gloria « fruar, supplex... »

6. Hæc passus, celeberrime testis, lætus sic introisti in tetrum ergastulum ob judicis immanitatem. Noctu vero Christus lumen tibi apparens: « O Theodore, inquit, lætitia « exulta: mecum enim in cœlo chorum a« ges, vivens in ævum, propterea quod me « non negaveris, coram iniquo judice, cunc« tos mortales exciebo, te hymnis ut cele« brare eos non pigeat, supplex... »

7. Vere ad Dominum mente raptus, o martyr, ac si alius decertaret, cruciatus fortiter sustinuisti; unde multa præter alia tormenta, etiam diram pertulisti excoriationem, eousque ut ossa tuorum laterum conspicua forent. O prodigium! o stupendum facinus! Quomodo nihil suppliciorum te transtulit a divina charitate Dei omnium, tibique gratiam dedit inexhaustam, suffraganti...

8. Ferventior igne quum esses, viriliter

5. ἐμπρίζεις sic C, in lexico Sophoclis ἐμπρίζω idem est quam ἐμπυρίζω vel ἐμπρίω. Hoc satius est, quum de incendio templi acta sileant, memorent vero confracta dissectaque simulacra. — τέμενος τὸ μητρείδωλον sic C, rupto metro, nec liquet in actis de quali numine confracto agatur. — σου add. ante σαρκί. — φιλώσεως C. Cf. Rom. VIII, 35. Bolland. febr. VII, t. II, p. 22 sqq.

6. χορεύσῃ C. — ἀνθ' ὧν *propterea*, ἐπὶ *coram*, ut lubenter Romanus.

7. f. ὥστε αὐτὰ τὰ ὀστέα. — φανῆναι C.

8. Acta S. martyris cum ipsius Bollandi com-

ἔστης μέσον ἀνδρείως * τῆς ἀφθείσης φλογὸς, * καιόμενος καρτερώτατα, * ὅπως αὐτή σε ἡ φλὸξ ᾐδέσθη, * καμαροῦσα γὰρ εἶχεν· ὡς πῦρ χρυσίον, * σοῦ τὴν ψυχὴν * προσαγαγὼν, ὥσπερ θῦμα ἑκούσιον, * ἀνῆλθες πρὸς ὃν ἐπόθεις, * μετασχὼν οὐρανίου λαμπρότητος· * ἐν τούτοις γὰρ φθάσας εὐφραίνῃ ἀεὶ, * ἀλλὰ ἄνωθεν τὸν κόσμον εἰρήνευε, * πρεσβεύων...

stetisti in media flamma accensa, constantissime ambustus, ut ipse te ignis formidaret; in fornicem enim se erexit, tuque ut aurum fornace purgatum offerens tuam animam, tamquam victimam spontaneam, ascendisti ad eum quem amabas, particeps superni splendoris; illuc enim properans exhilaratus es in perpetuum, sed desursum orbem in pace compone, supplex...

θ'. Διὰ Χριστὸν, πολύαθλε μάρτυς, * ταῦτα πάντα τελέσας, * τῶν θαυμάτων πηγὴ * γεγνώρισαι, θεοδώρητε· * μάρτυς ἐκεῖνος ὁ παῖς σὺν ἄλλοις, * ὃν αἰχμάλωτον εὗρες καὶ πεπραμένον, * καὶ χρηστευθεὶς * συνεπέφερες εὐθὺς τῷ ἵππῳ λευκῷ, ἀλόγῳ, ᾧπερ ἐδρέψω, * παραδοὺς τῷ οἰκείῳ γεννήτορι· * ἐν τούτοις γὰρ ὤφθης μηδέπω ἐῶν * τοὺς πιστούς σε αἰτοῦντας ἐπικουρεῖν, * πρεσβεύων...

9. Propter Christum, o multo pugilatu invicte martyr, ea postquam peregisti, patuisti prodigiorum fons, tu a Deo donatus; testis est puer ille, inter alios, quem captivum invenisti et venumdatum, commotusque humanitate, illico eum auferebas in candido equo, quo jumento insidebas, restituens illum proprio genitori : his quippe beneficiis significasti te non deesse unquam fidelibus invocantibus auxilium tuum, supplex...

ι'. Ἴσος οὐδείς σοι τάχιον, μάρτυς, * δεῖξαι δρόμους φευγόντων, * καὶ κλεπτόντων ὁρμὰς, * ἡνίκα τις ἐν εὐχῇ λάβῃ σε· * ἄλλο γὰρ δρέπανον σὺ ἐπώφθης, * ὃ ἑώρακε πάλαι ὁ Ζαχαρίας * κατὰ κλεπτῶν· * ἀπειλαῖς γὰρ ἀρρήτοις τούτους ἐκφοβῶν, * ἐφάνης ἐν ἀμφοτέροις, * συμπαθὴς καὶ προστάτης θερμότατος, * παρέχων τὰ πάντα τοῖς πᾶσιν ἁπλῶς * ὡς ἀξίως, καὶ ἔχων τὸ ἄξιον, * πρεσβεύων...

10. Nemo fortasse citius quam tu, martyr, detegere facit fugientium diverticula et prædonum insultus, si quis te precibus præoccupaverit; tu enim quasi falx illa assurgis, quam vidit olim Zacharias, adversus prædones : minis enim occultis fures terrefaciens, ambidexter apparuisti, et compatiens et acerrimus vindex, qui æquo jure omnibus omnia reddis, et æqualitatem servas, supplex...

mentariis semel et iterum latine data sunt p. 28 et 30 et tertio iisdem fere verbis in append. p. 892. In quibus tamen nihil legitur de his quæ a trop. 8 inde in finem referuntur. Quod quidem silentium vix curioso lectori rem non facesserit. Crescit dubium, mirumque in modum angit, quo penitius singula inde verba in trutina pensitantur. Obstrepit quasi novus melodus, a priore non solum discors, sed adeo vecors, rudis, incomptus, ut Theodorum in Theodoro quæras. Jam plus semel vestigia furis odoratus sum, manumque furfure pollutam deprehendi. Quam saltem uni tropario jam supra injecit, nunc audacior in quinque grassatur, donec integrum, ut infra evincetur, prolixumque poema, cum summa Theodori injuria, in medium proferat. Agedum, eum aggrediamur, et paucis vapulet.

9. αὖθις τῷ ἵππῳ. Semel satis est tam abrupte album illum equum in scenam invexisse; αὖθις ergo expungatur, ac fortasse melius emendaveris αὐτόν. Sed quid isthoc ἀλόγῳ ᾧπερ ἐδρέψω, sub nomine Theodori, apage! — Vix salva grammatica, sed præter indolem linguæ, pedestri serie ἐῶν regit τοὺς πιστοὺς, αἰτοῦντας vero sequens ἐπικουρεῖν, quibus adde alterum partic. πρεσβεύων.

10. Ἴσος οὐδ. σ. τάχειον sic C. — λάβῃ σε inepte. — δρέπανον. Ut equus, falx e machina. Cf. Zachar. V, 1, τῶν ο'. *Falx*, vulgato interpreti est *liber volans*. Et quam eleganter in coronide ἁπλῶς ὡς ἀξίως καὶ ἔχων τὸ ἄξιον!

ια'. Τίς ἱκανὸς θαῦμα πᾶν σου φράσαι; * πλὴν γε λέξω ὀλίγα, * πῶς ὁ ὄρνιν φαγὼν * ἀπώλεσεν ἵππον κάλλιστον, * ὅμως δὲ μάρτυς Χριστοῦ ὑπάρχων, * πῶλον ἕτερον δίδως τῷ στρατιώτῃ, ἵνα δειχθῇς * ἀμφοτέροις ἰσχύων, ὡς φίλος Χριστοῦ. * Σὺν τούτοις ἐρῶ τὸν δίσκον, * ὃν ὁ κλέψας κυρίῳ ἀπέδοτο· * αὐτὸν γνωρίζεις, μάκαρ, στεῤῥῶς, * καὶ δεικνύῃ προστάτης εὐήκοος, * πρεσβεύων...

ιβ'. Ὅλα εἰπεῖν οὐκ ἔστιν ἃ ἔδρας· * ἓν δὲ φράσας ἢ δύο, * ἀπολείπων σιγῇ * τὰ ἕτερα, ἀναμνήσομαι· * τερπνὴν μάχαιραν εὗρε κειμένην * καὶ ποθῆσαν παιδίον αὐτὴν, ὡς εἶδεν, * εἶτα εὐθὺς * ἐξηράνθη τὴν χεῖρα, καὶ ἀμηχανῶν, * ἐβόα πρός σε· ὦ μάρτυς, * παιδικῶς πάλαι ἦρα τὴν μάχαιραν! * ὡς δὲ πατὴρ φιλόπαις αὐτῷ * ἀπέδωκας διόλου τὸ ἴδιον, * πρεσβεύων...

ιγ'. Ὕστατον φόβον τῆς πυρκαϊᾶς, * ὅπου ὤφθης συντρέχων, * καὶ σβεννύων αὐτὴν * τῷ πίστει σε προσκαλέσαντι· * οὕτω παρέχεις πάντοτε πᾶσι * σὲ τὸν μάρτυρα θερμῶς ἐπιβοῶσιν· * ἀλλὰ τὴν σὴν * προστασίαν παράσχου ἑκάστῳ ἡμῶν * ἐν οἷσπερ ἐπικαλοῦμεν, * εὐλογῶν τοὺς τιμῶντας τὴν μνήμην σου· * σὺν τούτοις οὖν ἅμα φύλαττε ἐμὲ * τὸν ᾠδήν σοι ἐπάξιον ᾄσαντα· * πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

11. Quis potis est fari quodcumque tuum portentum? At saltem pauca dicam; quomodo scilicet qui avem comedit, equum amisit optimum; verum testis Christi qui manes, alterum militi jumentum dedisti, ut hinc et inde potentem te cernerent Christi amicum. Inter hæc loquar de disco, quem ipse fur domino restituit: hunc facis notum, o beate, et agnosceris defensor propitius, suffragantem...

12. Quanta feceris, dicere non est: unum alterumve referens, cum cæterorum silentio, hæc memorabo. Puer, cum elegantem invenisset gladium, et concupierit eum, statim ut vidit, manu subito exaruit, et angore confectus, ad te, martyr, clamavit: « O martyr, olim imprudens puer abstuli ensem. » Tu vero, ut pater filii amans, ensem illi penitus proprium dedisti, supplex...

13. Ultimo dicam timorem incendii, in quo statim conspectus fuisti currens, ignemque extinguens, ob eum qui te cum fide invocavit. Sic semper concedis præsidium omnibus te martyrem acclamantibus; age, nobis largire tuam singulis tutelam, quoties te appellamus, benedicens celebrantibus tuam memoriam: quibuscum me proinde serva, tibi debitam oden modulatum, tu supplex indefessus pro omnibus nobis.

11. Latine potius quam græce pinguis homo incipit. θαῦμα πᾶν frangit rhythmum. Et quis seriem rerum extricabit? ἐρῶ τοῦ δισκου C, et sic fort. melod. græco-latinus, pro *disci meminerim*, vel fallacia verbi ἐρᾶν pro ἐρεῖν. — τῷ κυρίῳ C. — καὶ δεικνύει σε προστάτην εὐήκοον πρεσβεύοντα C, vix felicior quam supra clausula.

12. ἀπὸ τούτων σιγῇ τ. ἕ. ἀναμ. C. Quis fando audivit unquam, *silentio memorari?* Iterum vide italum deceptum suo sermone *silentio prætermittam*. Legesis ut nos. — τὸ ἴδιον C. metrum syllabicum utcumque stat. Sed pro modulo accentuum sunt fere omnia susque deque vertenda, ex. gratia: εὗρε τερπνὴν παιδίον κειμένην | μάχαιραν, καὶ ποθῆσαν αὐτὴν, ὡς εἶδεν etc. in cauda pessima sunt: ἀπέδωκας δ. τ. ἴ. quæ frustra ad modulum sanumque sensum reducere tentaveris, nisi forte τὸ ἴδιον fiat χειρίδιον, ne puelli manus arida maneat.

13. θερμῶς claudo v. additur, ubi μάρτυρα τοῖς ἐπιβοῶσιν C.

XIII.

DE SS. CYRO ET JULITTA.

α΄ Ὁ τῷ κράτει
τῆς ἰσχύος σου
τὴν τοῦ ἐχθροῦ
καταλύσας ἐπικράτειαν,
καὶ κατ' αὐτοῦ
ἐνισχύσας τὸ ἀνθρώπινον,
Χριστὲ ὁ Θεὸς,
καὶ γυναῖκας ἔδειξας
ὑπεραθλούσας σου,
καὶ νηπίων στόματα εὐλογοῦντά σε,
τὸν μόνον ἐν ἁγίοις ἀναπαυόμενον.

1. Tu qui potentia,
virtutis tuæ
inimici
dissolvisti tyrannidem,
et adversus eum
robur hominum instruxisti,
Christe Deus,
mulieres quoque ostendisti
expugnantes pro te,
et infantium ora bene tibi locuta,
tu qui solus inter sanctos quiescis.

β΄. Ὦ ἱερᾶς μητρὸς καὶ γενναίας, * ὦ πιστῆς καὶ κοσμίας, * καὶ αὐτὴν Ἀβραὰμ * ἱερουργίαν τὴν ἄθυτον * ἐκνικησάσης τῇ καρτερίᾳ! * ἐν καιρῷ γὰρ ἀγώνων ἡ Ἰουλίττα * τὸν ἑαυτῆς * ἀραμένη υἱὸν νηπιάζοντα, * ἐχώρει ἐν τῷ σταδίῳ * καὶ πυρὸς καὶ ξιφῶν μὴ φροντίσασα, * ἑαυτὴν καὶ τὸν παῖδα κατέθυσε, * τὸν Χριστὸν ἀντὶ πάντων ποθήσασα, * τὸν μόνον...

2. O sancta et generosa mater, o fidelis et decora parens, quæ ipsum Abrahæ sacrificium incruentum tua superasti fortitudine! In hora namque certaminum Julitta suum auferens filium adhuc puerascentem, irrupit in stadium, spretisque flammis et ensibus, semet suumque filium immolavit, Christum super omnia diligens, solum in sanctis quiescentem.

γ΄. Διὰ Χριστὸν ὁ Κήρυκος βλέπων * τὴν μητέρα γενναίως * καρτεροῦσαν πληγαῖς, * καὶ τὸ σωτήριον ὄνομα * ὁμολογοῦσαν ἐν παῤῥησίᾳ, * μιμηλὴν καὶ αὐτὸς τὴν φωνὴν ἠφίει, * χριστιανὸν * ἑαυτὸν ὀνομάζων ὁ ἅγιος, * δεικνύων τοῖς παρανόμοις * ὡς καὶ φύσις νηπίων ψελλίζουσα * τὸν Χριστὸν καταγγέλλειν βιάζεται * ποιητὴν καὶ Θεὸν καὶ Υἱὸν Θεοῦ, * τὸν μόνον ἐν ἁγίοις ἀναπαυόμενον.

3. Pro Christo ut vidit Cyricus matrem vulnera fortiter patientem, nomenque salutare confessam audacter, eam ipse imitatus, vocem emisit sanctus infans, se nominans christianum, iniquis ostendens hominibus, quomodo vel infantium natura balbutiens cogatur pronunciare Christum creatorem et Deum, Deique Filium, solum in sanctis quiescentem.

XIII. Corsin. f. 133: Μηνὶ Ἰουλίῳ ιε΄, τοῦ ἁγίου Κηρύκου καὶ Ἰουλίττης κονδάκιον, ἦχ. β΄, φέρον ἀκροστιχίδα· ᾠδή. Ποίημα Θεοδώρου. Vix dubium, quin plura exciderint, cum ne una quidem vox ᾠδὴ plena sit. Cum autem inter anonyma poemata, octo eamdem acrostichidem teneant, quæstio erit an plura ex illis Theodori sint.

1. Πρὸς τό· Ὁ σοφίσας. Hirmus satis rarus idem est qui in Roman. cant. XXII, quem sero inventum, tandem ad calcem p. 177 præpropere restitui, nunc vero suis omnibus numeris absolvere juvat. Hic vero v. ultim. una syllaba auctus est.

2. πρὸς τό· Τράνωσον, cum solita in ultimis versiculis varietate.

3. υἱὸν τοῦ Θεοῦ G.

XIV.

DE CAPITE S. JOANNIS BAPTISTÆ.

α'. Ἐκ τῆς γῆς σου προφανεῖσα ἡ κάρα,
τοῦ ἡλίου
ὑπερλάμπει τὸ φέγγος,
τὰς ἀκτῖνας φωτοβολοῦσα
τῆς δικαιοσύνης
τοῖς πίστει σε τιμῶσι
καὶ κραυγάζουσιν·
Ἡ φωνὴ τῆς πυρίνης σου γλώττης
καταφλέγει τὴν ἁμαρτίαν,
ἐν προφήταις ὁ πρώταθλος.

β'. Στέφανον ἐκ συμπλοκῆς
ἱερῶν ᾀσμάτων
προσαγάγωμεν τῇ κάρᾳ
τοῦ Προδρόμου ἐπαξίως,
ἐκ τῆς γῆς
λαμψάσῃ σήμερον·
καὶ γὰρ αὕτη νῖκος
κατὰ τῆς πλάνης
ἤρατο, τὴν Ἡρωδικὴν
παράνοιαν δικασαμένη·
ὑπὲρ δὲ νομίμου θεσμοῦ
τιμωρητικῇ ἐτμήθη αἰχμῇ,
ἵνα σωζόμενοι
ἐκ ψυχῆς πρὸς αὐτὸν
ἀνακράξωμεν·
Ἡ φωνὴ τῆς πυρίνης σου γλώττης
καταφλέγει τὴν ἁμαρτίαν,
ἐν προφήταις ὁ πρώταθλος.

1. Ex humo emicans tuum caput,
solis ipsius
superat claritatem,
dum radios jaculatur
justitiæ
in eos qui te cum fide colunt,
et clamant:
« Vox flammeæ tuæ linguæ
« comburit peccatum,
« tu prophetarum primus athleta. »

2. Coronam contextam
sacris carminibus
imponamus capiti,
ut decet, Præcursoris,
e terra
hodie fulgenti;
victoriam namque retulit
adversus Herodis
versutiam,
damnata ejus dementia:
at justæ legis causa,
tyrannica truncatur cuspide,
ut salvi
ad hunc ex animo
vociferemur:
« Vox oris tui flammei
« incendit peccatum,
« tu primus athleta prophetarum. »

γ'. Τίς αὕτη ἡ ἱερὰ * κεφαλή σου, μάκαρ, * ἧς οἱ βόστρυχοι ψεκάδας * ἀποστάζουσι

3. Quale est sacrum hoc tuum caput, beate, cujus cincinni stillicidia miraculorum

XIV. Corsin. f. 65: Μηνὸς φεβρουαρ. κδ', κονδάκιον εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, ἦχ. δ', Στουδίτου.

1. αὐτόμελον videtur, a Theodoro conditum, nec nisi in hoc et sequenti poemate occurrit. Orditur in utroque poemate a v. trisyllabo, nisi ultimum trop. obstaret. Sed variantur v. 2, 3 in seq. XV. Extat procem. in Horol. crypt. a. 1677.

2. δικασ. παράν. C. — ὑπὲρ νομ. C, quæ ex constanti rhythmo leviter transferuntur.

3. ἀποστάζουσι iterum active, ut in XI, 3. — ταύτας ἁρπ. C. — εἰς μ. χύσιν contra modul. C. — ἐπαναβλύζ. nota compositum. — καὶ προστρέψαντα ἡμᾶς C.

θαυμάτων * τοῖς πιστῶς * τούτους ἀσπάζουσι; * Τὸ ῥυέν σου αἷμα * εἰς μύρου χοὴν * ἤλλακται, καὶ ὡς ἐκ πηγῆς, * ἐπαναβλύζει ἐν τῷ κόσμῳ, * καὶ συναγελάζει λαὸν * εὐχαριστικῶς δοξάζειν Θεὸν * τόν σε τιμήσαντα, * καὶ προτρέπει ἡμᾶς * ἀνακράζειν σοι· * Ἡ φωνή...

irrorant fidelibus eos osculantibus? Effusus cruor tuus in unguenti libamen mutatus est, ac fontis instar orbi scaturit, et plebem gregatim concitat ad laudandum grato animo Deum, qui te nobilitavit, nosque demum urget clamare tibi: Vox...

δ'. Ὅμοιοι περιστεραῖς * ὀφθαλμοί σου, μάκαρ, * ὡς τὸ ᾆσμα ἀνεπᾴδει, * καθαροὶ τῇ ἀπαθείᾳ, * εὐωποὶ, * ἄριστα ἔχοντες· * τὸ γὰρ θεῖον Πνεῦμα * αὐτοὶ κατεῖδον, * ἄνωθεν ἐπὶ Ἰησοῦν * τὸν λυτρωτὴν ἐγκαταβαῖνον, * ὡσεὶ περιστερὰν, τρανῶς * τὴν τριαδικὴν μονάδα δηλοῦν· * διὸ τιμῶντές σε * ἐκτενῶς ταῖς ᾠδαῖς * ἀνακράζομεν· * Ἡ φωνή...

4. Similes sunt columbarum oculi tui, beate, ut mystice canitur in cantico, puri innocentia, venusti, honestissimi; divinum namque viderunt Spiritum, cœlitus illapsum super Jesu redemptore, sub columbæ spectaculo, aperte trinam monadem significantem; ideo te honorantes assiduis odis, clamamus sursum: Vox...

ε'. Ὕμνον σοι πᾶς ὁ λαὸς, * Βαπτιστὰ, προσφέρει * τῇ τῆς κάρας σου εὑρέσει, * ὅτι εὗρε σωτηρίας * θησαυροὺς * κόσμον πλουτίζοντας, * τοῦ χρυσίου μᾶλλον * τιμαλφεστέρους, * φαίνοντας τὰς θαυμαστικὰς * αὐτῶν [σου λόγων] λαμπηδόνας * ἐν τῇ ὑπ' οὐρανὸν σαφῶς, * καὶ δαιμονικὰς μειοῦντας ἀχλῦς· * ἣν ἀσπαζόμενοι * πρὸς ψυχῆς φωτισμὸν * ἀνακράζομεν· * Ἡ φωνή...

5. Hymnum tibi plebs omnis, Baptista, litat in capitis tui inventione, quia salutis repperit thesauros, orbis divitias, auro pretiosiores, quibus tuorum verborum mira fulgura sub cœlo coruscant, et satanicæ dissipantur umbræ: tuum caput nos ad animas illuminandas salutamus, clamantes: Vox...

ϛ'. Δεύτερον, ὁ Βαπτιστὴς, * τοῖς ἐν γῇ ἐπώφθης * τῇ τῆς κάρας σου εὑρέσει, * ἀκουτίζων τοῖς ἀνθρώποις * νοητῶς * θεῖα διδάγματα. * Ὡς ὡραῖα ὄντως * ἡ λαλιά σου * ἤχει ἐν τῇ ὑπ' οὐρανὸν, * νυμφευομένη θεοπνεύστως * τὴν ἐκκλησίαν αὐτῷ * τῷ ἀληθινῷ νυμφίῳ Χριστῷ· * διὸ αἰνοῦντές σε * πρὸς ψυχῆς φωτισμὸν * ἀνακράζομεν· * Ἡ φωνή...

6. Iterum, o Baptista, visus es terrigenis, invento tuo capite, mortalesque voce spirituali doces divina præcepta. Quam pulchre enimvero loquela tua per terram insonuit in epithalamium a Deo afflatum pro Ecclesia, vero sponso Christo desponsata: ideo te laudantes ad animas illuminandas clamamus: Vox...

ζ'. Ἴωμεν κατὰ σπουδὴν * νοητῶς προσβλέψαι * τὸ πανάγαστον κρανίον * τοῦ Προδρόμου, ὃ ἀνίσχον * ἐκ τῆς γῆς, * ὡς φέγγος ἄδυτον, * ἀναβλύζει νάρδον, * σμύρναν καὶ κρόκον, * ἅπαντα τὰ νοητικὰ * τῆς εὐπρα-

7. Eamus cum mentis alacritate ad intuendum purissimum præcursoris cranium, quod ab humo exortum ut fulgor inocciduus, effundit nardum, myrrham et crocum, omnia illa mentium bene operan-

4. περιστερῶν C. Cant. I, 15; IV, 1. — ἐπᾴδει C. — εὐοπεῖν sic C. — f. ἀρεστὰ ἔχ. — καταβαῖνον C. — Romanum noster æmulatur tum in arguta scripturæ interpretatione, tum in lyrico ephymniorum regressu.

5. σου λόγων videtur excidisse. — ἀχλύας C.

6. τῇ τῆς καρ. ut supra eodemque loco, quod Theodoro solemne est. — τὰ θεῖα C. — τῷ add. ante ἀλ. Respicit suavia ipsius Joannis verba in Joan. III, 29. — σε ante πρὸς om. C.

7. ὁ νῦν ἀν. C. — ἐκβλύζει C. — τῶν θετ. C. f. θυτικῶν.

ξίας θεῖα μύρα, * ὑπὲρ ἀρωμάτων πολλῶν, * τῶν τε θετικῶν ἐν κόσμῳ φθαρτῶν, * ἃ ὀσφραινόμενοι * πρὸς ψυχῆς ἡδυσμὸν * ἀνακράζομεν· * Ἡ φωνή...

tium divina unguenta, quæ superant omnia caduca et fœda mundi aromata, quibus olfactis ad animæ fragrantiam, sursum clamamus: Vox...

XV.

DE S. GREGORIO NYSSENO.

α'. Τῆς σοφίας τὸν πολυποίκιλον λειμῶνα, * τὰ τῆς γνώσεως * κυπρίζοντα μύρα, * σέ, τρισμάκαρ, ἡ ἐκκλησία * ἀφοσιωσαμένη * θυμηδίας πληροῦται * ἀνακράζουσα· * Ἡ ὀσμὴ τῶν θεοπνεύστων σου λόγων * ὑπὲρ πάντα τὰ ἀρώματα * διαπνέει, Γρηγόριε.

β'. Σήμερον τὸν ποταμὸν * τοῦ Θεοῦ τὸν μέγαν * καὶ γλυκύτερον ἐν λόγοις * ὑπὲρ μέλι καὶ κηρίον * ψαλμικῶς * αἰνοῦντες εἴπωμεν· * Ἐξεχύθη χάρις * ἐν χείλεσί σου, * βρύουσα τὰ γλυκυσταγῆ * τῆς μελιχρᾶς σου γλώττης ῥεῖθρα * ὑπὲρ τὴν πηγὴν ἐν Ἐδέμ, * ἐν τῇ ἁλμυρᾷ τοῦ βίου ῥοῇ· * ἃ ἀρυόμενοι * πρὸς ψυχῆς γλυκασμὸν * ἀνακράξωμεν· * Ἡ ὀσμὴ τῶν...

γ'. Τίς οὗτος οὗ ἀληθῶς * γλυκερὰ τὰ ἔπη, * καὶ νόστιμα καὶ ἡδέα; * ὁ τῆς Νύσσης τὰς ἡνίας * πιστευθείς, * ὁ νοῦς ὁ γρήγορος, * ὃς ἀνύων δρόμον * ὀρθοδοξίας * ἅρματι τῷ τῶν ἀρετῶν, * τοὺς κακοδόξους βάλλει κάτω, * καὶ ὡς ἐπὶ νύσσαν ἡμᾶς * πρὸς τὴν εὐσεβῆ μεθέλκει ζωήν· * ἐν ᾗ σωζόμενοι, * ἐκ ψυχῆς πρὸς αὐτὸν * ἀνακράζομεν· * Ἡ ὀσμή...

1. Te ut sapientiæ pratum, floribus distinctum, scientiæ odoribus renidens, o ter beate, te Ecclesia dum rite celebrat, lætitia perfunditur, sursum effata: « Odor ex afflatis sermonibus tuis superat omnia aromata, o Gregori. »

2. Hodie amnem Dei ingentem, verbisque dulciorem melle et favo, salutantes, cum psalmo dicamus: Effusa est gratia in labiis tuis, ab ore tuo mellifluo uberius quam fons in Eden, suavia irrorans fluenta in amarulentam vitæ lympham; inde exhaurientes ad animæ dulcedinem, sursum clamemus: « Odor ex afflatis... »

3. Ecquis est iste, vere eloquia habens suavia et amœna et dulcia? Is est qui nyssenas accepit habenas, ea mens vigil, ut auriga perficiens rectæ fidei stadium e curru virtutum, qui prave sentientes sternit solo, nosque veluti ad metam, trahit in vitæ pietatem; in qua facti incolumes, ex animo ad eum clamamus: Odor...

XV. Corsin. f. 43: Μηνὸς ἰανουαρ. ι', κοντάκιον τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης, ἦχ. δ', Στουδίτου.

1. Hirmus in solo v. 1 a præcedente differt, duabus hic add. syllabis. — ἡ in v. 4 om. C. — ἀφοσιωσαμένη forma et sensu singulare, nec tamen novum omnino verbum.

2. Ab hirmo στέφανον hic variatur in v. antepenult. hendecasyllabo. — χάρις ps. XLIV, 3. — γλυκυσταγῆ novæ familiæ, sed ejusdem quam μελισταγέσι in VI, 5, quibus affine est μελιχρᾶς.

3. ὁ καὶ τῆς C. — f. νοῦς ἐγρήγορος. — ἀνύων, ut alibi διανύσας, rara in melodis, hic vero et alibi frequens, perinde ac multa homerica, ut solet verus Theodorus. — τῷ om. C juxta τῶν. — ἐπὶ νύσση C.

δ'. Ὄντως σὺ [ὁ] τοῦ Θεοῦ * ἐργάτης ὑπάρχων, * καταβέβηκας εἰς κῆπον * τὸν τῆς σοφίας εὐειδῆ· * μυηθεὶς * ἁγίῳ Πνεύματι, * καὶ τρυγήσας σμύρναν * θεογνωσίας, * ἔδωκας οἷάπερ πηγὴν * τοῖς τῆς Σιὼν τροφίμοις πᾶσι * τὴν δογματικήν σου τροφὴν, * ἐν ἐκστατικῇ ἐννοίᾳ Θεοῦ · * ἐν ᾗ ἡδόμενοι * εὐφροσύνως ψυχὴν, * ἀνακράζομεν · * Ἡ ὀσμὴ...

ε'. Ὑψίνους, ὥσπερ φωστὴρ, * φρυκτωρεῖς ἐν κόσμῳ * τὰς λαμπηδόνας τῶν λόγων, * καὶ φωτίζεις τῶν ἀνθρώπων * τὰς ὁδοὺς * τῆς θείας πίστεως * ἐν Τριάδι σέβειν * μονάδα μίαν, * ἄναρχον παντορέκτηντε, * ὁμοφυῆ, σεπτὴν ἑνάδα, * Πατέρα τε καὶ τὸν Υἱὸν * καὶ τὸ Πνεῦμα ζῶν [καὶ ζωοποιοῦν], * ᾗ ἐκλαμπόμενοι * ἐν τρισὶ δόγμασιν * ἀνακράζομεν · * Ἡ ὀσμὴ τῶν θεοπνεύστων σου λόγων * ὑπὲρ πάντα τὰ ἀρώματα * διαπνέει, Γρηγόριε.

4. Tu enimvero vigilans Dei opifex, descendisti in hortum sapientiæ, visu jucundum; sacro imbutus Spiritu, et vindemias divinæ scientiæ unguentiferas carpens, præstas, velut ex fonte, omnibus Sion alumnis, dogmaticas tuas dapes, per quos extatica Dei cognitione beamur, animaque laute depasti, sursum clamamus : Odor...

5. Sublimis mens, ut sidus, faces exagitas in mundo scintillasque sermonum, viasque hominum collustras in fide divina, ut colant in Trinitate monadem unicam, principii expertem, universitatis opificem, consubstantialem, augustam unitatem, Patrem et Filium et Spiritum vivum ac vivificum, in quo illuminati triplici notione, sursum vociferamur : Odor ex afflatis sermonibus tuis superat omnia aromata, o Gregori !

4. Ab initio supplendum aliquid est. — τῆς σοφ. τὸν εὐειδῆ C. — ὡς οἷα C. — ἐκ ψυχῆς C.
5. ἀν. παντορικὴν C, ignota vox in claudo versu; παντορέκτης ab Eusebio Cæs. recepit Sophocles. — τὸ ζῶν ἦν C, cæteris om. — διαπνέει. cf. Lobeck ad Phryn. p. 220.

XVI.

DE S. EUSTRATIO.

α'. Πρὸς τοὺς ἀνόμους
ῥητορεύων τὰ θεῖα,
καὶ ἐν βασάνοις
ὑπαστράπτων ἀνδρείᾳ,
κατ' ἄμφω ἐδύσω τὸ κράτος,
Εὐστράτιε ·
συλλογισμὸν γὰρ τούτων στρέψας,
τὴν ἐκκλησίαν ἐλάμπρυνας
τοῖς θαύμασιν ·

1. Coram iniquis
divinus orator,
et in tormentis
fortitudine coruscus,
duplici virtute indutus es,
Eustrati :
hostium enim sophismata vertens,
Ecclesiam nobilitasti
prodigiis :

XVI. Corsin. f. 26 : Μηνὸς δεκεμβρ. ιγ', τοῦ ἁγίου Εὐστρατίου καὶ τῆς συνόδου αὐτοῦ κονδάκιον, ἦχ. γ', τοῦ Στουδίτου.
1. Unicum est et propriæ melodiæ canticum, quod diu me torsit tam ex vulneribus codicis, quam insolentia rhythmi, qui audacter brevissimis versiculis incipit et in amplissimos desinit. — ῥητορεύων active præter usum. — συλλογ. τοῦτον C.

ἀλλὰ εἰς οὐρανοὺς χορεύων,
ὑπὲρ ἡμῶν δυσώπει τὸν Χριστόν.

β'. Τῆς εὐανδρίας
τὸ ἐγκαλλώπισμα,
τὸν ὡραῖον
Εὐστράτιον
τίς ἱκανῶς ἐπαινέσειεν;
οἷα γάρ τις τρυφήσων,
τὰ τοῦ μαρτυρίου
προσίεται σκάμματα·
οἶνον ἁβροδίαιτον πιὼν,
ἐν τοῖς ἄθλοις
ἐνοχούμενος,
τῷ Χριστῷ λαμπρῶς βεβόηκεν·
Τὸ ποτήριόν σου μεθύσκον με, ὡς κρά-
. . . . [τιστον!
πρὸς ὃν εἴπωμεν μετὰ αἰνέσεως·
Ἀλλὰ εἰς οὐρανοὺς χορεύων,
ὑπὲρ ἡμῶν δυσώπει τὸν Χριστόν.

agedum, inter sidera exultans,
pro nobis exora Christum.

2. Fortitudinis
nobile decus,
magnificum
Eustratium
quis justa laude celebraverit?
Ut enim aliquis delicias anhelat,
sic ille martyrii
occupat stadium,
vinum delicatum ebibens,
inter certamina
quasi curru vectus,
Christo egregie clamavit:
« Calix tuus inebrians me, quam præ-
. . . . [clarus est! »
Cui nos cum laude dicamus:
« Agedum, inter sidera exultans,
« Christum pro nobis exora. »

γ'. Ὅλος ὑπάρχων * καρτεροκάρδιος * ὑπεισῆλθες * τὸ στάδιον, * ὅπλοις λαμπροῖς περικοσμηθείς· * ἐναπήστραπτε γάρ σου * ἡ ἐστομωμένη * ῥομφαία τοῦ στόματος, * ἣν κατιδὼν ὁ παράνομος * πρὸς αἰκισμοὺς * ἀνεφλέγετο· * ἀλλ' ἡττήθη, ἔμπειρος γεγὼς * τῆς Χριστοῦ δυνάμεως ἐνισχυσάσης σε * τελέσαι σου τὸ μαρτύριον· * διὸ βοῶμέν σοι, μάρτυς ἔνδοξε· * Ἀλλὰ εἰς οὐρανούς...

δ'. Ὑπὸ ἀέρα * σχοίνοις τεινόμενος, * καὶ ταῖς ῥάβδοις * τυπτόμενος, * οὐχ ᾔσθου, ὡς ἄλλου πάσχοντος· * τῷ πρὸς Θεὸν γὰρ πόθῳ * τῆς κατὰ τὸ σῶμα * ἠφειδήσας σχέσεως, * πῦρ φλογερὸν οὐ πτοούμενος, * τρίψιν σαρκὸς * οὐκ αἰσθόμενος, * καὶ φαιδρὸς ἐν τούτῳ πρόσωπον * δειχθεὶς, μάρτυς κατῄσχυνας τόν

3. Toto pectore communitus, ingrederis stadium, fulgidis armis decoratus; fulgura enim ciet ensis oris tui exacutus, quem ut vidit improbus judex, in cruciatus exarsit: fasces vero submisit, expertus quanta in te Christi virtus invaluerit ad exitum usque testimonii. Ideo tibi, gloriose martyr, clamamus: Agedum, inter sidera...

4. Ex rudentibus in aere extensus, et virgis verberatus, nil sentiebas, ac si pateretur alter; Dei enim præ amore, corpoream abdicasti conditionem, flammivomum ignem non reformidans, conteri carnem non advertens, et inter hæc vultu hilaris, o martyr, pudere adversarium tuum fecisti, Eu-

2. ἁβροδ. οἶνον καὶ τοῖς C. — λαμπρῶς Χριστῷ C. — τὸ ποτήριον. Ps. XXII, 5. Tædet hic plura deesse, ubi noster exultat; supplenda f. ex altero v. καὶ τὸ ἔλεός σου καταδιώξεται. Ex hoc tumultu fit quod in medium erumpat prægrandior versus, quem ad breviorem modum nullo modo redigere valui. — εἰς οὐρανούς. Nihil muto, cum toties melodi verba motus neglexerint, tum maxime ubi de omnimoda quiete, aut de continuo motu non agitur.

3. καρτεροκάρδιος novum est, uti mox στεῤῥοκάρδιε. — τῷ σταδίῳ C. — κοσμισάμενος C, pro rhythmo et sensu minus apte. — ἀλλὰ ἡττ. ἐπὶ πεῖρᾳ γεγονος Χριστοῦ C.

4. καὶ sub initio add. — ἀφειδήσας C. — σαρκός. Ex hoc v. 10 et superiore lege in hirmo ἐν ἄθλοις τε. — καὶ ἐν τούτῳ φ. πρ. C. — ἀντίδ. σου C.

σου ἀντίδικον, * Εὐστράτιε στεῤῥοκάρδιε, * διὸ βοῶμέν σοι μετ' αἰνέσεως· * Ἀλλὰ εἰς οὐρανούς...

ε'. Σὺ ταῖς βασάνοις * νεκρὸς φαινόμενος, * τῷ Λυσίᾳ * ἐβόησας· * Ζῇ ἐν ἐμοὶ Χριστὸς Κύριος! * Καὶ σημεῖον δεικνύων, * ἐκ τοῦ σώματός σου * λεπίδας ἐπέβαλες, * αὖ φανεὶς ῥωμαλεώτερος, * ὅλως μὴ σχὼν * οὐλὴν τραύματος * καὶ ἐν τούτοις θαυμαζόμενος· * Σαφῶς νῦν οἶδα, ἔφησας, ὅτι ναὸς Θεοῦ * εἰμὶ ζῶντος διὰ Πνεύματος· * διὸ βοῶμέν σοι χαριστήρια· * Ἀλλὰ εἰς οὐρανούς...

ϛ'. Τούτων πραχθέντων, * εἷς τις Εὐγένιος * τῷ Λυσίᾳ * ἐβόησεν * · ὅτι Χριστὸν κἀγὼ σέβομαι! * Εὐστρατίῳ καὶ οὗτος * συνακολουθήσας, * ἀγῶνας εἰσέρχεται· * ἀλλ' ἡ πληθὺς ἁγιόλεκτος, * πάντες ὁμοῦ * χαρᾷ χαίροντες, * ὅτι ὅλως ἠξιώθησαν * Χριστοῦ, ἄριστα στίγματα ἐν σοφῷ σώματι * μιμούμενοι ἐπόθησαν· * πρὸς οὓς εἴπωμεν μετὰ αἰνέσεως· * Ἀλλὰ εἰς οὐρανοὺς συνόντες, * ὑπὲρ ἡμῶν αἰτεῖτε σύναθλοι.

ζ'. Ὁδόν συ, μάρτυς, * στενὴν ἐβάδισας, * ὁπηνίκα * ὁ τύραννος * πόδας τοὺς σοὺς ἐκρηπίδωσεν. * Ὢ τίς οὐ μὴ θαυμάσῃ * σοῦ τὴν θλιπτωρίαν * καὶ τὰ πάνδεινα σύρματα; * ἃ οὐρανὸς * ἐμεγάλυνε, * πᾶσα δὲ γῆ * ἐπευφήμησεν; * ἀλλὰ ζῆν θέλεις εὐρύχορον * ζωὴν ἀειδιότητος, τό σου μαρτύριον * τελέσας τὸ ἀξιόθεον· * διὸ βοῶμέν σοι μετ' αἰνέσεως· * Ἀλλά...

η'. Ὑπεραθλοῦντα * ἰδὼν Μαρδάριος * τὸν γενναῖον * Εὐστράτιον, * ἔφη εὐθὺς πρὸς τὴν σύζυγον· * ἴδε ὁ Κυρισίκης * ὡς ἄστρον ἐκλάμπων * ἐν μέσῳ ζοφώσεως· * πρὸς ὃν ἐγὼ κατεπείγομαι * εὑρεῖν ὁμοῦ * τὸ μαρτύριον. * Καὶ πρὸς τὸν τύραννον παραστὰς * δρόμον τετέλεκεν αὐτοῦ, τὸν τῆς ἀθλήσεως *

strati æneo pectore; ideo ad te cum plausu clamamus: « Tu inter sidera... »

5. Tormentis tu mortuus visus es, at Lysiæ clamasti: « Vivit in me Christus Dominus! » signoque facto crucis, e corpore excussisti cicatrices, immo vegetior cerneris, penitus expuncto vulneris vibice, et ex hoc moves admirationem: « Nunc clare video, « inquiebas, me templum esse Dei, per vivum « Spiritum. » Ideo tibi nostra resonant laudum cantica: Agedum inter sidera...

6. His peractis, quidam Eugenius Lysiæ clamavit: « Ego quoque Christum adoro. » Eustratium ipse pone secutus, ad prælia graditur. Verum agmen sacra sorte electum, unanimi gaudio læti omnes, digni Christo fieri prorsus, insignia ejus exemplo stigmata in corpore docili circumferre amabant. Ad quos cum laude dicamus: Vos vero in cœlis coeuntes, orate pro nobis, commilitones.

7. Viam arctam ivisti, o martyr, quando tyrannus crepidis pedes tuos torsit. Eia! quis non miretur cruciatum et horrendas reptationes, quæ cœlum magnificavit, quæ celebravit universa tellus? Sed vivere vis amplissimam immortalitatis vitam, dum tuum Deo gratum consummas martyrium: ideo cum laude ad te clamamus: Agedum in cœlis...

8. Ultima prælia superantem videns Eustratium generosum Mardarius, statim ait conjugi suæ: « Vide quomodo iste Cyrisicenus « fulgeat ut astrum in media nebula: ad « quem ego rapior, idem ut martyrium in- « veniam. » Et inter hæc se tyranno sistit, cursumque peregit, victoriæ coronam pu-

5. σου add. ante λεπίδας. Cf. Acta in Patrol. gr. t. CXVI, p. 477, n. 10. — αὖθις φαν. C. — σοφὲ νῦν C. — f. εἰμὶ ὄντως. Sunt eadem verba in actis: νῦν οἶδα ὅτι ναὸς Θεοῦ εἰμι, καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον οἰκεῖ ἐν ἐμοί. n. 9.

6. καὶ οὕτως C. — f. χαρᾷ χαίρουσι, mox μιμ. ἐπιφέρεσθαι.

7. τὴν θληπτωρίαν τὰ πανδ. Citerum nova, utinam non barbare. — τὸ μαρτ. σου τολ. ἀξιόθεον C.

8. κυρισίκης, ἐπώνυμον τοῦ ἁγίου Εὐστρατίου, inquit aptissime Suidas, ex Metaphraste in actis n. 7, 14. — μαρτυρ. καὶ ἐν τούτῳ τῷ τυράννῳ C. — δρόμοις τετ. τὸν τ. ἃ sic C.

δεξάμενος νίκης στέφανον, * πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως· * Ἀλλά...

θ'. Διὰ βασάνων * προδιενήθλησε * καὶ ὁ θεῖος * Αὐξέντιος, * τὴν κεφαλὴν ξίφει τμώμενος· * οὗ τίς τὴν καρτερίαν * εὐμαρῶς ἐξείποι, * τὰ ἆθλα, τὰ σκάμματα, * ἃ μαρτυρῶν καθυπέμεινε, * τὸν Ἰησοῦν * μὴ ἀρνούμενος; * αὐτοῦ πέλει ἡ ἀοίδιμος * φωνή· Κἂν πῦρ καὶ σίδηρος καταναλώσῃ με, * μὲ τοῦ Χριστοῦ οὐ διΐστησιν. * Πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως· * Ἀλλά...

ι'. Ἰδοὺ πρὸς τούτοις * συναποδείκνυται * καὶ Ὀρέστης * ὁ κράτιστος· * Χριστιανός εἰμι, φάμενος, * ὃς σὺν τῷ Εὐστρατίῳ * ὑπὸ τοῦ Λυσίου * πρὸς τὸν Ἀγρικόλαον * ἀθλητικῶς παραπέμπεται· * κἀκεῖ τελεῖ * τὸ μαρτύριον * ἐπὶ κλίνης πυριφλέκτου ὤν, * καὶ ταθεὶς οὕτω κέκραγε· Χριστέ, εἰς χεῖράς σου * τὸ πνεῦμά μου παρατίθημι. * Πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως· * Ἀλλά...

ια'. Πεντὰς ἁγίων, * πρῶτε Εὐστράτιε, * σὺν Ὀρέστῃ * Εὐγένιε, * Μαρδάριε καὶ Αὐξέντιε, * ἡ τερπνὴ συνοδία, * ἡ ῥῆσις ἡ θεία, * ἡ πάγκαλος σύμπνοια, * μνήμην ποιεῖν μὴ ἐλλείποιτε, * ὑπὲρ παντός, * ὑμνῳδοῦ ὑμῶν, * ἱερέων, βασιλέων, μοναστῶν, * ἑτέρου νῦν τινος ἐμοῦ τοῦ ᾄσαντος * καὶ ὑμνοῦντος τὸ ἐγκώμιον, * ἵνα πάντες [πρὸς τοὺς πέντε] ἀνακράξωμεν· * Ἐν τοῖς οὐρανοῖς συνόντες, * ὑπὲρ ἡμῶν αἰτεῖτε σύναθλοι.

gnando adeptus: ad quem cum plausu clamemus: Agedum in cœlis...

9. Per supplicia inter primos quoque certavit divinus Auxentius, gladio capite minutus: cujus quis fortitudinem facile dixerit, quis certamina et stadii scammata, ubi testimonium ferens passus est? Jesum semper confessus, emissa hac voce famosa: « Etiamsi ignis aut ferrum absumpserint « me, me a Christo non separant. » Ad quem cum plausu clamemus: Agedum...

10. Ecce præter illos palam quoque prodit Orestes nobilissimus: « Christianus sum, inquiens. » Qui cum Eustratio mittitur a Lysia ad Agricolaum præliaturus, et martyrium perficit in lectica ignita, ibique tensus exclamavit: « O Christe, in manus tuas « commendo spiritum meum. » Ad quem cum plausu clamemus: Agedum...

11. O quintuplex sanctorum copia, dux Eustrati, et cum Oreste Eugeni, et vos Mardari, Auxenti, o amœna societas, divina nomina, pulcherrime cœtus, memoriam habere ne desinatis, ante omnia, hymnographi vestri, tum sacerdotum, imperatorum, monachorum, tum rursus qualiscumque mei cantica vobis voventis laudesque celebrantis, ut omnes [ad hos quinque] clamemus: « In cœlis commorantes, exorate pro nobis, commilitones. »

9. f. ξ. ἐκτμηθείς. — καὶ τὰ ἆθλα καὶ C. — καὶ τὸν Ἰησ. C. — τοῦ Χριστοῦ με C. Cf. Acta n. 15, 28, 33.
10. ὢν add. — Verba seqq. sunt ex Actis n. 16.

11. ἡ θεία ῥῆσις C. — f. post πάντες facili lapsu excidit quod includitur. — ὡς σύναθλοι C. Recole Josephum eadem modulatum.

XVII.

IN MONACHORUM EXEQUIIS.

α'. Τὸν μεταστάντα εὐσεβῶς ἐκ τῶν προσκαίρων
μετὰ δικαίων ἀνάπαυσον,

1. Pie migrantem caducis e rebus
cum justis fac quiescere,

XVII. Corsin. f. 159: Κονδάκιον εἰς κοιμηθέντας μοναχοὺς ἐν ὑποταγῇ, ἦχ. πλδ', φέρον ἀκροστιχίδα· Φωνὴ Θεοδώρου. Anastasium simul et Romanum (Cf. p. 44 et 165) Theodorus æmulatus, minori tamen cothurno incedit. Nihil vero mirum, cum ea sint frequenti usu trita, si quædam squalleant, plures vero varietates, denso examine, cieantur.

1. Hoc quartum est prooemium hirmo αὐτὸς μόνος

Χριστὲ ὁ Θεός·
εἰ καὶ ὡς ἄνθρωπος ἥμαρτεν ἐπὶ τῆς γῆς,
ὡς ἀναμάρτητος ἄνες αὐτῷ
τὰ ἑκούσια πταίσματα
καὶ τὰ ἀκούσια,
πρεσβείαις τῆς Θεοτόκου,
ἵνα συμφώνως βοήσωμεν ὑπὲρ αὐτοῦ
τὸ ἀλληλούϊα.

Πρὸς τό· Αὐτὸς μόνος.

β'. Φρικτὸν βλέπω καὶ ξένον τὸ ὅραμα·
ὅτι ἄπνους ὁ χθές μοι συνόμιλος,
ἀπεπαύθη φωνὴ ἀγορεύουσα·
ὀφθαλμὸς θεωρῶν ἀπελήλατο,
πάντα τὰ ὄργανα σεσίγηκαν·
ὁ Θεὸς ἀπέκλεισε κατὰ αὐτοῦ, ὡς γράφει,
καὶ οὐκέτι λοιπὸν ἐπιστρέψειεν·
ἔνθα ᾄδωμεν πάντες μετ' ἤχου βροτοὶ
τὸ ἀλληλούϊα.

Christe Deus;
etiam si ut homo in terra peccaverit,
quia sine peccato es, tu illi dimitte
sponte commissa delicta,
et minus spontanea,
suffragiis Deiparæ,
ut unanimes pro eo clamemus:
Gloria sit Deo.

Iuxta modulum: *Qui solus.*

2. Stupendum cerno et insolens spectaculum.
Ecce exanimis, qui mecum heri fabulabatur.
Cessavit vox pronunciare,
oculus adhuc videns effugit,
omnia organa siluerunt:
Deus enim adversus eum conclusit, ut scribitur,
neque amplius jam revertetur,
ubi omnes morituri canamus tonum:
Gloria sit Deo!

γ'. Ὡς υἱὸς ὢν ἡμέρας μετήλυθες· * ἀλλ' ἡμεῖς σου θρηνοῦμεν τὴν στέρησιν, * ἀρετῶν σου καλῶν μνημονεύοντες, * τῆς στοργῆς, τῆς σπουδῆς, τῆς πραότητος· * ἐν αἷς διέπρεψας, ἀείμνηστε, * ἐπὶ ὤμων τόν σου σταυρὸν εὐπειθῶς βαστάζων, * καὶ κατόπιν Χριστοῦ πορευόμενος, * ᾧπερ ᾄδωμεν πάντες μετ' ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

δ'. Νῦν μοι φράσον, κλεινέ μου, πυνθάνοντι· * Ποῦ αὐλίζῃ τὰ ὧδε ἀφέμενος; * μετὰ τίνων ψυχῶν ἡ συγκλήρωσις; * ἆρά πως οὐρανῷ προσελήλυθας; * ἆρα ἐπέτυχες ὧν ἤλπιζες; * ἆρα εὗρες κατοίκησιν φαεινήν;

3. Ut filius diei migravisti; nos vero lugemus privari te, tuas recordati egregias virtutes, charitatem, alacritatem, mansuetudinem; quibus emicuisti, o memorande semper, in humeris crucem tuam docili animo gestans, et post Christi vestigia gradiens, cui omnes canamus cum modulo: Gloria...

4. Nunc mihi responde, mi optime, te interroganti: « Ubi inhabitas, hæc nostra « deserens? Quibusnam cum animabus sors « tua est? Quonam cœlorum transiisti? Num « ea tenes quæ sperasti? Num repperisti

præfixum, multum autem recedit a snperiorum melodorum antistrophis. Quod facile putarim Theodoro antiquius, aut leviter fuisse ab eo mutatum simile procemium quod extat in sabbato ante pentecostem, quod ajunt Græci ψυχοσάββατον, scilicet: Τοὺς μεταστάντας ἀφ' ἡμῶν ε. τ. π. ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν κατασκήνωσον καὶ μετὰ δ. ἀν. σῶτερ ἀθάνατε· εἰ γὰρ ὡς ἄ. ἡ. ἐ. γ. ἀλλὰ σὺ ὡς ἀν. κύριος ἄφες αὐτοῖς τ. ἑ. π. κ. τ. ἀ. μεσιτευούσης τῆς τεκ. σε θεοτ. ἵ. σ. β. ὑ. αὐτῶν ἀλλ. Palam est unum ab altero pendere.

2. ἀπεπαύθη attice pro ἀπεπαύσθη. — ἀπελήλατο jam vidimus apud Romanum I, 1. Cf. VIII, 1 not. — σεσίγηται vatic. 1836, f. 103 sqq. quem porro excutiemus. — θεὸς γὰρ V. Qui versus Romano et Anastasio dodecasyllabus est, Theodoro autem una syllaba abundat. — ἀπέκλ. ταῦτα V, ut communem ad hirmum reducatur. — ἠχοῦς C, V constanter, contra modulum.

3. μετήλειχας V, sic barbare. — οὐ θρην. C. — ἀρετῶν σε V. — τῇ στοργῇ, τῇ σπουδῇ, τῇ πραότητι V. — σταυρόν σου C, V. — ὅνπερ C.

4. κλῆνά μου πυνθάνομε V barbare, f. pro πυνθανομένῳ, quod metrum expulit. Nec placet insusitatum πυνθάνοντι, neque κλεινέ μου. — μετὰ ποίων V. — κατοικίαν, C, V contra rhythmum.

εἰπέ μοι, * ὅπου ζώντων χοροὶ ἐπαγάλλονται, * ἐπινίκιον αἶνον βοῶντες Θεῷ * τὸ ἀλληλούϊα.

ε'. Ἡ φωνή σου ἡδεῖα ἠκούετο * ὁμιλοῦντος ἐν ἤθει χρηστότητος· * ἀδελφὸς γὰρ αὐτὸς ἀδελφότητος * συμπαθὴς, εὔκλεινος, μισοπόνηρος, * λαλῶν ἀλήθειαν ἐγκάρδιον, * οὐ δολώσας ἐν γλώττῃ σου τοῦ Θεοῦ τὸν λόγον, * ἀλλὰ πᾶσι Χρηστὸς ὀπτανόμενος· * διὰ τοῦτό σε στέργει ὁ ψάλλων Θεῷ * τὸ ἀλληλούϊα.

ς'. Θεσπεσίους ἀγῶνας ἐτέλεσας, * ὑπηκόων ἀνύσας τὸ στάδιον, * ὑποδὺς γὰρ θερμῶς ἐν τοῖς σκάμμασιν, * ἐναθλῶν κατωθεῖς ἐπιθυμίαν, * ἐν ᾗ κατῄσχυνας τὸν δράκοντα, * τὸν αὐχένα ὑπέκλινας τῷ σαυτοῦ ποιμένι, * μέχρι τέλους αὐτῷ συνεχόμενος· * διὰ τοῦτο...

ζ'. Ἐνορᾶν σε δοκοῦμεν τῷ πνεύματι, * πῶς ὑπῆρχες ἐνθάδε συνὼν ἡμῖν, * ὁπηνίκα ὁμοῦ συνεψάλλομεν, * ἔργον τὸ ἔνθεον ἐργαζόμενοι, * καὶ τοῦτο ἅπαντες γλιχόμενοι· * τὸν ποθούμενον μὲν ζητοῦμεν ἡμῶν ἑταῖρον, * καὶ οὐκ ἔστιν εὑρεῖν τὸν πειθόμενον, * μεθ' οὗ εἴπωμεν πάντες ἐξ ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

η'. Ὅτι ὄναρ ὁ βίος καὶ φάντασμα * ἐννοήσας ἐνθέῳ φρονήματι, * ἀπηρνήσω γονεῖς, δι' ἐντάλματος, * ἀδελφοὺς, συγγενεῖς, κόσμον ἅπαντα· * πρὸ τοῦ Κυρίου γὰρ ἐφέσεως * οὐδὲν ὅλως τῶν πάντων τιμαλφὲς ἡγήσω, * ἀνθ' ὧν εὗρες ζωὴν τὴν αἰώνιον, * διὰ τοῦτό σε στέργει ὁ ψάλλων Θεῷ * τὸ ἀλληλούϊα...

θ'. Διαλέξασθαι τοίνυν δοκεῖς ἡμῖν · * ἀδελφοί μου, προσέχετε λόγοις μου, * ἕως

« splendidum habitaculum ? edissere mihi, « ubi viventium chori lætantur, victoriæ « hymnum Deo clamantes : Gloria... »

5. Vox tua dulcis audiebatur, qui suavi cum cæteris consuetudine utebaris : frater enim eras fraternitati compatiens, optimi animi, mali osor, mente loquens sincera, nec dolo vertens in ore verbum Dei, sed omnibus amœnus videbaris; ideo te diligit, qui Deo psallit: Gloria...

6. Sacra consummasti certamina, obedientiæ peragens stadium: ingressus enim alacriter intra septa, decertando expellis cupidinem, indeque pudefecisti draconem, collum submittens tuo ductori, et usque in finem illi obsecutus : ideo...

7. Conspicere te mente videmur, quomodo hic adesses socius noster, quando una psalmos cecinimus, divinum opus operantes, et id ipsum omnes unice appetentes; desideratum quidem socium quærimus, nec invenire est qui nobis obsequatur. Quocum omnes dicamus Deo ex modulo : Gloria...

8. Somnium et simulacrum esse vitam, divino cogitatu intelligens, abdicasti, juxta preceptum, parentes, fratres, propinquos, omnem mundum, Domini enim præ desiderio, nihil duxisti pretiosum; quarum vice rerum vitam invenisti perennem, ideoque te diligit qui Deo psallit : Gloria...

9. Disserere nobis videris : « Fratres mei, « attendite meis sermonibus: quousque tem-

5. ὁμιλοῦντι C, V. — εὐκλίνης iid. — ἐγκάρδια V. — Quidni οὐ δηλώσας « non verbo, sed opere prædicans. » — ὀπτανόμενος ab Act. I, 3 transiit ad scriptores ecclesiasticos.

6. f. mel. ὑπακούων, cum Nostro cumulata participia placeant, in primis ἀνύσας, ut notatum est. — Ἐν ἄθλοις C, V. — κατορθοῖς C. — τὴν ἐπιθυμίαν C, V. — αὐχένα κλίνας τὸν σεαυτοῦ ποίμνῃ συνεπ. C.

7. δοκῶμεν V. — ἔργον ἓν σὺν θεῷ C, in quo plura evanuere. ἔργον τὸ ἔνθ. πρακτικεύοντες V. ἔργ. πότνιον μὲν ζητοῦμεν τὸν ἡμέτερον cryptof. — τὸν ἡμῶν ἑ. C. — πρακτ. καὶ ταύτην ἅπαντα γλυκόμενοι, ποτνιῶμεν ζητοῦντες τὸν ἐμὸν ἕτερον V. — μεθ' οὗ ἴδωμεν πάντες εὐέθους θεῷ V.

8. δι' ἐντάλμασι V. — ἀδ. ἀγχιστείαν κόσμον C. — τῆς τοῦ Κυρίου C, V. — τῶν V om. ante πάντ. — τῶν ἁπάντων C.

9. τοίνυν νῦν βούλομαι C. διαλέγγειν τοῖς ὧδε δοκεῖς ἡμῖν, ἀδελφοὶ V. — προσ. τοῖς λόγ. C, V. — ἀγωνί-

ἔτι καιρὸς, ἀγωνίσασθε· * ἕως ἡμέρα, ἐργάσασθε * πρὶν ἢ τὸ στάδιον λυθῇ ἡμῖν, * ποθητοὶ, ἐννικῆσαι σπουδάσατε τὸν Βελίαρ, * ἵνα δόξης Χριστοῦ ἐπιτύχητε, * καὶ αἰνέσητε ᾆσμα μετ' ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

ι'. Ὡς ὡραῖος ὁ βίος ὃν εἵλεσθε! * τί γὰρ κρεῖττον τοῦ στέργειν κοινόβιον; * ἐν αὐτῷ γὰρ ζωὴν ἐνετείλατο * ὁ σωτὴρ, ὡς Δαυὶδ μεμελῴδηκεν· * λοιπὸν ἀγάλλεσθε, ὁμάδελφοι, * τῷ ποιμένι ὑπείκοντες, ἑαυτοὺς φιλοῦντες, * καὶ τὰ πάθη μακρὰν διαπτύοντες, * ἵνα ᾄσητε ᾆσμα μετ' ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

ια'. Ῥῆμα ἔτι λαλήσω ἐξόδιον, * ἀδελφοί μου, οὐκέτι με ὄψεσθε, * οὐ φωνῆς μού ποτε ἐπακούσετε, * ἕως ἂν ὁ κριτὴς ἐξετάσῃ με, * ἡνίκα ἅπαντες οἱ ἄνθρωποι * παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ ἐν φόβῳ, * ἔνθα πᾶσα ψυχὴ ἐτασθήσεται, * καὶ ἐπᾴσετε πάντες οἱ ζῶντες Θεῷ, * ἀλληλούϊα.

ιβ'. Οἷος φόβος καὶ τρόμος ἠκούσατε, * λοιπὸν πάντες σπουδαίως ἐπείχθητε, * ὑπηκόως ἀεὶ πολιτεύσασθε, * τὸν κανόνα νομίμως τελέσατε, * (ἐφεδρεύει γὰρ ὡς λέων Σατὰν, * ὠρυόμενος, καὶ ζητῶν θηρᾶν ψυχὴν ζῶσαν), * δι' ἀσκήσεως μὲν καὶ πραότητος, * ἵνα ᾄσητε πάντες μετ' ἤχου Θεῷ * τὸ ἀλληλούϊα.

ιγ'. Ὑπηκούσαμεν πάντα ἃ λέλεχας, * ἀλλ' εὑρίσκων γνησίως τὸν Κύριον, * ὑπὲρ πάντων ἡμῶν ἐκδυσώπησον, * νοερῶς εὐπειθεῖς πολιτεύεσθαι * τὸ τῆς ἀσκήσεως παγκράτιον, * τὸν ποιμένα θεοπρεπῶς σὺν ἡμῖν βιῶ-

« pus erit, pugnate; dum dies est, operamini; antequam vobis stadium claudatur, o dilecti, vincere satagite hostem Belial, ut gloriam Christi participetis, et canatis cum melodia Dei canticum: « Gloria... »

10. « Quam pulchra est vita a vobis electa! « quid enim præstabilius est amare cœnobium, illic enim vitam mandavit Salvator, « ut psalmista modulatus est. Cæterum, lætamini invicem, fratres, pastori obtempe« rantes, vosmet diligentes, vitia procul re« pudiantes, ut Deo canatis cum melodia: « Gloria... »

11. « Adhuc uno vobis verbo valedicam, « fratres mei: jam non videbitis me, jam « vocem meam non audietis unquam, donec « me judex examinaverit, quando mortales « nos omnes tremebundi, sistemus coram « Christi suggestu: ubi omnis anima judi« cabitur, et quicumque vivitis, tum Deo « canetis: Gloria... »

12. « Quantus tremor et terror sit, novistis; « jam omnes diligenter festinate, obedientes « vivite semper, regulam legitime adimplete « (ut leo enim, Satan insidiari solet, quæ« rens venari vivam in Deo animam), « maxime per asceticam et fraternam ope« ram, ut omnes Deo cum melodia canatis: « Gloria... »

13. Audivimus omnia quæ dixisti; verum ubi tu Dominum sincere inveneris, pro omnibus nobis deprecator, ut spiritu contendentes, asceticum ex integro decurramus pugilatum, divinam inter nos pastor vitam

σασθαι C. — ἕως οὗ ἡμέρα ἐργ. V. om. C. — πρὶν ἢ τ. σ. λυθήσεται V. — ποθητοὶ om. V, ἡμῖν om. C. — ἐκνικῆσαι C, V. — τὸν ἐχθρὸν Βελίαρ C. — δόξ. Θεοῦ V. — καὶ ᾄσατε μ. ἤ. τῷ Θεῷ V.

10. ὃν εἵλασθε C. V. — Δαυίδ. Ps. CXXXII, 3. — ὁμοῦ ἀδελφοὶ C. ὁμάδελφοι, restituto metro ex rara dictione. — ὑπείκοντες θεαρέστως V. — ᾄσητε ᾀσμένως Θεῷ τὴν ᾠδὴν V.

11. ὁ κριτὴς ἐπελεύσηται ἀποδοῦναι ἑκάστῳ καθὰ ἔπραξαν, ἡνίκα V. — καὶ ᾄσωσιν ἅπαντες τῷ Θεῷ τὴν ᾠδὴν — καὶ ἐπᾴσατε C.

12. ἀκούσατε V. — πολιτεύσασθε, μήποτε φιλαυτοῦντες ἐσκελλισθήσεσθε, ὅτι ὡς λέων ὠρυόμενος, V. — ὁ Σατὰν καὶ ζητεῖ θηρᾶσαι V. — δι' ἀσκήσεως, ἵνα V.

13. ἃ λέλεχας C, V. Cf. VIII, 10. — ἱερῶς εὐπειθῶς sic V. — παγκάρτειον sic id. — σὺν ἡμῖν αἰτεῖσθαι V.

ναι, * καὶ τοὺς πάντας τυχεῖν θείας χάριτος, * ἵνα ᾄσωμεν πάντες μετ' ἤχου Θεῷ * το ἀλληλούϊα.

agat, omnesque fruamur Dei gratia, ut cum timore canamus omnes Dei canticum in melodia : Gloria Deo !

πάντες φόβῳ C. — ἀλληλούϊα, apud Suidam : αἰνεῖτε τὸν Κύριον παρ' Ἑβραίοις, ἤτοι τὸν Ὄντα, quæ quidem posterior interpretatio ludum quemdam cum exequiis facit : Græcorum sunt vel in luctu igniculi.

XVIII.

DE S. ANTONIO.

α'. Ἐν σαρκὶ τοῖς ἀγγέλοις * συνημιλλήθης, * γεγονὼς τῆς ἐρήμου * πρωτοπολίτης, * σὺν ἀποστόλοις * ἀνθεῖς ἐν Αἰγύπτου γῇ· * ἡ οἰκουμένη * θρυλλεῖ σου τὸ ὄνομα, * ὦ πατροπάτορ Ἀντώνιε, * διὸ ὑπὲρ ἡμῶν * δυσώπει τὸν Κύριον·

β'. Τὸν φωστῆρα τῶν φωστήρων, * μοναστῶν τὸ μέγα κλέος, * τὸν σοφὸν Ἀντώνιον * καὶ καθηγητὴν ἡμῶν μέγιστον, * δεῦτε, ἅπαντες οἱ λαοὶ, * τιμήσωμεν, πανηγυρίζοντες· * αὐτὸς τὸν ἐχθρὸν * μονομαχήσας κατέαξεν, * ἀλείπτης ἡμῶν * πρὸς τοὺς ἀγῶνας γενόμενος· * αὐτῷ βοήσωμεν, ὡς νικητῇ * τοῦ Βελίαρ, ἐπᾴδοντες· * διὸ ὑπὲρ...

1. In carne cum angelis contendisti, tu solitudinis primus civis; cum apostolis in Ægypto florescis; orbis proclamat tuum nomen, pater patrum Antoni; ideo pro nobis deprecare Dominum.

2. Sidus siderum, ingens monachorum decus, sapientem Antonium, magistrum nostrum amplissimum, venite, populi omnes, in panegyri celebremus; ipse hostem singulari aggressus certamine conculcavit, nobis palestræ moderator ad prælia factus; cui ut Belialis triumphatori canentes, protestemur : Ideo...

XVIII. Corsin. f. 46, 2° loco : Μηνὸς ἰανουαρ. ιζ', τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου κονδάκιον, ἦχ. β', πρὸς τό· Θεῷ ἀπὸ μήτρας. Nec plura cod. Caute omittitur melodi nomen, quod ex acrostichide tantum, sed plene colligitur, rectene an falso, disputandum.

1. Πρωτοπολίτης dux civitatis potius est quam primus incola, neque jure Antonio ascribitur deserti exordium, cum senior Paulus ab ipso Athanasio primus anachoreta instituatur, nec nisi inepte alteruter cum apostolis dicitur floruisse, — ἀνθεῖσεν Αἴγυπτος sic C, omisso γῇ, nullo sensu. — ὦ item om. C, rupto metro. — Πατροπάτωρ inauditum est.

2. Aut hic habetur hirmus archetypus et celeberrimus, aut melodus, qualiscumque sit, sua fecerit antiquioris alterius prima verba. — v. 3 rhythmi legem frangit, dum non exit in paroxytonum. — Βελίαρ rhythmum lædit, nec mirum in voce peregrina, nec moror in imperfecta versiculi distinctione. Hactenus enim nondum spirat Theodorus, ipsiusque opus vix erit duplex proœmium. Inde vero, si quid ego aure et oculo calleo, incipit larvatus melodus, qui vitam ab Athanasio scriptam, lutoso et servili pede prosequitur, nec metro nec rhythmo parcens; immo barbara voce et solæca serie mihi omnino refert insulsum illum μουσουργὸν, qui vitam S. Simeonis ab Antonio ejus discipulo exaratam κατὰ πόδα relegens, eo ausus est, ut magni Romani nomen in acrostichide sibi assumeret. Vereor ut vel idem homo plumbeus adsit, vel similis Theodoro injuria impacta sit. Quid si tertiam in fraudem recurrat idem Græco-Italus, qui jam supra in VII, XII, semel et iterum vapulat ? Penes lectorem esto.

γ'. Ὁ θεόφρων ἐπακούσας * τοῦ Χριστοῦ προσκαλουμένου, * πάντα δοὺς τοῖς πένησιν, * ἀπεμόνασεν ὑπὸ γέροντι, * πράττων ἄριστα ἐπ' αὐτῷ * τῆς ὑποταγῆς κατορθώματα· * ἑκάστου ζηλῶν * τὸ ἐνάρετον, ὡς μέλιττα, * καὶ πάντων ὁμοῦ * ἀνθολογήσας τὰ κράτιστα, * γλυκάζει πάντας τοὺς εὐσεβῶς * βοῶντας καὶ ἐπᾴδοντας· * διὸ ὑπὲρ...

3. Divinus vir, ut audivit Christum vocantem, omnia pauperibus erogans, secessit apud senem, sub eo peragens optima obedientiæ exercitia, cujuscumque æmulans egregium exemplum; utque apis, meliores colligens flores, suavitate perfundit omnes pie clamantes et canentes: Ideo...

δ'. Ὑποβάλλει τοῦ Βελίαρ * ὁ στρατὸς τῷ Ἀντωνίῳ· * ὁ δὲ ὥσπερ ὁπλίτης * τοῦ παντάνακτος αὐτὸν ἔτρεψεν, * ὁπλιζόμενος τὰς εὐχάς, * ἀσπίδα τε τῆς ταπεινώσεως· * ἐν αἷς ἡττηθεὶς * ἀπωδύρετο ὁ δόλιος· * Θεῷ δὲ ᾠδὰς * νίκης προσφέρει ὁ ὅσιος· * τὸ ἆθλον τοῦτο πρῶτον αὐτοῦ * ἐγνώσθη τοῖς ἐπᾴδουσιν· * διὸ ὑπὲρ...

4. Irrupit Belialis agmen in Antonium: is vero, ut miles Omnipotentis eum profligavit, precibus armatus et scuto humilitatis. Quibus devictus ingemuit perfidus hostis. Victoriæ autem cantica Deo sanctus promit. Hoc primum ejus certamen innotuit canentibus: Ideo...

ε'. Σκληροτάταις ἐνεθίζων * ἀγωγαῖς τὸ αὐτοῦ σῶμα, * ἦν οὖν ἀκατάγνωστος * ὁ Ἀντώνιος· καὶ γὰρ ἤσθιεν * ἄρτον ἅλας τε καὶ ποτὸν * ἠρύετο ὁ γενναιότατος, * ὑπνώττων μικρὸν * ἐπὶ ψιάθου κατέκειτο * πολλάκις ποιῶν, * ὅλην τὴν νύκτα ἐπαγρυπνῶν· * ἐν τούτοις κατισχύει ἐχθροῦ, * στηρίζων τοὺς ἐπᾴδοντας· * διὸ ὑπὲρ...

5. Durissimis afflictionibus assuefaciens corpus, inde reprehendi nequivit Antonius. Etenim edebat panem cum sale, et potum sibi hauriebat vir impigerrimus; modicum dormiens, in storea jacebat, sæpe tota transacta in vigiliis nocte; per hæc invaluit hosti, confortans canentes : Ideo...

ϛ'. Ταῦτα βλέπων καὶ οὐ φέρων, * ὁ Σατὰν νύκτωρ ἐπέστη * μετὰ πλήθους δαιμόνων, * καὶ τὸν ἀθλητὴν πληγαῖς ἔκοψεν, * ὥστε ἄφωνον ἐπὶ γῆς * καὶ κεῖσθαι πόνοις ὑπερβάλλουσιν· * ὁ δὲ ἔσω ὢν * ἐν τῷ μνημείῳ ἐκραύγαζεν· * Οὐ φεύγω ὑμῶν * τὰς πληγὰς

6. Quæ cum videt, neque fert Satanas, nocte invehitur cum turba dæmonum, et athletam plagis confodit, eo usque ut elinguis humi jaceret, laboribus pene superantibus: at stans in sepulcro, clamabat: « Vestra non refugio vulnera, o dæmones. Christi

3. V. 3 iterum exorbitat, sicque fit in tr. 5, 7, 8, 9, 12, dum in cæteris alia accentuum norma est, quod terso melodo insolens est. — ἐν αὐτῷ ὑποτ. C. Rhythmus exigit: ἐνάρετον ὥσπερ μέλιττα. Plane ut legitur in vita athanasiana, n. 3.

4. Ὑποβάλλει omnino est ob acrostichidem pro ἐπιβάλλει. — En gravius codicis aut melodi vulnus: τοῦτον ἔτραψεν ὁ πλακτόμενος (sic) τὰς εὐχὰς καὶ ἀσπίδα τὴν ταπείνωσιν, ex quo nihil extundetur nec metri, neque sententiæ. — Pergens vero consarcinator, a n. 4 ad 5 ejusdem vitæ laudatæ transiit, ubi Satanas incipit memoriam facultatum subjicere ὑποβάλλων, aliaque, sed frustra: ὁ δὲ ταῖς εὐχαῖς ἀνέτρεπε τούτους etc. ubi pluries ὑποβάλλειν occurrit, et concluditur: τοῦτο πρῶτον ἆθλον Ἀντωνίου γέγονε, totaque melodi tela texitur. — Præmium certaminis τὸ ἆθλον, ut f. supra XVI, 9, pro ὁ ἆθλος sumitur.

5. οὖν pro metro additur. — Tum in vitæ n. 7 iterum: ἠγρύπνει γὰρ τοσοῦτον, ὡς πολλάκις καὶ ὅλην τὴν νύκτα διατελεῖν αὐτὸν ἄϋπνον, καὶ τοῦτο δὲ οὐχ ἅπαξ καὶ πλειστάκις ποιῶν ἐθαυμάζετο, quod tam planum est, quam in melodo intricatum. — ἰσχύει κατὰ τοῦ ἐχθροῦ C.

6. κατακεῖσθαι C, rumpit metrum, nisi legas κακκεῖσθαι vel ἐγκεῖσθαι plus minus bene. — μνημείῳ stuporem injicit, nisi scias ab historia Antonii cellam in vetere sepulcro positam fuisse. — χωρίσει τοὺς ψάλλ. C. Per totum confer vitam n. 8, 9, quibus adde Rom. VIII, 35-39.

ταύτας, ὦ δαίμονες· * τῆς γὰρ ἀγάπης τῆς τοῦ Χριστοῦ * οὐδὲν χωρίσει ψάλλοντας· * διὸ ὑπέρ...

ζʹ. Οὕτως ἔχων ὑποστρέφει * ἀθλητὴς αἵματος ἄνευ, * πάλιν τῆς ἀσκήσεως * ἀπαρχόμενος ὁ Ἀντώνιος, * φέρων ἔνδυμα ἐκ τριχῶν, * καὶ τὴν μηλωτὴν τὴν δερματικὴν, * οὐκ εἶδεν αὐτὸν * τὶς ἐν ποταμῷ γυμνόσαρκον * ἀνάγκῃ πολλῇ, * οὐδὲ τοὺς πόδας ὑδρεύσατο· * νηστεύων ἦν δὲ ὥσπερ τρυφῶν, * ἐφώτιζε ἐπᾴδοντας· * διὸ ὑπέρ...

ηʹ. Ὑπομείνας ταῦτα πάντα * ὁ σοφὸς ὁρᾷ ἀκτῖνα, * ἐκ τῆς τε γῆς λάμπουσαν, * ὑπὲρ κεφαλῆς ἀκτινόφωτον· * ὅθεν πέπαυται πόνος πᾶς * αἰφνίδιον τοῦ σώματος αὐτοῦ. * Καὶ ποῦ ἦς, βοᾷ, * ἕως τῆς δεῦρο, ὁ ὅσιος; * Φωνὴ πρὸς αὐτόν· * Ὧδε παρήμην, Ἀντώνιε· * ἐπεὶ δ' ἤθλησας, ὀνομαστὸν * ποιήσω σε ἐπᾴδουσι· * Χριστὸν ὑπέρ...

θʹ. Διὰ ταῦτα προθυμίας * ἐμπλησθεὶς ὁ γενναιόφρων, * κατοικεῖν τὴν ἔρημον * μοναχικῶς ἐναπήρξατο· * ὅσα θαύματα ἐν αὐτῇ * ἐτέλεσε τίς διηγήσεται; * Ἐκεῖ τὸν χρυσὸν * ὡς πηλὸν βλέψας, παρέρχεται· * τοῦ ἀργύρου δὲ * δίσκου τὸ φάσμα διήλεγξεν· * ἐκεῖ νηστείαις τε καὶ εὐχαῖς * ἐφώτιζε ἐπᾴδοντας· * διὸ ὑπέρ...

ιʹ. Ἱερέα εἰκονίζων * καθαρὸν ὁ ὑμνῳδός σου, * ὥσπερ πρὸ τῶν ποδῶν σου * κυλινδούμενος, πάτερ, κράζω σοι· * Δεῦρο, πρόφθασον νῦν κἀμοί, * καὶ ταῖς εὐχαῖς σου σῶσον δείλαιον, * τὸ μοναδικὸν * ζῆν ὑπὲρ κόσμον ἱκέτευε· * τὸ βιωτικὸν * βιοῦν ἐννόμως δυσώ-

« enim a charitate nihil separabit psallentes: « Ideo... »

7. Sic vexatus ad pugnam revertitur athleta exsanguis; iterumque asceticas primitias Antonius auguratus, fert indumentum ex crinibus et ex pelle melotem. Nemo hominum illum vidit in flumine carne nudum, vel multa urgente necessitate, neque pedes in unda tinxit; jejunio autem ut lautis dapibus fruens, illuminabat canentes: Ideo...

8. Postquam hæc omnia sustinuit sapiens, videt radium e terra erumpentem, et capiti super emicantem. Unde statim corporis labori finis impositus est. « Ast ubinam, ex« clamavit sanctus, hactenus eras? » Vox ad ipsum: « Aderam hic, Antoni! quando qui« dem dimicasti, te famigeratum faciam ca« nentibus: Ideo... »

9. Propterea alacritate plenus generosus vir secedere in desertum, solus cum solo dimicaturus, incœpit: ubi qualia egerit prodigia, quis enarrabit? Illic pro luto habet aurum; quo viso, pertransit; quin argentei disci larvam profligavit. Illic jejuniis et precibus illustravit canentes: Ideo...

10. Integri dum sacerdotis imaginem refero, ego tuus melodus, tanquam pedibus tuis provolutus, o pater, clamo tibi: « Ades« dum, propera nunc ad me, et precibus « tuis salvum fac ignavum; ut solitudinem « agat angelicam, deprecator; utque vitam

7. αἵματος ἄνευ, rara metathesis in melodis, sed rarius sic dicitur quis *exsanguis*. — καὶ ἄνωθεν τὸ δερμάτινον C, subverso quocumque sensu et metro. — οἶδεν C. — ποτὲ γυμνόσαρκον C, quod neque inauditum, neque extra modum esset, si legeris ποτὲ γυμνόν. — τοὺς ἐπᾴδ. C.

8. Extra sedem hoc trop. in cod. rejicitur ad calcem; filum historia restituit, hæc enim in vitæ n. 10 κατὰ λέξιν. Respuunt melodi τε quod hic otiatur, læditque modum, lege ergo ἐκ τῆς γῆς ἐκλάμπουσαν. — ὑπὲρ κεφαλῆς αὐτοῦ C. — ἀκτινόφωτον vox nova aut corrupta. — πέπαυτο sic C, dum biographus l. l. ἐπέπαυτο. — αὐτοῦ quod alibi abundat, om. C post σώματος. — ποῦ εἶς ἕδα C. — τοῖς σε ἐπ. C.

9. ἔχει τὸν χρῦσον V, lege pro rhythmo πηλὸν ὡς. Ut vita n. 11, 12. — τοῦ δὲ ἀργ. C. — τοὺς ἐπ. C.

10. ἱερῶν ἐξεικονίζων C. — ὡς πρὸ C. — ζῆν nec stare metrum, neque tolli sensus patitur, qui tamen sat obscurus manet. — omisso τοὺς, C pergit ἱερ. ἅμα καὶ ἀν. ἵνα πάντες. Iterum trop. videtur extra locum esse et clausulæ reservandum.

πησον * τοὺς ἱερεῖς τε καὶ ἄνακτας, * ἵν' ἅπαντες ἐπάδωμεν· * διὸ ὑπὲρ..

ια'. Ὅσοις ἄλλοις ἐκπειράζει * ὁ ἐχθρὸς τὸν μακαρίτην * οὐκ ἔχει ἐκλαλῆσαι * πᾶς τις ἱκανῶς. Ὢ τοῦ θαύματος! * κτύπους, φόβητρα, συσσεισμούς, * θηρῶν ὁρμὰς συγκινεῖ κατ' αὐτοῦ· * ὁ δὲ σφραγισμῷ * ταῦτα ἅπαντα ἀνέτρεπεν· * συνεργεῖ αὐτῷ * καὶ γὰρ ἐν τούτοις ὁ Κύριος, * δι' ἡμᾶς σάρκα πεφορεκὼς * καὶ φυλάττων τοὺς ᾄδοντας· * διὸ ὑπὲρ...

ιβ'. Ὑπὲρ κόρης τί πασχούσης * ἄρχων τις τῶν πιστοτάτων * διώχλει Ἀντώνιον * ἡσυχάζοντα, ἵνα εὔξηται· * τούτῳ ἔφησεν ὁ σοφός· * Εἰ σὺ πιστεύεις, ἔχεις ὃ αἰτεῖς. * Ἐκεῖνος εὐθὺς * πιστεύσας, χαίρων ἐβάδιζε· * Θεὸς δὲ αὐτοῦ * τὴν θυγατέρα ἰάσατο· * πολλά τε ἄλλα θαυματουργῶν * ἐφαίνετο ἐπάδουσιν· * διὸ ὑπὲρ...

« ex legibus vivant sacerdotes et reges, « exora, ut omnes cantemus: Ideo... »

11. Quot aliis tentationibus beatum urgeat inimicus, non est qui digne valeat eloqui. En stupenda res: commovet in eum ictus, horridas larvas, terræ motus, ferarum impetus: at ille signo crucis hæc omnia subruit: cooperatur enim illi inter hæc Dominus, qui pro nobis carnem tulit, et custodit canentes: Ideo...

12. Pro puella gravi morbo vexata princeps quidam inter fidelissimos, Antonii conturbat quietem, ut oret. Cui subjicit sapiens: « Si credis, habes quod petis. » Is statim fidem professus, lætus incedebat, Deus enim ejus filiam sanaverat. Et alia id genus multa prodigiose facere visus est canentibus: Ideo...

11. ἔχει ἐκκαλῆσαι C, post infelicem correctionem. — συγκλίνει αὐτῷ C. — σφραγισμῷ aut novum aut barbarum. — ἐπᾴδ. C, tum rhythmo ut medeatur legere est: φυλάττων τε ἐπᾴδοντας.

12. Omisso prægrandi sermone Antonii ad monachos, melodus saltum fecit ad vitæ n. 48, ubi refertur Martiniani ducis molestia ejusque filiæ sanatio, sed pergit ab immani barbarie: ὑπὲρ κόρης πατχιούσης, sic certe C. — διόχλει τῷ Ἀντωνίῳ ἡσυχάζοντι C, quod inepte melodus sumpsit ab Athanasio ἐγένετο δι' ὄχλου τῷ Ἀντωνίῳ, ne metro quidem de solœcismo monitus. — σὺ post εἰ om. C. — ὃ ᾔτησας C. — τὸ θυγάτριον C, aut melodia, aut metro, aut ambobus ubique et turpiter spretis. Sat superque mihi videtur, ut ad spuria totum poema amandetur; ea vero interdum a tenebris eruere, et plena in luce castigare, multum, nisi fallor, ad rem nostram confert, ut genuina melius innotescant, plurisque æstimentur. Hæc igitur adde pseudo-Romano, supra p. 210.

S. JOSEPHUS HYMNOGRAPHUS.

I.

IN VIGILIA NATIVITATIS D. N.

α'. Ἡ Παρθένος σήμερον
τὸν προαιώνιον Λόγον
ἐν σπηλαίῳ ἔρχεται
ἀποτεκεῖν ἀποῤῥήτως·
χόρευε,
ἡ οἰκουμένη
ἀκουτισθεῖσα·
δόξασον
μετὰ ἀγγέλων
καὶ τῶν ποιμένων
βουληθέντα ἐποφθῆναι,
παιδίον νέον,
τὸν πρὸ αἰώνων Θεόν.
β'. Ἱεραὶ προφητῶν
ῥήσεις τὸ πέρας εἴληφαν·
ἡ Παρθένος ἰδοὺ
τίκτει γὰρ τὸν παντέλειον,
Βηθλεὲμ ἐν πόλει,
ἔνδον τοῦ σπηλαίου·
ἡ κτίσις πᾶσα,

1. Hodie Virgo
Verbum ante sæcula genitum
prodigiose paritura,
specum ingreditur :
choreis exulta,
orbis terrarum,
auribus attentis :
da gloriam
cum angelis
et pastoribus
sponte se declaranti
puerum novum,
Deum ante sæcula.
2. Sacra prophetarum
eloquia terminum capiunt :
ecce enim Virgo
parit omnium finem,
in civitate Bethleem,
intra speluncam.
Universa creatura,

Quantus inter melodos S. Josephus fuerit, ex ipso cognomine palam est, quum eum κατ' ἐξοχὴν *Hymnographum* ab ævo salutaverint. Theodoro æqualis vixit, æmulus atque socius, cum ambo quasi datis consiliis junctisque dexteris, sacrum inter se annum diviserint; immo, ut in toto triodii tempore, in quadragesima simul et paschali cyclo, singulis diebus hymnos suos geminarent. Audacior quidem Theodorus, impetu et pompa insolentior : quietus vero Josephus, haud frigidus tamen, neque omnino ab omnium magistro et duce Romano absimilis aut degener, quantum ætas tulerit. Cæterum haud dissimulaverim duplicem esse Josephum fere coæqualem, unum Studitam monachum, alterum S. Sophiæ scevophylacem, quem proprie dixere Hymnographum. Arduum opus est inter ambos opera dividere; nisi quod priori potius ea tribuam quæ magis ad Theodori genus accedunt, posteriori vero quæ vena magis temperata fluunt.

I. Bene est quod statim ab initio Josephus primum Romani hirmum respiciat, primaque verba ab ejus ore suscipiat, et in eadem exultet ephymnia. Extant in solo taurin. f. 48.

1. Hoc procemium a Romano p. 1 et 202, in hoc differt quod versiculus trisyllabus bis interjaceat, idque jubeat series sex similium inde canticorum : immo haud aliter distinxisse Romanum quam Josephum, iisdem verbis, sonis, clausulisque similibus efficitur.

2. Apud Romanum l. l. vers. 12 in duos dividitur. — εἴληφαν sic T pro εἰλήφασι, quod metrum

καινοποιήθητι,
ἀγάλλου καὶ χόρευε·
μετὰ τῶν δούλων
συναναστρέφεσθαι
πάντων ὁ δεσπότης παρεγένετο,
τῆς δεσποτείας
τοῦ ἀλλοτρίου
ἀπολυτρούμενος ἡμᾶς,
καθυπαχθέντας τῇ φθορᾷ,
καὶ ὁρᾶται ὡς βρέφος,
σπαργανούμενος ἐν φάτνῃ,
παιδίον νέον,
ὁ πρὸ αἰώνων Θεός.

jam innovator,
lætare et exulta;
cum servis
conversaturus
Dominus omnium advenit,
ut a tyrannide
alienigenæ
liberet nos,
putredini subditos;
ac similis puero cernitur,
fasciis involutus in præsepio,
puer novus,
ante sæcula Deus.

γ'. Ὢ φρικτοῦ ἀληθῶς * καὶ ὑπὲρ λόγον θαύματος! * ὁ τὸ εἶναι διδοὺς * πᾶσιν δι' ἀγαθότητος, * Παρθένου ἁγίας * μήτραν ὑπεισῆλθεν, * καὶ ἐν σπηλαίῳ * τεχθῆναι ἔρχεται * καὶ φάτνῃ τεθήσεσθαι· * ἀστὴρ δὲ τοῦτον * κηρύττει ἄνωθεν * Μάγοις ἐρχομένοις εἰς προσκύνησιν * αὐτοῦ σὺν δώροις * ἀπομακρόθεν, * προσεφελκόμενος σπουδῇ * ἀκολουθοῦντας Βαλαὰμ * τῇ προῤῥήσει εἰπόντος· * Ἄστρον μέλλει προμηνύειν, * παιδίον νέον...

δ'. Σαρκωθέντα Θεὸν * ἔνδον ὡς βρέφος φέρουσα, * ἡ παρθένος ἁγνὴ * θάμβει πολλῷ συνείχετο· * καιροῦ δὲ καλοῦντος * αὐτὸν ἀποδεῖξαι * ἀπογραφέντα * δόγματι Καίσαρος, * δι' ἄφατον ἔλεος, * τῆς Ἰουδαίας * εἰς πόλιν ἔρχεται, * ἐκ βασιλικῆς ῥίζης ὑπάρχουσα, * καὶ τῷ πρεσβύτῃ * Ἰωσὴφ ἔφη· * Ὁ ἐνοικήσας ἐν ἐμοὶ, * τεχθῆναι βούλεται νυνὶ * καὶ ὀφθῆναι τῷ κόσμῳ, * ὡς ηὐδόκησεν ἀφράστως, * παιδίον...

ε'. Ἠσαΐας τὴν σὴν * σάρκωσιν προηγόρευσε, * καὶ λοιπὸν προφητῶν * ὁ ἱερὸς κατάλογος * τὴν μετὰ ἀνθρώπων * συναναστροφήν σου, * ἐβόα πάλαι * ἡ ἀπειρόγαμος, *

3. O vere stupendum et inenarrandum prodigium! Ille qui pro munificentia omnibus dat esse quod sunt, in Virginis uterum ingressus est, adestque ut in antro exoriatur et ponatur in præsepio. Quem stella desuper Magis nuntiat, cum muneribus a longe venientibus, ut adorent eum; ipse eos alacriter accersit, obsecutos vaticinio Balaami dicentis : Stella nuntiabit puerum novum...

4. Deum carne factum Virgo casta intus ut puerum gestans stupore multo capta est; tempore autem urgente, ut puer se describi faciat juxta Cæsaris decretum et ob ineffabilem clementiam, Virgo petit Judææ civitatem, cum regia ex stirpe sit, ac seni Josepho ait : « In me qui inhabitat, nunc vult « edi se et ostendi mundo, factus, arcano « modo, ut sibi placuit, puer novus... »

5. « Isaias præsignavit tuam incarnatio« nem, ac postea prophetarum sacra series « dixit tuam cum hominibus conversatio« nem, aiebat olim puella inupta, ubi Ver-

excludit. f. ἔλαβον. — ἀλλοτρίου. Haud solum cum Hebr. XI, 34, sed et cum Homero Il. V, 214; Xenoph. Anab. III, 5, 5; Thucydid. IV, 94.

3. ἀστὴρ μέλλει T, contra acc. et Num. XXIV, 17: ἀνατελεῖ ἄστρον.

4. πρεσβύτῃ. Josephi senium raro apud veteres memoratur. — ηὐδόκησεν omnino, ut Roman. cant. I, tr. 3.

5. δάκρυα φέρουσα T depravate.

τὸν Λόγον κυήσασα, * καὶ ἐν ἀγκάλαις * τοῦτον κατέχουσα, * καὶ χαρμονικῶς δάκρυα χέουσα· * Πῶς θεωρῆσαι * αἱ ἄνω τάξεις * ὃν οὐδὲ δύνανται ἰδεῖν, * καὶ ἀδεῶς οὕτως κρατῶ; * προσκυνῶ σου τὸ κράτος, * ὅτι θέλων ἐγεννήθης * παιδίον...

ϛ'. Φαιδρυνέσθω ἡ γῆ, * τὸν πρὶν αὐτὴν κοσμήσαντα * δυναστείᾳ πολλῇ * πολυειδέσιν ἄνθεσιν * ὑποδεχομένη * σπηλαίῳ τεχθέντα. * Ἀνθρώπων γένος, * ἀνακαινίσθητι * καὶ σκίρτα καὶ χόρευε. * Σὺν δώροις, Μάγοι, * ἰδεῖν προφθάσατε * τὸν Ἐμμανουήλ. Βρέφος θεάσασθε, * ποιμένες, τοῦτο * μετὰ ἀγγέλων· * ὑμνολογήσατε ὁμοῦ· * Δόξα, βοῶντες, τῷ Θεῷ * ἐν ὑψίστοις, εἰρήνη * ἐπὶ γῆς, ὅτι ἐτέχθη * παιδίον νέον, * ὁ πρὸ αἰώνων Θεός.

ζ'. . . . . * . . . . νων σοι, * ἐπὶ γῆς ἐντελῶς; * φάτνη πῶς σε εἰσδέξεται, * ὁρώμενον βρέφος, * ἀόρατε φύσει; * ποιμένες πῶς σε * πάλιν θεάσονται * ἀμνὸν Θεοῦ ἄμωμον; * πῶς ἐκ Περσίδος * αὖθις ἐλεύσονται * Μάγοι βασιλεῖς, δῶρα κομίζοντες * τῷ βασιλεῖ σοι, * καὶ πάντων κτίστῃ; * πῶς γαλουχήσει σε τροφὸς, * ὄντα τροφέα τοῦ παντός; * πῶς μηνύσει ἀστήρ σε * ἀστρολόγοις ἐρευνῶσι * παιδίον νέον, * τὸν πρὸ αἰώνων Θεόν;

« bum peperit et inter ulnas tenuit eum, et « præ lætitia dedit lacrymas. Quomodo, « inquit, adeo mihi invaleo, ut eum cernam « quem ne quidem videre queunt superna « agmina? Adoro tuam potestatem, qui « sponte nasceris novus puer... »

6. Lætetur terra, dum excipit in specu genitum illum qui potestate sua tellurem primitus omni florum varietate decoravit. Renovator, hominum genus, et tripudio et choreis exulta. Magi, properate cum donis ad videndum Emmanuel. Pastores, hunc intuemini puellum: hymnum illi dicite cum angelis, clamantes: « Gloria Deo in excel« sis, pax in terra, quia natus est puer no« vus, ante sæcula Deus. »

7. « [Cur venis.....e cœ]lis, in terra om« nino mansurus? Te quomodo præsepium « excipiet conspicuum puellum qui natura « invisibilis es? te quomodo porro vide« bunt pastores agnum Dei illibatum? Rur« sus quomodo Persarum reges Magi ve« nient dona tibi proferentes, regi et condi« tori omnium? Quomodo te nutrix alet, « altorem totius orbis? Quomodo stella te « renuntiabit astrologis, perscrutantibus « puerum novum, Deum ante sæcula? »

6. μάγοι συν δώροις T.

7. Ne pereat, accedat frustulum ejusdem toni ac fortasse poematis, extra sedem rejectum et mutilum in taurin. f. 39. Librarii, opinor, vetus error est, decepti ultima fol. 38 dictione incipiente περισταμέ... facile jungenda cum nostris. Pergere potuit acrostichis Ἰωσὴφ ᾠδή, ut sæpe. — ἀτελῶς T.

II.

DE S. DANIELE.

α'. Καθαρθεῖσα Πνεύματι * ἡ καθαρά σου καρδία * προφητείας γέγονε * φαεινοτάτης δοχεῖον· * βλέπεις γὰρ, * ὡς ἐνεστῶτα, *

1. Repurgatum Spiritu, mundum cor tuum factum est vas luculentissimæ prophetiæ: cernis enim ut coram te quæ procul

II. Extat in taurin. f. 35.

1. καθαρθεῖσα, ut infra ἀγγελικ. tr. 63 καθαρθῶμεν τὰς αἰσθήσεις, et tr. 123 καθαρθέντες τὰς αἰσθήσεις. Sed ob proximum illud ἡ καθαρὰ minus placet. Fort. mel. ἀναρθεῖσα.

τὰ πόῤῥω ὄντα, * λέοντας * ἀποφιμώσας, * βληθεὶς ἐν λάκκῳ· * διὰ τοῦτό σε τιμῶμεν, * προφῆτα μάκαρ, * Δανιὴλ ἔνδοξε.

β'. Ἰησοῦν τὸν Χριστὸν, * τὸν ἀληθῆ Θεὸν ἡμῶν, * οὗ τὴν θείαν τρανῶς * ἔλευσιν προηγόρευσας, * δυσώπει ἀπαύστως, * τοῦ ἐν εὐφροσύνῃ * τὴν θείαν ταύτην * τελοῦντας μνήμην σου, * καὶ πίστει τιμῶντάς σε, * πειρατηρίων * παντοίων σώζεσθαι * καὶ ἁμαρτιῶν καὶ περιστάσεων, * ὡς παῤῥησίαν, * θεόφρον, ἔχων, * καὶ ἐν ἀνοίξει τῶν ἐμῶν * δίδου χειλέων σὲ ὑμνεῖν * ἀκατάγνωστον λόγον, * καὶ μηδόλως με βδελύξῃ, * προφῆτα μάκαρ...

γ'. Ὤφθης σὺν τοῖς τρισὶ * πάλαι παισὶ, θαυμάσιε, * ἐξαστράπτων πολλῇ * σοφίᾳ τε καὶ χάριτι * καὶ θείᾳ φρονήσει * καὶ δικαιοσύνῃ, * τῶν βασιλέων * τὰ θεωρούμενα * συγκρίνων ἐνύπνια, * καὶ κατὰ τοῦτο * μεγαλυνόμενος * ἔναντι αὐτῶν, ὡς δοῦλος γνήσιος * τοῦ εὐεργέτου, * τοῦ σε τοιοῦτον * σκεῦος τελέσαντος, σοφὲ, * εὔχρηστόν τε καὶ δεκτικὸν * ἐπιλάμψεων θείων· * διὰ τοῦτό σε τιμῶμεν, * προφῆτα...

δ'. Συνεστῶτα ποτὲ * τὸν ἱερὸν ἑώρακας * τοῦ Θεοῦ λειτουργὸν, * καὶ τῶν ἀγγέλων ἄρχοντα * συνετίζοντά σε * τὰς θείας ὁράσεις, * δι' ὧν ἐμφρόνως * ἡμῖν ἐδήλωσας * τὰ ἄδηλα κρίματα * τοῦ ἐκ Παρθένου * κόρης θεόπαιδος, * ὡς ἀπὸ μεγάλου ὄρους, ἔνδοξε, * τμηθέντος λίθου * ἄνευ ἀνθρώπου * χειρὸς, καὶ πάντα τὰ γλυπτὰ * καὶ χειροποίητα σαφῶς * τῆς ἀπάτης τοῦ πλάνου * καθελόντος δυναστείᾳ, * προφῆτα...

ε'. Ἡ γραφὴ, ἥν ποτε * ὁ τῆς χειρὸς ἀστράγαλος * ἐν τῷ τοίχῳ τυπῶν * ὤφθη, σοὶ ἐκκεκάλυπται, * καὶ ταύτης μανθάνων * τὴν δήλωσιν, μάκαρ, * ἄναξ ὁ τότε * τοῦτο

sunt; leonum ora obturas, missus in lacum; ideo te honoramus, propheta beate, Daniel gloriose.

2. Jesum Christum, verum Deum nostrum, divinum cujus adventum propalam prænuntiasti, exora indefessus, ut eos qui cum lætitia sacram tuam memoriam exsequuntur et cum fide recolunt, eripias a multiplicibus tentamentis et a peccatis ac necessitatibus, ut pote, o vir Dei, fiduciam apud eum habens; utque labia aperiam in laudem tuam, da mihi irreprehensibilem sermonem, ne me despexeris, o propheta...

3. Apparuisti olim una cum tribus pueris, o vir mirabilis, coruscans ex multa sapientia et gratia, ex divina prudentia et justitia, regibus ostensa somnia discernens, et propterea exultatus coram illis, ut sincerus Dei munifici servus, qui tantum in te, o sapiens, perfecit vas, longe utile et aptum ad divina lumina continendum : ideo te honoramus...

4. Tecum stantem olim sacrum vidisti Dei ministrum, et principem angelorum tibi interpretantem divinas visiones; ideoque scite nobis aperuisti occulta judicia filii Dei ex Virgine nati, quomodo lapis, magno ex monte sine hominis manu excisus, vir inclyte, omnia erroris simulacra, sculptilia et arte fabricata, aperta potestate sua comminuerit, o propheta....

5. Scriptura, quam olim digitorum articulus scribere visus est in pariete, tibi revelata fuit; ejusque interpretationem a te, beate, discens tunc temporis rex, id intui-

2. Initium impeditum cf. cum III, 2 infra. — τοὺς ἐν εὐφρ. T. τοῦ pro ὥστε et per ellipsin ab ἕνεκα τοῦ, etiam vett. usurpavisse grammatici tenent.
4. θεόπαιδος, ut de Christo apud Nonnum Metaph. XIX, 138, et alias de Virgine *filia Dei*, et sic fort. Sophron. Sed ipse Josephus diserte *de matre Dei* alibi usurpat, ut diximus ad Roman. XXIX, 40. — καθελὼν τὰς δυν. T.
5. σὺ ἐκεκάλ. T. — τότε τούτῳ T. — εἶδος ἐν T.

θεώμενος, * ἐξέστη και ἔφριξεν, * καὶ τοῖς ποσί σου * προκυλινδούμενος, * ἄγγελον Θεοῦ σε παντοκράτορος * καθυπενόει, * καὶ εὐπειθῶς σου * ὅλους τοὺς λόγους ἐκπληροῖ, * εἰδὼς ἐν Πνεύματι Θεοῦ * σε φθεγγόμενον πάντα, * καὶ μυστήρια δηλοῦντα, * προφῆτα...

ς'. Φωταυγὴς ὡς ἀστὴρ * σὺν τοῖς τρισὶν ἐξέλαμψας * νεανίαις, σοφὲ, * τοῖς σβέσασι τὴν κάμινον * ἐν συγκαταβάσει * ἁγίου ἀγγέλου· * βληθεὶς δ' ἐν λάκκῳ, * ὡς μάρτυς ἔνθεος, * νηστεύειν τοὺς λέοντας * ταῖς ἐπιμόνοις * εὐχαῖς ἐδίδαξας, * Βὴλ δὲ τὸν θεὸν ἀθέων ὤλεσας, * καὶ δι' ἀγγέλου * τροφὴν ἐδέξω, * καθυπουργοῦντος Ἀμβακούμ· * ἀλλὰ μνημόνευε ἡμῶν, * τῶν ἐν πίστει τελείᾳ * ἐκτελούντων σου τὴν μνήμην, * προφῆτα μάκαρ, * Δανιὴλ ἔνδοξε.

tus, expavit et horruit, pedibusque tuis provolutus, angelum Dei omnipotentis esse te intellexit, tibique morem gerens, tuos integros sermones implevit, cum vidisset te in Spiritu Dei omnia locutum, et mysteria pandentem, o propheta...

6. Ut sidus vibrasti fulgorem, o sapiens, cum tribus adolescentulis, qui fornacem extinxerunt, delapso sancto angelo. In foveam vero dejectus, ut martyr divinus, leones jejunia pati tuis edocuisti assiduis precibus, Belum vero atheorum deum destruxisti, et cibos per angelum, cooperante Habacuc, recepisti. At memento nostri, perfecta in fide tuam celebrantium memoriam, o beate propheta, Daniel inclyte.

6. βληθεὶς δὲ λάκκῳ T. — θεὸν ἀθέως T.

III.

DE S. ANDREA APOSTOLO.

α'. Πρωτοδότοις λάμψεσι * τοῦ ἀνατείλαντος Λόγου * φωτισθεὶς, ἐξέλαμψας * καθάπερ ἥλιος μέγας· * ἔλυσας * πολυθεΐας * νύκτα βαθεῖαν· * ἔπαυσας * τῆς ἀγνωσίας * πικρὸν χειμῶνα· * διὰ τοῦτό σε τιμῶμεν, * Ἀνδρέα μάκαρ, * Χριστοῦ ἀπόστολε.

β'. Ἰησοῦν τὸν Χριστὸν, * ὃν εὐσεβῶς ἐκήρυξας * ἐκ Παρθένου ἁγνῆς * σάρκα θνητὴν φορέσαντα, * καὶ ὁμοιωθέντα * ἀνθρώποις βουλήσει, * σοφὲ, δυσώπει * λόγον ἐμπνεῦσαί μοι * ἀνυμνολογῆσαί σου * τοὺς θείους δρόμους * καὶ τὰ παλαίσματα * καὶ ὑπερφυῆ τὰ ἀριστεύματα· * δι' ὧν καθεῖλες * τὰς παρατάξεις * τῶν ἀσωμάτων δυσμενῶν * καὶ τῶν ἑλλήνων τελετάς· * καὶ τῆς ἄνω πολίτης * ἀνεδείχθης βασιλείας, * Ἀνδρέα...

1. Exorientis Verbi prioribus radiis illuminatus emicuisti, sol veluti magnus; dissipasti multorum deorum profundam noctem; missum fecisti ignorantiæ tetrum turbinem : idcirco te honoramus, Andrea beate, Christi apostole.

2. Jesum Christum, cujus præco pius fuisti, qui casta de Virgine carnem humanam sumpsit, et similis sponte factus est hominibus, o sapiens, deprecator, ut mihi sermonem inspiret, unde hymnis tuos canam divinos cursus, et certamina, et naturæ superiora nobiliaque gesta : quibus dejecisti instructas acies spiritualium hostium et Græcorum theurgias, civisque superni factus es regni, Andrea...

III. Extat in taurin. f. 17.
1. βαθεῖσαν sic T. Cf. V, 1, ubi similia.

2. βουλήσει. Romani æmulum agnosce. — καὶ τὰ ὑπὲρ φύσιν ἀριστεύματα T, læsa melodia.

γ'. Ὡραιώθη τὰ σὰ, * ἔνδοξε, διαβήματα, * ὁπηνίκα Χριστὸν * πρῶτος εὑρὼν ἐβόησας * συγγόνῳ τῷ θείῳ· * Εὑρήκαμεν, Πέτρε, * ὃν οἱ προφῆται * πάλαι προήγγειλαν, * καὶ νόμος ἐδήλωσεν, * ἐκ τῆς Παρθένου * σάρκα πτωχεύσαντα, * καὶ ἐπὶ τῆς γῆς ξένως βαδίζοντα· * δεῦρο οὖν τούτου * ταῖς λαμπηδόσι * καταυγασθέντες τὰς ψυχὰς, * ἀκολουθήσωμεν αὐτῷ. * Τοῦτο πρῶτόν σου κλέος, * τῶν ἀγγέλων συμπολῖτα, * Ἀνδρέα...

3. Decori sunt gressus tui, o gloriose, Christum quando primus inveniens clamabas divino tuo germano : « Invenimus, « Petre, quem prophetæ olim nuntiaverunt, « et lex declaravit, ex Virgine carnem mendici instar adeptum, et super terram mi« rabiliter ambulantem ; veni ergo, ejusque « fulgoribus ambo animas perfusi, sequa« mur eum. » Hoc primum tibi decus, tu angelorum civitatis jure potitus, Andrea...

δ'. Φωτοβόλος ἀστὴρ * γεγενημένος πνεύματι * ἐκ περάτων τῆς γῆς * ἕως περάτων ἥπλωσας * τῶν σῶν διδαγμάτων * τὰς θείας ἀκτῖνας, * καὶ τοὺς ἐν σκότει * πάλαι καθεύδοντας * τῆς πλάνης ἐφώτισας, * υἱοὺς ἡμέρας * ἀπεργασάμενος * διὰ θεουργοῦ, σοφὲ, βαπτίσματος· * ἀλλὰ δυσώπει * Θεὸν ἀπαύστως, * ἵν' εἰρηνεύσῃ τὴν ἡμῶν * νῦν πολυώδυνον ζωὴν, * βασιλεῖς καταρτίζων, * ἱερεῖς διαφυλάττων, * Ἀνδρέα μάκαρ, * Χριστοῦ ἀπόστολε. *

4. Sidus flammivomum factus, expandisti in spiritu a finibus inde ad fines terræ divinos tui magisterii radios, et sopitos dudum in erroris nocte illuminasti, filios diei eos faciens per baptisma deificum, o sapiens. Sed Deum exora sine quiete, ut in pace componat hanc nostram ærumnis vexatam vitam, imperatores dirigens, sacerdotes custodiens, Andrea beate, Christi apostole.

3. πάλιν πρ. Mirum quam sæpe πάλιν pro πάλαι intrudatur.

4. Deesse trop. duo Σ, H, hic et alibi lector per se moneatur. — τοῦ εἰρηνεῦσαι T, subversa serie.

IV.

DE S. STEPHANO.

α'. Ὁ Δεσπότης χθὲς ἡμῖν * διὰ σαρκὸς ἐπεδήμει, * καὶ ὁ δοῦλος σήμερον * ἀπὸ σαρκὸς ἐξεδήμει· * χθὲς μὲν γὰρ * ὁ βασιλεύων * σαρκὶ ἐτέχθη, * σήμερον * δὲ ὁ οἰκέτης * λιθοβολεῖται * δι' αὐτὸν, καὶ τελειοῦται * ὁ πρωτομάρτυς * καὶ θεῖος Στέφανος.

1. Heri nobiscum Dominus in carne hospitatus est, hodie servus e carne peregrinatur; heri imperator in carne editus est, hodie famulus saxis obruitur propter eum, et immolatur primus ac divinus testis Stephanus.

β'. Ὡς ἀστὴρ φαεινὸς * σήμερον συνεξέλαμψε * τῇ γεννήσει Χριστοῦ * ὁ πρωτομάρτυς Στέφανος, * ἀστράπτων, φωτίζων * πάντα τὰ πέρατα

2. Splendidum ut sidus hodie coruscavit cum ortu Christi Stephanus protomartyr, fulgura, lumina usque in ultimos fines mit-

IV. Extat in taurin. f. 52. Edd. ven. retinent duo priora trop. nisi quod taurin. habeat in 1 ἐπεφάνη pro ἐξεδήμει, et in 2 restituat inconcinna ἀστράπτων, φωτίζων | τῆς γῆς τὰ πέρατα πάντα, | tum emendet σοφίᾳ λόγων ubi male ven. σοφίαν λόγοις.

1. χθὲς γὰρ καὶ T. μὲν γὰρ, dein δὲ om. rom. ed. — Syllaba ephymnio deest.

2. καὶ φωτίζ. rom. — Nota v. 6 novam melodiam. — σοφίας λόγοις τούτους διελέγξας rom. — υἱὸν Θεοῦ εἶναι καὶ Θεὸν T.

πάντα · * τῶν Ἰουδαίων * μόνος ἠμαύρωσε * τὴν πᾶσαν δυσσέβειαν, * σοφίᾳ λόγων * τούτους διήλεγξε, * ἀπὸ τῶν γραφῶν διαλεγόμενος, * καὶ πείθων τούτους, * τὸν γεννηθέντα * ἐκ τῆς Παρθένου Ἰησοῦν * υἱὸν αὐτὸν εἶναι Θεοῦ, * καὶ κατήσχυνε τούτων * τὴν ἀσεβῆ κακουργίαν * ὁ πρωτομάρτυς...

γ'. Διαπρέψας καλῶς * ἐν ἀκριβείᾳ πίστεως, * διακόνων Χριστοῦ * πρόκριτος ἐχρημάτισας, * χερσὶν ἀποστόλων * χειροθετούμενος, * καὶ διεδίδους * χήραις καὶ πένησιν * πλουσίως τὰ δέοντα, * οὐ μόνον τούτων * τρέφων τὰ σώματα, * ἀλλὰ καὶ ψυχὰς ἐφώτιζες αὐτῶν, * ὑποστηρίζων * τὴν ἐκκλησίαν * τοῦ θεοκλήτου λαοῦ * τῶν πιστευόντων τῷ Χριστῷ, * καὶ διέλαμπες τούτοις * ὡς φαιδρὸς ὢν ἑωσφόρος, * ὁ πρωτομάρτυς * καὶ θεῖος Στέφανος.

δ'. Ἡ καλὴ ἀπαρχὴ * τῶν ἀθλητῶν ὁ Στέφανος, * ὁ πληρέστατος ὢν * χάριτος καὶ δυνάμεως, * ἐποίει σημεῖα * μεγάλα, ἔνδοξα, * τοὺς ἀσθενοῦντας * πάντας ἰώμενος * ψυχῇ τε καὶ σώματι, * τοὺς πεπτωκότας * ἐπανορθούμενος, * λύων τὸν δεσμὸν τῶν παραπτώσεων, * χριστομιμήτως * καὶ παρειμένους ἀνορθῶν, * καὶ τοὺς ἐκ πλάνης ὁδηγῶν, * λεπροὺς καθαίρων, * πρὸς ἐπίγνωσιν τούτους * ἐπαναγαγὼν Τριάδος, * ὁ πρωτομάρτυς...

ε'. Ὡς ἀδάμας στεῤῥὸς * ἔφερεν ἐν ταῖς θλίψεσιν, * αἷς παρεῖχον αὐτῷ * δεινῶς οἱ σκληροτράχηλοι, * ὠσὶ καὶ καρδίᾳ * οἱ ἀπερίτμητοι, * οἱ τὰ Μωσέως * παραχαράττοντες * θεόγραφα λόγια, * οἱ τοὺς προφήτας * πάλαι διώξαντες · * οὗτοι καὶ Χριστὸν φθόνῳ ἐσταύρωσαν * προφητοκτόνοι * καὶ θεοκτόνοι, * ὡς γεγονότες ἀπ' ἀρχῆς * καὶ πονηροὶ καὶ ἀπειθεῖς, * ἀλλ' ἐνέτρεψεν τούτων * τὰς πονηρὰς σκευωρίας, * ὁ πρωτομάρτυς...

tens : solus Judæorum omnem obscuravit impietatem, sapientia concionum suarum eos profligavit, a scripturis argumenta sumens, eisque demonstrans natum ex Virgine Jesum esse Filium Dei, pudefecit eorum impiam perfidiam, primus ille ac divinus martyr Stephanus.

3. Omnibus egregie præstantior in fidei diligentia, diaconorum Christi princeps appellatus es, tibi apostolorum manibus impositis, et dedisti viduis et pauperibus ubertim necessaria; corpora nedum nutriens, sed animas illuminans, confirmasti ecclesiam populi christiani, a Deo electi, omnibusque illuxisti, ut lucifer splendidus, protomartyr, divine Stephane.

4. Pulchræ primitiæ athletarum Stephanus, gratia cum sit cumulatissimus et virtute, signa promit ingentia, insignia : qui omnes sanans infirmos in anima et corpore, lapsos erigit, vincula cadentium solvit, Christique imitator, paralyticos restituit, repurgat leprosos, deviosque dirigit eosque inducit ad Trinitatem agnoscendam, ut protomartyr...

5. Sicut adamas durus, extitit in pressuris, quas intulere ei immaniter isti cervicosi, isti incircumcisi auribus et cordibus, isti divina Moysis oracula adulterantes, isti olim prophetarum persecutores, eademque invidia cruci Christum affigentes, vaticidæ ac deicidæ, quales ab initio fuerunt, improbi et increduli : at redarguebat eorum improbas cavillationes protomartyr...

3. χειροθετούμενος, bis in accentum quamvis peccet, præstetque σοι ἐπιτεθείσαις, retineo, tum ob liturgicam proprietatem, tum quia seriores melodi sesquipedale verbum pro toto versu malunt. — ἐφώτιζεν ὑποστηρ. T. — mox aliquid deest, f. πρώτου θεοκλ. λαοῦ, de primitiva ecclesia. — Rursus in penult. v. ὢν additur.

4. ἄνδοξα, μεγάλα T, invito rhythmo. — In fine τῆς Τριάδος T.

5. καὶ add. ante πονηροί.

ϛʹ. Συζητοῦντες αὐτῷ * οἱ ἀπὸ τῆς αἱρέσεως * Λιβερτίνων δεινοὶ * καὶ Κυρηναίων ἄφρονες, * οὐκ ἴσχυον τούτῳ * ἀνταγωνίζεσθαι, * καὶ γὰρ δυνάμει * καὶ θείᾳ χάριτι * αὐτοῖς διελέγετο· * καὶ συλλαβόντες * εἰς τὸ συνέδριον * ἤγαγον αὐτὸν τῆς ματαιότητος, * καὶ κατηγόρουν * ὡς δυσφημοῦντα * εἰς Μωϋσῆν καὶ τὸν Θεὸν, * οἱ ἀμφοτέροις βδελυκτοὶ, * ἀλλ' οὐκ ἔπτηξε τούτων * τὰς φονικὰς ἐπηρείας, * ὁ πρωτομάρτυς...

ζʹ. Τοὺς ὀδόντας αὐτῶν * βρύχοντες οἱ παράνομοι, * τὰς καρδίας αὐτῶν * βριμῶντες διεπρίοντο * ἐν τῇ παῤῥησίᾳ * τοῦ πρωτομάρτυρος, * οἱ τῷ ἁγίῳ * καὶ θείῳ Πνεύματι * ἀεὶ ἀντιπίπτοντες, * καὶ εἰσορῶντες * τὸ τούτου πρόσωπον * ἀγγελοειδὲς φῶς ἀπαστράπτοντος, * ὡς ἐθεώρει * ἀνεῳγμένους * τοὺς οὐρανοὺς, καὶ τὸν Υἱὸν * ἐκ δεξιῶν ὄντα Πατρὸς, * καὶ ἐνέπλησεν τούτων * τὰς πονηρὰς ἀτιμίας, * ὁ πρωτομάρτυς * καὶ θεῖος Στέφανος.

6. Cum eo disputantes qui ex nefaria secta erant Libertinorum et Cyrenensium amentia, adversus eum resistere non valebant, nam in virtute et gratia Dei, cum eis argumentabatur. Eumque comprehendentes adduxerunt in quoddam synedrium vanitatis, et accusarunt eum tanquam blasphemum in Moysen et in Deum, ipsi utrique execrandi, sed non formidavit cruenta eorum consilia protomartyr...

7. Dentibus frendentes homines perversi cordibusque rugientes, ira succendebantur ob primi martyris confidentiam, isti semper in sanctum et divinum Spiritum infesti, et aspiciebant vultum ejus angelis similem, quando lumina vibrans, vidit cœlos apertos et Filium stantem in dextera Patris, eorumque exhausit pessima opprobria protomartyr, ille divinus Stephanus.

6. συζητ. αὐτὸν T. — ἀνταγωνισθῆναι T contra metr. — εἰς Μωσῆν T. Cf. Act. VI, 9.

7. καὶ εἰσορῶσι T. — ἀπαστράπτοντα graviori peccato T, ut mox ὄντα τοῦ πατρὸς, rupto metro.

V.

DE S. IGNATIO.

αʹ. Ἀποστόλων σύνθρονος, * ἱεραρχῶν ὡραιότης * γεγονὼς, Ἰγνάτιε, * μαρτυρικῶς ἐδοξάσθης· * ἔλαμψας * καθάπερ ἄστρον * πάντας φωτίζων· * ἔλυσας * τῆς ἀθείας * νύκτα βαθεῖαν· * διὰ τοῦτό σε τιμῶμεν, * ὡς θεῖον ὄντως * ἱερομύστην Χριστοῦ.

βʹ. Ὡς Θεοῦ ἱερεὺς, * ὡς λειτουργὸς οὐράνιος, * ὡς ποιμένων ποιμὴν, * ὡς ἀθλητὴς ἀήττητος, * τὰς ἄνω χορείας * νῦν συναγελάζων, * ἱερομύστα, * φῶς μοι κατάπεμψον, * καὶ λόγον μοι ἔμπνευσον * ἀνευφημῆσαι *

1. Apostolorum in throno sedens, Ignati, decus pontificum, martyrii gloriam adeptus es; ut sidus emicuisti, cunctos illuminans; dissipasti profundam impietatis noctem; ideo te honoramus, ut divinum vere Christi hierophantem.

2. Ut sacerdos Dei, ut minister cœlestis, ut pastorum pastor, ut invictus athleta, nunc superos choros congregans, o hierophanta, lucem mitte mihi, meumque inspira sermonem, ut canam deifica tua certamina,

V. Ex taurin. f. 37, 38.
1. ἱερ. ἱερώτατως vat. 2008. — ἔλυσας τ. ἀ. omnino ut III, 1.

2. ταῖς ἄνω χορείαις T. — ἀλαισμοὺς T, sub quo

τοὺς θείους ἄθλους σου *, καὶ τοὺς διωγμοὺς καὶ τὰ παλαίσματα, * τὰς ἀριστείας, * τὰς εὐανδρείας, * τοὺς ἀλησμοὺς, τοὺς σπαραγμοὺς, * τὰς τῶν μελῶν κατατομὰς, * δι᾽ ὧν σῖτος ἐγένου * καὶ Θεοῦ ἥδιστος ἄρτος, * ὡς θεῖος....

γʹ. Ἡ τῶν λόγων τῶν σῶν * χάρις ἡμῖν ἀστράψασα, * τὰς ἐν ζόφῳ ψυχὰς, * πάνσοφε, κατεφώτισε, * τὸ τῆς ἀγνωσίας * διώξασα σκότος· * μαθητευθεὶς γὰρ, * μάκαρ Ἰγνάτιε, * τῷ ἱεροφάντορι * καὶ θεολόγῳ, * τούτου ἐπλούτησας * τὴν θεολογίαν καὶ τὴν ἔλλαμψιν, * διὸ τοὺς πόῤῥω * καὶ τοὺς πλησίον * ταῖς διὰ μέλανος γραφαῖς * καὶ νουθεσίαις ἱερῶς * καταρτίζεις, διδάσκεις, * νουθετεῖς, ἐπιστηρίζεις, * ὡς...

δʹ. Ἰησοῦν τὸν Χριστὸν * πᾶσι Θεὸν καὶ ἄνθρωπον * καταγγέλλων, σοφὲ, * ἕλληνας τοὺς κακόφρονας * παρώτρυνας κτεῖναι * ἀδίκως σε, μάκαρ· * Τραϊανὸς γὰρ * ταῦτα ὡς ᾔσθετο, * ὁ θὴρ ὁ ἀνήμερος, * θηρίοις βρῶμα * δόλῳ θεσπίζει σε * ἔσεσθαι, σπουδῇ τὴν Ῥώμην φθάσαντα, * καὶ λεοπάρδοις * πικροῖς συνδήσας, * ἐκ τῆς ἑῴας πρὸς δυσμὰς * τρέχειν προτρέπεται, σοφὲ, * ὡς γενναῖον ὁπλίτην, * ὡς ἀνδρεῖον ἀριστέα, * ὡς θεῖον...

εʹ. Ὡς ὁ Παῦλος τὸ πρὶν * δέσμιος, ἀπαγόμενος * ἐπὶ Ῥώμην, σοφὲ, * πᾶσαν τὴν γῆν ἡγίασας, * πάντων τὰς καρδίας * ἐστήριξας λόγοις * τῶν καθορώντων * σου τὸ εὐπρόθυμον * καὶ λίαν φιλόθεον, * τὴν καρτερίαν, * τὴν ἀγαθότητα, * τὸν πρὸς τὸν Χριστὸν ἄπαυστον ἔρωτα, * σὲ πυρπολοῦντα, * καὶ μὴ ἐῶντα * λῆξαι τοῦ δρόμου

et persecutiones, et luctas, egregia facinora, virilem constantiam, tunsa, lacerata truncataque membra, quibus frumentum factus es, Deique suaveolens panis, ut divinus vere...

3. Verborum tuorum gratia, quæ nobis affulsit, mentes illustravit caligine obsitas, o sapientissime, profligatis ignorantiæ nebulis; eruditus enim, o beate Ignati, a theologo apostolo et sacro interprete, ditatus es divina ejus scientia et corusca luce, ideo tam prope quam procul stantes, per paginas atramento tinctas et hortationes, sancte componis, edoces, commones, confirmas, ut vere...

4. Jesum Christum Deum et hominem omnibus prædicans, o beate sapiens, Græcos, pessimos sophistas, provocas ad te inique occidendum : Trajanus enim, hæc statim ut sensit, trux ille et immanis, falso decreto te belluis dat devorandum, properantem alacriter in Romam, cum sævis leopardis colligatum, ab Oriente in Occidentem currere jussum, o sapiens, uti strenuum militem, uti fortissimum heroa, uti vere...

5. Sicut Paulus olim vinctus, Romam abreptus, o sapiens, omnem terram dicasti sanctitati ; sermonibus confirmasti pectora omnium, tuam intuentium alacritatem Dei studiosissimam, tuam constantiam, integritatem, indefessam in Christum pietatem, qua succensus non sinis te intercipi ab honesto cursu, a divino tuo scopo, cujus adinvenisti

latet ἀλεσμοὺς vel ἀλησμοὺς, quod Sophocles interpretatur *id quod molitur*, et favet Ignatii clamor immortalis : Σῖτός εἰμι Θεοῦ, καὶ δι᾽ ὀδόντων θηρίων ἀλήθωμαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ, ut habet vetus interpres : *Et per dentes bestiarum molar*, in n. 4 ep. ad Roman. tum significantius in n. 5 : ἀλησμοὶ ὅλου τοῦ σώματος. Nota solemnem melodi indolem in multis rebus connumerandis, copula sæpe omissa. Verba et participia potius quam nomina Theodorus congerit.

3. διώξας σκότος T. — ἐπλούτισας T, perverso sensu.

4. λεοπάρδοις, ὅ ἐστι στρατιωτῶν τάγμα, ut habet, non sine addito glossemate ex margine, ut videtur, Ignat. ad Roman. 5, ubi *decem leopardis alligatum se ait.*

5. λόγοις. inter eundum Ignatius omnes epp. scripsit. — σου ante σκοποῦ T om. — in fine τοῦ πόθου T.

τοῦ καλοῦ, * τοῦ σου σκοποῦ τοῦ θεϊκοῦ, * οὗ τὴν ἔκβασιν εὗρες * σοῦ κατάλληλον τῷ πόθῳ, * ὡς...

metam, votis tuis consentaneam, ut vere...

ϛ'. Συμπαθεῖς ἐν ἐμοὶ, * φίλοι, μηδόλως γίνεσθε, * πρὸ τοῦ Ῥώμην ἰδεῖν, * μάκαρ, Ῥωμαίοις ἔγραφες, * θηρῶν με γενέσθαι * ἐάσατε βρῶμα. * Τί μοι συμφέρει * καλῶς ἐπίσταμαι, * σαρκός μου μὴ φείσασθαι· * σῖτός εἰμι γὰρ * Θεοῦ, καὶ βούλομαι * ὅλως ἀλεσθεὶς λεόντων στόμασιν, * γενέσθαι ἄρτος * ἡδὺς τῷ Λόγῳ, * τῷ σταυρωθέντι δι' ἐμὲ * καὶ λογχευθέντι τὴν πλευρὰν, * τοῦτον φέρω ἐν στέρνοις, * τούτου φλέγομαι τῷ πόθῳ, * ὡς...

6. « Compati mihi ullo modo, amici, « nolite, ita priusquam Romam vidisses, o « beate, Romanis scribebas, sinite me « fieri escam belluarum. Probe scio, quan- « tum mihi prosit carni meæ non parcere; « frumentum enim Dei sum, et prorsus ego « volo ut totus ore leonum molar, pa- « nisque fiam Verbo suavis, propter me cru- « cifixo et lancea latus perforato; illum meo « in pectore gero, illius amore succendor, « uti... »

ζ'. Ἡδυτάτου σκοποῦ * ἔτυχες ὡς ἐπόθησας, * καὶ λεόντων βορὰ * γέγονας, καὶ ἀνέδραμες * πρὸς τὸν ἐραστήν σου * Θεὸν καὶ δεσπότην, * παρ' οὗ τὰ γέρα * νῦν κομισάμενος * τῶν πόνων ἐπάξια, * τοῖς βασιλεῦσιν * εἰρήνην αἴτησαι, * καὶ ταῖς ἐκκλησίαις τὴν ὁμόνοιαν, * καὶ τοῖς τὴν μνήμην * τὴν σὴν τελοῦσιν * ἁγιασμὸν καὶ φωτισμὸν * καὶ ἱλασμὸν ἁμαρτιῶν, * καὶ τῷ σε ὑμνηκότι * ἐξ ὕψους σωτηρίαν, * ὡς...

7. Amœnissimam attigisti metam, quam anhelabas, leonumque factus pabulum, accurristi ad amatorem tuum, Deum ac Dominum, a quo mercedes quum acceperis laboribus tuis condignas, deprecator pacem imperatoribus, ecclesiis concordiam, iis qui tuam agunt memoriam, sanctitatem peccatorumque condonationem, ac supernam salutem hymnographo tuo, ut divinus vere hierophantes.

6. Facile malim συμπαθεῖς οὖν ἐμοί. — δλ. γίνεσθαι T. — tum μὴ γενέσθαι T. — φείσεσθαι sic id.

7. βορρὰ, dein παροῦ τὰ ἔργα taurin., ob incuriam librarii corsinio mirum in modum deterior.

VI.

DE S. EUSTRATIO.

α'. Ῥητορεύων ἔμπροσθεν * παρανομούντων τὰ θεῖα, * αἰκισμοὺς ὑπέμεινας * ἀνδρειοτάτῃ καρδίᾳ· * ἤστραψας * θεοσημείοις * ὑπερβαλλόντως· * ἔσβεσας * τὴν ἐπηρμένην * τῆς πλάνης φλόγα· * διὰ τοῦτό σε τιμῶμεν, * παμμάκαρ μάρτυς * Χριστοῦ Εὐστράτιε.

1. Concionatus de Deo coram improbis, tormenta tulisti virili pectore; signa divina, ut fulgura, vibrasti ultra modum; extinxisti superbientem fallaciæ flammam; propterea laudamus te, Eustrati felicissime Christi martyr.

β'. Ἱερὰν ἐκτελεῖ * ἡ ἐκκλησία σήμερον *

2. Sacram peragit hodie Ecclesia celebri- vi activa, præter morem.

VI. In taurin. f. 32. De eodem argumento Josephum et Theodorum inter se conferre juvabit.

1. Ῥητορεύων, ut ap. Roman. XVII, 1, addita

2. λαμπρ. ἀναχ. T. — In fine vat. 1531: μαρτύρων, Εὐστράτιε, ῥητόρων ὑπάρχων εὐγλωττότερος.

ἑορτὴν μυστικῶς, * ἀνακηρύττουσα λαμπρῶς * τὰς σὰς ἀριστείας, * τοὺς πόνους, τοὺς μόχθους, * τὰ ὑπὲρ φύσιν * θεῖα παλαίσματα * καὶ πάντιμα στίγματα, * δι' ὧν καθεῖλες * τὸν πολυμήχανον, * κλέος ἀθλητῶν μέγα καὶ καύχημα, * ἀνδρείας στήλη, * φωστὴρ ἁπάντων * τῶν σε τιμώντων εὐσεβῶς, * τῶν ἰαμάτων θησαυρὲ, * πλουτιστὰ τῶν ἀπόρων, * προτροπὴ σεπτῶν μαρτύρων, * παμμάκαρ...

γ'. Ὡς πιεῖν τοῦ Χριστοῦ * ἐπιποθῶν ποτήριον, * ταῖς βασάνοις σαυτὸν * ὁλοκαρδίως δέδωκας, * τὴν ζωῆς ποιήσας * ἀπόπειραν πρώην· * ὅθεν λαμπάσι * καταφλεγόμενος * ἀνδρείως ὑπέφερες· * ἐνεδυνάμου * θεία γὰρ χάρις σε, * ᾗ θαυματουργῶς συ ἐπισκιαθεὶς, * ὥσπερ λεπίδας * ἐναπεβάλου * τὰς ἐκ μαστίγων ὠτειλὰς, * εἰς πίστιν ἄγων τοὺς λαοὺς, * τοὺς τὰ σὰ θεωροῦντας * προτερήματα, θεόφρον, * παμμάκαρ...

δ'. Συνεδέθη τῇ σῇ * θείᾳ στοργῇ Εὐγένιος, * μεθ' οὗ ὁδοιπορῶν * ἀνδρειοτάτως ἔψαλλες· * Ὁδὸν μαρτυρίων * δραμούμεθα πίστει. * Ταῖς δὲ κρηπῖσι * καταπονούμενος, * ἐχθροῦ τὴν ὀλέθριον * κάραν συντρίβεις * τὴν πολυμήχανον * καὶ τῆς δυσσεβείας κέντρα ἅπαντα. * Ὅθεν σὲ βλέψας * δεσμώτην θεῖον, * ἀνεπτερώθη τῷ νοΐ, * καὶ ἠκολούθει σοι σπουδῇ * ὁ Μαρδάριος, θέλων * συναθλῆσαι καὶ στεφθῆναι, * παμμάκαρ...

ε'. Ἤδη μετὰ πολλὰ * ὄντως βασανιστήρια * παρεδόθη σφαγῇ * ὁ ἀθλητὴς Αὐξέντιος, * τυθεὶς ὡς ἀρνίον * διὰ τὸν τυθέντα * ἀμνὸν καὶ Λόγον * Θεοῦ προάναρχον· * ὁ δέ γε Μαρδάριος, * τοῖς ὀβελίσκοις * ἐκπυρακτούμενος, * καὶ ἐκ τῶν ποδῶν δεινῶς κρεμάμενος * τετρυπημένων, * ἠγαλλιᾶτο, *

tatem, mysterio refertam, dum in te proclamat solemni præconio facinora, labores, molestias, naturam superantia certamina divinitus peracta, et omnimoda stigmata: quibus dejecisti hostem artibus sexcentis instructum, o decus athletarum ingensque superbia, tu fortitudinis cippus, tu sidus omnium te pie colentium, sanationum thesaurus, inopum locupletator, nobilium æmulatio martyrum, felicissime...

3. Ac si bibere Christi calicem anhelares, suppliciis temet pleno corde tradidisti, vitæ dudum faciens periculum: hinc facibus ambustus, viriliter passus es. Vim tibi enim indidit gratia divina, qua veluti prodigioso clypeo adumbratus, ut squammas decussisti inustas flagris cicatrices, ad fidem exciens populos, miraculorum testes tuorum, o Deo afflate, felicissime...

4. Constrictus est divino tuo fervore Eugenius, quocum progrediens fortissime canebas: « Viam testimoniorum fide curra« mus. » Crepidinibus etiam colluctatus, hostis caput contrivisti truculentum, fraudibus fecundum, cunctosque impietatis aculeos. Te ergo divinum captivum ut vidit Mardarius, mentis ala sublatus est, et alacriter sequebatur te, volens comes fieri prælii et coronæ, felicissime...

5. Jam cædi post multiplices cruciatus traditus est athleta Auxentius, mactatus ut ovis, propter immolatum agnum, Verbumque Dei, ante tempora genitum; Mardarius autem verubus ignitis ustulatus, direque pedibus terebratis suspensus, gaudio exultabat carpendi iter ad Deum auctorem bo-

3. βασάνοις αὐτὸν T. — ζωὴν ποιήσας T, ubi vett. ποιησάμενος. — ἣν θαυματουργῶν ὥσπερ λεπίδας, quæ tono et serie excluduntur. Cf. Theod. XVI, 5.

4. δραμούμεθα fut. pro imper. Cf. ps. CXVIII, 34. — στεφῆναι T quasi ab ignoto aor. 2. Etiam alias occurrit. — ἐναθλῆσαι T.

5. Melodus, vel cum historica refert, tam apte modulum implet, ut si alicubi videatur rhythmi fines transgredi, vel dato consilio ipse, ex ignota lege, vel librarius inconsulto peccaverit. — ἡ δὲ μετὰ πολλ. quasi respectu ad nominativ. σφαγὴ T. — ὡς ἀρνεῖον sic T.

ὁδοιπορίαν πρὸς Θεὸν * ποιούμενος τῶν ἀγαθῶν· * τούτους οὖν θεωρήσας * ἔχαιρες τελειωθέντας, * παμμάκαρ...

ϛ'. Φέρεις καρτερικῶς, * ὦ θαυμαστὲ Εὐγένιε, * τὴν τῆς γλώττης τομὴν * θεολογούσης ἄριστα, * χειρῶν τε ὁσίων * σκελῶν τε τιμίων, * καὶ τῶν μαρτύρων * χοροῖς προστίθεσαι * ἀεὶ εὐφραινόμενος· * ὃν θεωρήσας * ᾠδὰς ἀνέπεμπες * σὺ χαριστηρίους τῷ Θεῷ ἡμῶν, * τῷ ἀθλοθέτῃ * καὶ δυναμοῦντι * τοὺς ἀριστέας ἑαυτοῦ * καταβαλεῖν τὸν δυσμενῆ, * μετὰ πόνους μυρίους * τοῦ γεώδους τούτου σκεύους, * παμμάκαρ...

ζ'. Ὡραιώθησάν σου * αἱ σιαγόνες, ἔνδοξε, * τοῦ Θεοῦ τὰ φρικτὰ * θαύματα διηγούμεναι * ἐνώπιον πάντων * τῶν παρανομούντων· * ἀλλ' οὐ συνῆκεν * ὁ ἀλιτήριος * πυρώσει κρατούμενος· * ὅθεν Ὀρέστην * τὸν ἀξιάγαστον * κλίνῃ σιδηρᾷ κελεύει τάχιστα * πυρακτωθῆναι, * ἐπιτεθῆναι, * ἐν ᾗ προσκλίνας ἑαυτὸν * ἀνέδραμεν εἰς οὐρανούς, * σοῦ παρόντος, θεόφρον, * καὶ ὁρῶντος, γενναιόφρον, * παμμάκαρ...

η'. Δεδεμένος φρουρᾷ, * θείας φωνῆς ἀκήκοας * σὲ καλούσης, σοφέ, * πρὸς οὐρανῶν σκηνώματα, * ὡς τετελεκότα * τὸν θεῖον ἀγῶνα· * ὅθεν πλειόνως * τῷ θείῳ ἔρωτι * φλεχθεὶς τὴν καρδίαν σου, * πυρακτωθεῖσαν * ὑπῆλθες κάμινον, * τῷ Θεῷ τῶν ὅλων προσευξάμενος, * καὶ στεφηφόρος * ἀνεκομίσθης * πρὸς ὃν ἐπόθησας Χριστόν, * ἀγγελικῶν σε στρατειῶν * δεξαμένων, καὶ κρότους * ἐπὶ σοὶ ποιησαμένων, * παμμάκαρ...

θ'. Ἡ σεπτή σου, σοφέ, * καὶ φωταυγὴς πανήγυρις * λαμπροτέρα ἡμῖν * ἡλίου ανατέταλκεν * καὶ τῶν σῶν συνάθλων, * φωτί-

norum. Quos ergo ut vidit rite consummatos, lætatus est felicissimus martyr...

6. Pateris intrepide, o mirabilis Eugeni, abscisionem tum linguæ Deum egregie pronunciantis, tum manuum sanctarum simul et crurum venerabilium; martyrumque inter choros cooptaris, in perpetuum exsultans. Quem tu videns, Eustrati, hymnos pandis eucharisticos Deo nostro, certaminis arbitro, ac robur addenti suis heroibus, ad conculcandum trucem inimicum, post innumeros labores in hoc terrenæ carnis vasculo, felicissime...

7. Venustæ erant maxillæ tuæ, nobilissime, quæ stupenda Dei prodigia enarrabant coram omnibus iniquis. At non intellexit scelestus carnifex immani æstu superatus. Orestem igitur præclarissimum statim jubet ferreo lecto imponi, ut cumburatur; in quo se sternens martyr properavit ad cœlos coram te, vir Deo plene, teque intuente, o magnanime, felicissime...

8. Carceris vinculis strictus, divinam audivisti vocem, te, o sapiens, invitantis cœlorum ad tabernacula, quibus finis divino certamini impositus est. Unde universorum Deum deprecatus, dum vehementius ferventi in pectore divino flagras amore, in accensam conscendisti fornacem, votisque ad Deum universorum missis, et corona redimitus, evectus es ad eum quem ardebas Christum, excipientibus te angelicis agminibus, ac plausum tibi geminantibus, felicissime...

9. Augusta tua, o sapiens, solemnisque celebritas splendidior sole nobis orta est, quæ juncta tuorum sociorum festo, perfun-

6. προστίθεται T.

7. πυρακτωθήσει T pessime. — θεωροῦντος id.

8. τῷ Θεῷ τ. ὅλ. fere ut in 6, sed phrasi magis intricata.

9. μέγασιν T. Eodem plane sensu quem supra ad Orestem ex vita S. Sabæ junioris exposuimus. Id quod luculenter confirmat Gregorius Nazianzen. BB. t. I, 817, orat. XLIII, n. 62 : τοῦ τοίνυν ἐρημικοῦ βίου καὶ τοῦ μιγάδος μαχομένων πρὸς ἀλλήλους τὰ πολλά, et paulo post οὐ πόρρω δὲ τῶν κοινωνικῶν καὶ μιγά-

ζουσα πάντων * τὰς διανοίας * καὶ τὰ φρονήματα, * ἐν ᾗ δυσωποῦμέν σε * τοῖς βασιλεῦσιν * ἡμῶν τὰ τρόπαια, * τοῖς ἀρχιερεῦσι τὴν ὀρθότητα, * μονάζουσί τε * καὶ τοῖς μιγάσιν * ὁμόνοιαν εἰρηνικὴν * αἰτεῖν δοθῆναι ἐκ Θεοῦ, * καὶ τῷ σε ὑμνηκότι * τῶν πταισμάτων ὅλων λύσιν, * παμμάκαρ μάρτυς * Χριστοῦ Εὐστράτιε.

dit luce omnium cogitatus ac sensus : in qua te rogamus ut imperatoribus victorias, rectam pontificibus doctrinam, monachis et cœnobitis in pace concordiam tribui impetres, simulque tuo melodo veniam dari peccatorum, o felicissime Eustrati, Christi martyr.

δων. Unde mirari subit hoc vocabulum penitus exulare a nuperrimo Sophoclis lexico alioquin locupletissimo; cui tamen abunde suppletur in novo II. Stephani *Thesauro* parisiensi.

VII.

DE S. GREGORIO THAUMATURGO.

α'... β'... γ'... δ'... [Ὤφθης] * ταῖς αὐτοῦ ἐντολαῖς * ἐπαγρυπνῶν, ἀοίδιμε, * καὶ πράξει τὴν κλῆσιν * ἐπικαλλωπίζων, * ζητῶν τυχεῖν δὲ * θείας λαμπρότητος· * οὐράνιον μάχαιραν * χρυσῆν διό σοι * Χριστὸς ἀπέστειλεν, * ἣν ἀπολαβὼν ὡράθης πύρινος, * θεόφρον, στῦλος * καὶ κόσμος πάντων * τῶν μοναστῶν, καὶ ἰατρὸς * τῶν ἀσθενῶν, θαυματουργέ, * καὶ λιμὴν σωτηρίας * καὶ φωστὴρ τῆς Ἐκκλησίας, * παμμάκαρ πάτερ, * σοφὲ Γρηγόριε.

1..2..3..4.. Visus es ejus mandatis invigilans, o gloriose, gestisque adornans nomen, et invenire anquirens divinam lucem; ideo tibi Christus commisit cœlitus gladium auro similem; quem adeptus, o vir Dei, flammeus visus es, columna factus et decus omnium monachorum, infirmorumque medicus, o prodigiose, atque salutis perfugium et fax Ecclesiæ, beatissime pater, o Gregori sapiens.

ε'. Φωτισμὸς ὁ Χριστὸς * καὶ ὁδηγός σοι γέγονεν * ἐν ἡμέρᾳ σαφῶς * καὶ ἐν νυκτί, πανόλβιε, * σκέπων σε ἐκ πάσης * δαιμόνων κακίας· * ἐντεῦθεν τούτων * ὅλα τὰ ἔνεδρα * καὶ τὰ πανουργήματα, * ὥσπερ ἀράχνης * ἔλυσας νήματα, * καὶ πρὸς οὐρανοὺς χαίρων ἀνέδραμες, * ὡραϊσμένος, * πεποικιλμένος * χρυσοειδέσιν ἀρεταῖς, * καὶ τῶν ὁσίων τοῖς χοροῖς * προσετέθης ἀξίως, * τῶν ἀγγέλων συμπολῖτα, * παμμάκαρ...

5. Lux tibi duxque tuus Christus factus est palam diu noctuque, te, fortunatissime, protegens ab omni dæmonum nequitia; unde omnes illorum insidias et technas, ut arachnæ telas, dissolvisti, lætusque ad cœlos properasti, formosus, aurea virtutum varietate decorus, neque immerito sanctorum choris insertus es, angelorum civitate donatus, fortunatissime pater, o Gregori sapiens.

VII. Ex taurin. f. 9 novum illud frustulum attulit, cui desunt fere 4 trop. I, Ω, Σ, H, nisi me unica acrostichidis littera Φ superstes fefellerit. Incidit fragmentum in mensem nov. juxta diem 17, thaumaturgo sacrum.

4. πράξεις τὴν κλίσιν T, Gregorii nomen, cui alludit ἐπαγρυπνῶν, textum facile restituit. Idem fere in alio menæorum condakio legitur : τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος. Sed quid hæc codicis : οὐράνιον μάχαιραν χρυσόν? nisi fortasse melodus respiciat ad scripturam sacram, τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ (Eph. VI, 17), quod quidem Dei verbum aurea interpretatione ornavisse eleganter dicitur Gregorius, Origenis discipulus.

VIII.

DE SS. GERMANO ET EPIPHANIO.

α'. Ἱεράρχων τὴν θαυμαστὴν ξυνωρίδα
ἀνευφημήσωμεν, πιστοί, κατὰ χρέος,
σὺν Γερμανῷ τὸν ἔνδοξον Ἐπιφάνιον·
οὗτοι γὰρ κατέφλεξαν
τῶν ἀθέων τὰς γλώττας,
δόγματα σοφώτατα
διαθέμενοι πᾶσι
τοῖς ὀρθοδόξοις, μέλπουσιν ἀεὶ
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.

β'. Ὡς ἱερέων καλλονὴν
καὶ δόξαν ὀρθοδόξων,
δυάδα τὴν ἁγίαν
τιμήσωμεν ἀξίως·
οὗτοι γὰρ ὤφθησαν ἡμῖν
πύργοι ἀσφαλείας
κατ' ἐχθρῶν τῶν ὁρατῶν
καὶ ἀοράτων, πάντοτε
τῆς πίστεως στῦλοι ἀκλόνητοι,
καὶ τῆς ἐκκλησίας
θεῖος κόσμος, ὃν φοροῦσα
ὀρθοτομεῖ,
εὐθύμως βοῶσα·
Εὐφράνθη ἐν ἐμοὶ
τὸ πνεῦμά μου ὄντως,
τὴν στολήν μου ὥσπερ πρὶν
ἀπολαβούσῃ,
ἣν αἱρετικοὶ
διέῤῥηξαν, μὴ ὑμνοῦντες
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.

1. Mirabile par pontificum
justis tollamus plausibus, fideles,
et Germanum et gloriosum Epiphanium.
Ipsi enim combusserunt
impiorum linguas,
dogmata sanissima
proponentes cunctis
qui cum recta fide semper decantant
religionis
magnum mysterium.

2. Hos uti pontificum decus
et gloriam fidelium,
par sanctorum
merito honoremus :
nobis enim hi steterunt
turres securitatis,
visibiles adversus hostes
et invisibiles, semper
fidei columnæ immobiles,
et Ecclesiæ
divinum ornamentum, quorum ope
hæc recte dividit doctrinam,
alacriter clamans :
« Exultat in me
« vere spiritus meus,
« ut quæ tunicam
« resumpserim,
« quam hæretici
« dilacerabant, canere nolentes
« religionis
« magnum mysterium. »

VIII. Extat in taurin. f. 130 binorum pontificum elogium, quos eadem die 12 maii Græcia concelebrat; duo trop. priora retinent editi libri, duo saltem alia ævum abstulit. Modulus est toni IV ὁ ὑψωθεὶς, dein τῇ Γαλιλαίᾳ, ut apud Roman. p. 77.

1. ἱεράρχων sic fert ipse cod. postulatque rhythmus pro ἱεραρχῶν edd. — etiam rhythmus suaderet ξυν. τὴν 0. — ἔνδοξον sic T, ubi edd. θεῖον contra metrum.

2. τῶν νοητῶν καὶ ἀορ. T male. — mox δὲ apposite inserit T.

γ'. Σ... δ'. Ἡ τῶν Κυπρίων πόλις νῦν * εὐφραίνεται ὡς πλοῦτον * πολύτιμον ὁρῶσα * τὸν τάφον καὶ τὸ σῶμα * Ἐπιφανίου τοῦ σοφοῦ, * ταύτῃ δὲ συγχαίρει * ἀγαλλομένη φαιδρῶς * ἡ πάντων βασιλεύουσα, * τῷ θρόνῳ κοσμουμένη περιφανῶς * Γερμανοῦ τοῦ θείου, * καὶ ταῖς τούτου ἱκεσίαις * τροπουμένη * αἱρέσεις ἁπάσας · * διὸ χαρμονικῶς * νῦν συνεορτάζει * ἀμφοτέρων τὴν σεμνὴν * μνήμην, καὶ σέβει * τούτων τὰς μορφὰς * ὑμνῆσαι ἀκαταπαύστως * πᾶσι παρέχειν * τὸ μέγα μυστήριον.

3... 4. Nunc Cypriorum civitas lætatur, suos uti thesauros contemplata sacrum sepulcrum et corpus sapientis Epiphanii. Cui simul congaudet splendide exultans urbs omnium regina, throno divini Germani gloriose decorata, ejusque suffragiis omnes debellans hæreses : ideo ovans gestit nunc amborum celebrare augustam memoriam, et eorum imagines deprecatur, ut omnibus concedant indefesso cantu magnum celebrare mysterium.

4. Ταύτῃ δὲ, respectu ad Salamin Cypriorum. — ταῦτα δὲ T inepte. — νῦν add. — καὶ σέβειν T.

IX.

DE S. THECLA.

α'. Ὡς ἀπαρχὴ ὑπάρχουσα
μαρτύρων, Θέκλα ἔνδοξε,
ἡ οἰκουμένη γεραίρει σοι σήμερον
τὴν παναγίαν μνήμην σου,
καὶ πιστῶς ἑορτάζει
τοὺς ἀγῶνάς σου πόθῳ ·
τὸ πῦρ, τὰς μάστιγας
καὶ ταύρων πρόσθεσιν
διὰ τὸν σὸν νυμφίον ὑπέμεινας,
ὡς πρωτόαθλος.

β'. Ἑορτῆς σεβασμίας ἡ ἔλλαμψις
ὑπερλάμπει φαιδρῶς ὑπὲρ ἥλιον,
μαρμαρυγὰς φωτὸς ἀπαστράπτουσα,
τοῖς πιστοῖς ὀφθαλμοῖς ἐνοπτρίζεται ·
διὸ ἀγγέλοις συγχορεύοντες,
τῷ σωτῆρι Θεῷ ἀλαλάζωμεν ·
Ἐμεγάλυνας, σωτὴρ, τὰ ἐλέη σου,
δωρησάμενος δώρημα τέλειον τῷ λαῷ,
τὴν πρωτόαθλον.

1. Ut quæ primitiæ fuisti
martyrum virginum, gloriosa Thecla,
hodie orbis concelebrat
tuam sanctissimam memoriam,
fideli que festo recolit
tuos cum amore labores;
ignem, flagella,
ac taurorum incursus
pro sponso tuo sustinuisti,
ut protagonista.

2. Venerandæ festivitatis splendor
sole clarior superemicat ;
qui ut fulgura, lucis radios vibrans,
fidelium oculos perstringit : [tes].
unde cum angelorum choris exultan-
Deo salvatori clamemus : [tuas],
« Magnificasti, salvator, miserationes
« dum plebi largitus es insigne donum,
« illam protomartyrem. »

IX. Ex unico mosquensi f. 19, inter laceras aut evanidas paginas eripuimus hoc Josephi munusculum Theclæ virginum protomartyri dicatum, sub opportuno hirmo ὡς ἀπαρχὰς, prout habet Romanus p. 165.

1. Melodus iterum simili sono ludit ab initio ut in II, 1. — ὦ ὑπαρχὴ M. — σου σήμ. M. — παν. κοίμησιν pal. 288. — ἀγ. ἐκ πόθου P. — τ. πρόσδησιν P.

2. A Romano melodus transit ad Anastasium sive ad hirmum αὐτὸς μόνος; consentiunt in hoc cdd. quibus aliud prooemium præfixum sub eod. modulo, in XXIV sept. — μαρμ. γὰρ cdd. —

γʹ. Ἰδοὺ δὴ τῶν ἀγγέλων τὰ τάγματα * ἀοράτως ἡμῖν συναγάλλεται· * παρθενίας γὰρ ὄντως ὑπόθεσις, * ὑπὲρ δὲ τοῦ Χριστοῦ καὶ ἡ ἄθλησις, * ἀποστολῆς δὲ τὸ ἀξίωμα· * νυμφευθεῖσα τῷ Χριστῷ τῷ σωτῆρι, * τῶν εἰδώλων τὴν πλάνην ἐλάσασα, * καὶ διδάξασα σέβειν εὐσεβῶς Χριστὸν, * ὡς πρ.

δʹ. Σὲ, παρθένε, ὑμνεῖν οὐ παυόμεθα, * χρεωστοῦμεν γάρ σοι καὶ τὰ μέγιστα· * διὰ σοῦ τοῦ ἐνθέου κηρύγματος * ἠξιώθημεν πάντες γεραίροντες· * διὸ εἰσῆλθες εἰς τὸν ἔμφρονα * ἀμπελῶνα καμεῖν τὴν ἡμέραν, * καὶ ἀνάψαι φαιδρῶς τὴν λαμπάδα σου * ὑπαντήσασα τῷ νυμφοστόλῳ Χριστῷ, * ὡς πρ.

3. Ecce, angelorum agmina invisibili concursu nobis collætantur; virginitatis enim hoc exemplar est, et pro Christo etiam est hoc certamen, apostolicum illud decus, quo divino nupta salvatori, idolorum mendacia subvertit, atque docuit adorare Christum, illa protomartyr...

4. Te, virgo, hymnis dicimus perpetuis; tibi enim debemus quam maxima bona, tuo enim præconio omnes nobilitamur superbientes; nam in spiritualem introisti vineam, per diem ut labores, et accendas luculentam lampadem, obviam itura Christo sponsarum duci, uti protomartyr.

ἐνοπτρίζεσθαι apogr. mosq. — συγχορεύεται edd. mox immania post ἀλλάξ. intrudunt : πάντες βοῶντες αὐτῷ. — V. penult. abundat.

3. συναγάλλετε M. — τῷ additur ante Χριστῷ. — Eo loci rhythmus mutari solet. — εὐσ. τῷ Χριστῷ M.

4. f. πᾶσαν ἡμέραν. Cæterum plena acrostichis, nedum sit Ἰωσήφ, fortasse pergit εἰς Θέκλαν.

X.

10. Lamentantur parentes, dum quos in angustiis et doloribus pepererunt puellos, in flore carnis pubescentis vident occisos. « Eheu! fili mi, quid tibi repente acci« dit? . . . . Visceribus angor meis, meus« que venter vere laceratur, vide ubera « lacte plena [. . . . . inquit mater], hei

7. Mirum quam sæpe prisci μουσουργοὶ Adamum et Evam respiciant.

8. Exorditur elegantissima omnium strophe a voce nova, sed proba et exquisita γαλακτορόοις, leviter in C detorta γαλακτορίοις. — σπλάγχνοις C. Cf. Roman. XIV, 4, p. 102. — Θνῆξαι πολλ. C. iterum iterumque, ex peculiari barbarie codicis corsin. cui etiam rhythmus omnino jubet θανεῖν restitui. — τὸ post οὖν abundat.

9. τε init. om. C. — σαρκὶ una syll. abundat, ex vetere et trita melodorum licentia, sive ex can. nostro XV. — ἐκ τῶν εὐθ. C. — εὔρασθαι sic C.

10. γονεῖς abund. — f. ἐξαίφνης. Cætera v. 7, ut mox totus v. 11, desunt. Cf. Hier. IV, 19.

οἴ μοι! θανοῦμαι, βοῶσα σὺν σοί· * Σῶσον...

ια'. Νεάζουσα κόρη θανοῦσα * μεμνηστευμένη ἔδωκε μητρὶ * ἐν τοῖς σπλάγχνοις τομὴν, * καὶ θυγάτηρ ὡραία μονώτατον, * ὢ καταδίκης * τῆς τοῦ θανάτου! * ἀναιρεῖ πᾶσαν φύσιν * βροτῶν, μαραίνει καὶ ἡλικίαν * ἅπασαν αὐτῶν· * ὅθεν οἱ φύντες ἀλγύνονται, * ἀλλ' εὐχαρίστως βοήσωσιν· * ὁ δεδωκὼς κἀφελόμενος νῦν, * Σῶσον...

ιβ'. Μεμόνωται θῆλυ συμβίου * διὰ θανάτου· ὢ χωρισμοῦ * δι' οὗ χήρα ἐστὶν, * ὀρφανὰ δὲ τὰ ταύτης κυήματα· * ὃν ποτνιᾶται, * κράζει θρηνοῦσα· * Ὀστοῦν ἐκ τῶν ὀστῶν σου, * καὶ σὰρξ ὑπάρχω ἐκ τῆς σαρκός σου, * ὢ ἄνερ, ἐγὼ, * σοῦ ἐκ πλευρᾶς ᾠκοδόμημαι· * πῶς οὖν ἐκ ταύτης διέζευξαι; * ἴδε, ἀφῆκας βοῶσαν ἀεί· * Σῶσον...

ιγ'. Ἐπείγεται πόθῳ τῷ τάφῳ * τῇ προαιρέσει, ὥσπερ τρυγὼν, * συνταφῆναι ἀνδρὶ * ἐν γυναίοις ἡ σώφρων καὶ φίλανδρος· * Οἴμοι, βοῶσα, * ὄντως ἐπέγνων * ἐπίτριψιν καρδίας, * μελῶν σπαράξεις καὶ διατρήσεις * νεύρων καὶ σαρκὸς, * τραῦμα ἐν τραύματι δέδεγμαι, * βίου φροντίδα καὶ χήρευσιν, * πότμου ὡς πρόξενος, ὅμως βοῶ· * Σῶσον...

ιδ'. Λαμπρότατον πῦρ μοι ἀνήφθη * τοῦ χωρισμοῦ σου ἐν τῇ ψυχῇ, * μυελοὺς ἐμπιπρῶν * καὶ ὀστέα ἐκτῆκον καὶ αἴσθησιν· * σοῦ γὰρ τὸν τρόπον * μιμνησκομένη, * τὸ πνεῦμά μου ἐκλείπει, * τὸ φῶς σκοτοῦται τῶν ὀφθαλμῶν μου· * οἴχεται ὁ νοῦς, * ὅλη διόλου σπαράττομαι, * ὅπερ ἐπέδωκα, εὕρηκα· * ὅθεν καὶ στένουσα ἀναβοῶ· * Σῶσον...

ιε'. Οὐ δώσω μου ὄμμασιν ὕπνον, *

« mihi! morior, tecum clamans : Salva... »

11. Adolescentula virgo, quæ obiit nupta, matri dedit viscerum lanienam, utpote elegantissima filia et prorsus unica. O inexorabilis sententia mortis! tollit omnem naturam viventium, arere omnem facit juventutem, unde lugent qui nati sunt. Verum gratos mittant clamores : Tu qui dedisti et abstulisti, salva...

12. Sola relicta est femina, consorte defuncto. Heu separatio, quo vidua fit, orphana vero soboles ejus! De quo protestatur ejulans, clamat cum lamentis : « Os ex ossibus meis et caro ex carne tua, o vir, ego « sum; ego ex tuo latere excisa fui. Quo« modo ergo ex eodem disjunctus es? Vide, « reliquisti me clamantem semper : Salva... »

13. Cogitur amore, ut in eodem tumulo sepeliatur, ut turtur, quæ in feminis casta et viri amans est. « Hei mihi, inquit, vere « cognovi contritionem cordis, membro« rum truncationem, nervorum carnisque « torturam, vulnus in vulnere accepi, vitæ « curam et viduitatem, ac si fata hospitio « accersissem, sed clamo : Salva...

14. « Te erepto, ignis ardentissimus ac« census est in anima, quo medullæ consu« muntur, et ossa et sensus contabescunt. « Quando enim tuam vitam recordor, spiri« tus meus deficit, obtenebrescit lumen « oculorum meorum, evanescit mens, tota « penitus dissilio. Sed quod tradidi, re« peri; ideoque vel ingemiscens sursum « mitto clamorem : Salva...

15. « Non dabo oculis meis somnum,

11. μητρὶ ut superiora abund. — μονώτατος C. — καὶ ἀφελ. C.

12. Incipit flebilis viduæ elegia a raro usu v. ποτνιᾶται, et in solemni oraculo Gen. II, 23. — f. διέζευγμαι.

13. τρυγών. De turture non silet Physiologus noster Spicil. t. III, p. 355, quibus adde Physiol. metricum partim a nobis ibid. descriptum, p. 360 not. ex duobus codd. paris. in quos tum primum se incidisse nuper mirabantur cl. vv. Æmil. Legrand et C. Gidel (*Le Physiol.* Paris, 1873). Quos videsis, si barbara rident, p. 85.

14. f. τῷ χωρισμῷ? — ἐμπιπρῶν recte a πιπράω pro πίμπρημι. — ἐκτήκων C.

15. Post ἄνερ desunt duæ syllabæ f. φίλε. Inde statim tacet vidua, assurgit vero melodus, suam

οὐδὲ βλεφάροις μου νυσταγμὸν, * ἕως οὗ τὴν ᾠδὴν * ἐκπληρώσω τοῦ πένθους τοῦ τέλους σου · * Οἴμοι, βοῶσα, * πῶς συνεζεύχθην, * καὶ πάλιν διεζεύχθην * τῆς σῆς ἀγάπης, ὦ ἄνερ! * Θαῦμα φοβερόν! * νῦν γὰρ ὁρῶσα τὸν σύμβιον * ὑπὸ σκωλήκων ἀπόζοντα, * οὕτως κραυγάζει Εὔας καρπός · * Σῶσον τοὺς ἐν πίστει * κεκοιμημένους, * καὶ ἀνάπαυσον ὡς φιλάνθρωπος.

ις'. Σωσάτω σε Κύριος, ἄνερ, * ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, * παράσχοι σοι ζωὴν * τὴν ἀνέκφραστον, δόξῃ ἐγείρας σε, * φῶς σοι ἐκλάμψῃ * τὸ τῶν δικαίων, * καὶ ἐν τοῖς δεξιοῖς * σὲ αὐτοῦ προβάτοις, ὡς γέγραπται, νῦν * στήσῃ ἐν χαρᾷ · * ταῦτα βοῆσαι, σωτήριον · * τὸ δὲ λυπῆσαι, ἐφάμαρτον · * Εὐχαριστήσωμεν φάντες Χριστῷ · * Σῶσον...

ιζ'. Τὸν σύγγονον βλέπων νῦν ἄπνουν * διεφθαρμένον φύσει, θρηνῶ * καὶ προσφέρω φωνὰς * τῷ Χριστῷ, εὐχαρίστως δεόμενος, * ὅπως σοι δώῃ * λύτρον πταισμάτων * καὶ μέρος ἐν ἁγίοις · * ἰδοὺ τοῖς σπλάγχνοις γὰρ συγκινοῦμαι * κλαῦσαί σε πιστῶς, * ὥσπερ τὸν Λάζαρον Κύριος, * μέτρα ἐμοὶ δοὺς, ἐδάκρυσε · * παύω τὸν θρῆνον καὶ κράζω λοιπόν · * Σῶσον...

ιη'. Ὁ φίλος μου, καὶ ὁ πλησίον * ἐν τῷ μνημείῳ κεῖται νεκρὸς, * ὁ ἡδύτατος πρὶν, * ἀπωσμένος, δυσώδης, δυστέκμαρτος. * Οἴ μοι ἀθλίῳ! * Πῶς μοι προσῆξε * τὸν θάνατον ἡ βρῶσις; * τὸ τοῦ θανάτου [δεινὸν]

« neque pupillis meis soporem, donec absolverim funereum de fine tuo carmen, « Heu mihi, clamans, quomodo juncta fui « et iterum disrupta ab amore tuo, o vir. » Dirum prodigium, nunc enim dum conjugem vermibus fœtentem contemplatur, sic clamat Evæ fructus : — « Salvos fac fideles « qui dormierunt, et requiem da illis, hominum amator.

16. « Te salvum, o vir, Dominus faciat, in die tremenda; tribuat tibi vitam « enarrari nesciam, te in gloria excitans; « tibi effulgeat lumen justorum, teque inter dexteras oves suas, ut scriptum est, « stare faciat in gaudio. » — Hæc clamavisse, juvabit; lugere autem, peccato non vacat. Immo grates agamus, dicentes Christo : Salva...

17. Fratrem nunc meum videns exanimem, natura dissolutum, lamentor, Christoque offero vocem, gratesque et preces, ut tibi det noxarum redemptionem et partem in sanctis. Ecce visceribus commoveor, ut te cum fide defleam, sicut Dominus Lazarum, mihi qui præbuit exempli sui mensuram. Sed finem lamentis facio, et ultimum clamo : Salvos fac fideles...

18. Amicus et proximus meus in sepulcro jacet mortuus. Qui jucundissimus erat, avulsus est, fœtidus est, vix dignoscendus. Hei mihi misero! Quomodo mihi cibus [Adami] porrexit mortem? Mortis quam dira

ut dramatis personam agat, paucisque strophen coronet usque ad ephymnia, quæ sola vidua aut cum melodo recinit, ita ut cætera prosequatur. — οὗτος κραυγ. C molestissime.

16. Mel. σοὶ παρ. pro mod. — mox om. νῦν, ubi nota ex rhythmo acui ultimam syll. in γέγραπταί, ob ἄτονον monosyllabum νῦν, ex more melodorum. Tum adverte finem viduæ næniis impositum esse ad hæc : στήσει ἐν χαρᾷ, sic C; dein pergere melodum, nec fortasse ultra ephymnia. Quæ enim sequuntur in tribus ultimis trop. vix acrostichide legatis, aut alterius poetæ sunt, aut misere a librario torquentur. Jam insolentia erumpit in εὐχαριστήσωμεν φῶντες C, pro εὐχαριστήσωμεν φάντες.

17. σύγγονον facile ut σύμβιον intellexerim, ac cætera viduæ ascripserim, nisi omnino obstarent βλέπων, δεόμενος : tam abrupta sunt hæc colloquia et ἀσύντακτα, ut multas latere corruptelas suspicari liceat.

18. ἀπωσμ. f. *horridus*. — τῷ ἀθλίῳ C. — ἡ βρῶσις, pomi scilicet paradisiaci vetitæ dapes. — mox cod. om. inclusa. — Vix putem eumdem qui superiora cecinit, sic nunc in hæc ineptire : « Visceribus accedere cogor, at naribus arceor! Ab hoc igitur discedo, et clamo..... »

καὶ ὄντως * φοβερόν [ἐστι]· * σπλάγχνοις προσψαῦσαι βιάζομαι, * καὶ τῇ ὀσφρήσει ἐκτρέπομαι· * τοῦτον ἀφίημι [νῦν] καὶ βοῶ· * Σῶσον...

conditio ac vere tremenda! Amore cogor accedere, et fœtore cohibeor. Huic demum valedicam et clamo : Salvos fac fideles...

ιθ'. κ'. Ἀνάπαυσον τοὺς κοιμηθέντας * ἐκ συμπτωμάτων καὶ ἐκ θηρῶν, * ἐκ βροντῶν, κεραυνῶν, * καὶ χαλάζης, μαχαίρας καὶ βρώσεως, * πόσεως, μέθης, * πείνης καὶ δίψης, * θαλάττης ναυαγίων, * χαρᾶς καὶ λύπης καὶ ἀσθενείας, * θραύσεως ἐχθρῶν * καὶ τοῖς ἐξ ἵππων λακτίσμασιν, * ἢ κρημνισθέντας ἐν φρέασι· * πάντας ἀνάπαυσον, Λόγε Θεοῦ, * σῶσον τοὺς ἐν πίστει * κεκοιμημένους, * καὶ ἀνάπαυσον, ὡς φιλάνθρωπος.

19. 20. Requiem largitor illis qui mortui sunt ex præcipiti lapsu, per feras, per tonitrua, fulmina et grandinem, ex ense, cibo, potu, ebrietate, fame et siti, ex maris naufragiis, ex lætitia et luctu et infirmitate, ex impetu hostium, equorumque calcibus, aut lapsu in puteos; omnibus da æternam requiem, Verbum Dei, et salvos fac fideles qui dormierunt, ut qui hominum amicus es.

19. fort. trop. nunquam extitit.

20. Utinam et hoc abierit! sed fortasse lex erat ἐπιτυμβίων μελῶν sic recensendi ad fastidium usque omnia mortis genera, et quæ Theodorus in superiori cantico statim ab initio congessit, eadem Anastasius, sive quis alius est poematis sat elegantis auctor, in finem, ut importunum onus, rejecit. — κοιμηθέντες idem est ac θανόντες, neque alia quam pindarica syntaxis est, ut Pyth. IV, 72 : ἐξ ἀγαυῶν αἰολιδᾶν θανέμεν. — Expectaveris τῶν ἐξ ἵππων λακτισμάτων. At ne genitivos obscuros cumularet, dativo instrumenti melodus sapienter usus est. Ambiguæ igitur γνησιότητος ultima sunt, nec tuto in lubrico apice A.... nomen quodcumque imponere fas est. Fac enim germana sint ab A ad Ω, quidni pro Anastasio, Andreas aderit? Sane in hujusce canone *magno* κατ' ἐξοχήν, multæ sunt similes licentiæ his quas supra notavimus, et quod apud cæteros melodos rarissimum est, in nostro cantico, ut in magni canonis condakio, invocatio ad ipsius melodi animam dirigitur.

Nunc vero uti supra mortuum, sic μουσουργὸν τοῦτον ἀφίημι, qualiscumque demum sit, de quo nulla vel exigua omisi quæ aut suspicionem aut commendationem moveant, nisi quod aliis declaranda linquo, quæ epigraphe habet : τοῦ τρισαθλίου.

VIII.

IN DOMINICA ΤΗΣ ΤΥΡΟΦΑΓΙΑΣ.

α'. Νῦν ὁ καιρὸς τῶν ἀρετῶν ἐπεφάνη, * καὶ ἐπὶ θύραις ὁ κριτής. Μὴ στυγνάσωμεν, * ἀλλὰ δεῦτε, νηστεύοντες προσάξωμεν * δάκρυα, κατάνυξιν, * καὶ ἐλεημοσύνην, * κράζοντες· Ἡμάρτομεν * ὑπὲρ ψάμμον θαλάσσης· ἀλλ' ἄνες πᾶσιν, πάντων ποιητά, * ἵνα καὶ σχῶμεν * τὸν ἄφθαρτον στέφανον.

1. Nunc virtutum tempus illuxit, et ad fores stat judex. Ne dormitemus, sed venite, jejunantes litemus lacrymas, cordis gemitus et eleemosynam, clamantes : « Peccavimus plus quam sunt arenæ maris. Sed « parce omnibus, omnium tu creator, ut « etiam nos habeamus immortalem coronam. »

VIII. In eadem Τυροφάγῳ Dominica, in qua planctus Adami olim canebatur, aliud accedebat canticum, cujus initium solus taurin. f. 160, 161 retinuit sub rubrica : ἕτερον κονδάκιον εἰς τὴν παράδασιν τῶν νηστειῶν, καὶ περὶ ἐλεημοσύνης ψάλλεται.

1. Πρὸς τό· Ὁ ὑψωθεὶς v. p. — ἐπιθύρας sic uno verbo T. — f. μὴ νυστάξωμεν. — ὑπὲρ ψάμμου T. — τὸν ἄφθ. στ. habes idem ephymnion p. 77, 478.

β'. Ἀνάστασιν μέντοι ποιεῖ, * ἔγερσιν νεκρῶν, σάλπιγξ * ἠχοῦσα δι' ἀγγέλου· * ὑμνοῦσι γὰρ νῦν πάντες, * καὶ ἀναμένουσι Χριστὸν, * τὸν καλὸν νυμφίον, * τὸν υἱὸν τὸν τοῦ Θεοῦ, * τὸν ἄναρχον Θεὸν ἡμῶν· * κραυγῆς δὲ γενομένης αἰφνίδιον, * πάντες ἀπαντῶσιν, * καὶ ἑτοίμους τὰς λαμπάδας * οἱ ἔχοντες, * ἐλεημοσύνην, * εἰσέρχονται εὐθὺς * μετὰ τοῦ νυμφίου * βασιλείαν οὐρανῶν * κληρονομοῦντες, * τότε γὰρ αὐτοῖς * ἡ πίστις μετὰ τῶν ἔργων * δώσει ἀξίως * τὸν ἄφθαρτον στέφανον.

2. Interea exurgere jubet, erigique mortuos tuba per angelum reboans. Nunc enim omnes promunt hymnum, et expectant Christum, eximium sponsum, Dei Filium, æternum Deum nostrum. Facto statim clamore, omnes obviam eunt, paratasque tenent lampades, eleemosynam, subindeque ingrediuntur cum sponso in cœlorum regnum, hæreditatem suam. Tum enim fides, juncta operibus, meritam dabit immortalem coronam.

2. πρὸς τό· Τῇ Γαλιλαίᾳ. — ποιεῖν T. — f. ἐλεημοσύνης « charitatis lampades. » — ἡ πίστις μετὰ τῶν ἔργων a Romani consuetudine dicendi non recedit, cujus est ephymnion.

IX.

IN FERIA IV MEDIÆ QUADRAGESIMÆ.

α'. Χαίροις, ὁ σταυρὸς,
τὸ κράτος τῶν βασιλέων·
χαίροις, ἡ κρηπὶς
καὶ δόξα τῶν ἱερέων·
χαῖρε, νίκη καὶ στέφος
τοῦ τοῦ Χριστοῦ λαοῦ·
τῶν μαρτύρων χαίροις τρόπαιον·
τῶν ὁσίων χαίροις στήριγμα·
τῶν ἐχθρῶν χαίροις κατάπτωσις·
χαίροις, σταυρὲ ζωοποιὲ,
τοῦ κόσμου ἱλασμός.

β'. Ὦ φρικτὸν ὅπλον Χριστοῦ
τοῦ βασιλέως!
δι' οὗ κράτει θεϊκῷ
ᾅδην καθεῖλεν,

1. Salve, o crux,
fortitudo imperatorum.
Salve, fundamentum
et gloria sacerdotum.
Salve, victoria et corona
populi christiani.
Martyrum salve tropæum,
Justorum salve securitas.
Hostium salve ruina.
Salve, crux vivifica,
mundi piaculum.

2. O formidolosum telum
Christi regis!
Crux in qua, divina virtute,
Orcum contrivit,

IX. Rem tibi facesserit metrum insolens et grandiusculum, si statim non agnoveris amœnam et elegantem Romani de ascensione melodiam: eadem infra recurrit huic exemplo simillima in egregio de XL martyribus Sebastenis poemate. Utrumque tamen in nonnullis infra notandis ab archetypo recedit; sed in tribus simul admotis nemo non magnum agnoverit Romanum. Extat in tropologio taurin. f. 171.

1. πρὸς τό· Τὴν ὑπὲρ ἡμῶν. Hirmus αὐτολεξεὶ occurrit in pentecostario ven. p. 153, 166.

2. Cf. p. 148 hirmum τὰ τῆς γῆς, in quo v. 16 tetrayllabus est, et penultimus est heptasyllabus. — ἐσώσατο πεσ. Sic T, om. καὶ et læso rhythmo, cui satis non faceret ἔσωσέ τε. — Suspicatur vir peritus in his incomptis τοῦ σοῦ με latere ex solito compendio τοῦ σταυροῦ. Sed cum in hirmo archetypo hic v. 13 octosyllabus sit, legendum esset

πᾶσαν ἀπενέκρωσεν
τοῦ θανάτου τὴν δύναμιν,
ὤλεσε τὸ βασίλειον,
καὶ ἔσωσε πεσόντας
ἡμᾶς, τῆς ἁμαρτίας
δεινῆς ἐναπαμβλύνας
κέντρον φθαρτικὸν,
τρυφήματι θείῳ
καρποῦ ζωώσας τοῦ σοῦ με,
καὶ παραδείσῳ
ἐγκατοικίζων,
οὗ πρὶν ἀπώσθην
φαγὼν τοῦ ξύλου,
ἐξ οὗ μοι πονηρίας τε
καὶ τῶν καλῶν ἐπίγνωσις·
οὗ πρὶν ἀπεκδυσάμενος
τῆς ἡδονῆς γλυκάσματι
τῆς ἀφθαρσίας στολὴν,
ἠμφιέσθην τὴν φθορὰν
ὑποστρέψας εἰς γῆν·
διὰ τοῦτο ὡς ἐν σοὶ
πλουτήσας τὴν ζωὴν,
ἀγαλλόμενος βοῶ·
Χαίροις, σταυρὲ ζωοποιὲ,
τοῦ κόσμου ὁ σωτήρ.

omnemque enecavit,
mortis potentiam,
diadema pessumdedit;
in qua salvos fecit lapsos,
dum sævi peccati
hebetavit
aculeum lethiferum;
in qua divinis me epulis nutriens
fructus sui, et vivum fecit,
et paradisi
incolam,
unde exulavi,
comedens ex illo ligno,
quod mihi et nequitiæ dedit
et bonorum scientiam;
ubi, postquam exuebar
ob voluptatis delicias
stola immortalitatis,
indui putredinem,
reversus in terram;
et propterea in te
vitæ opes adeptus,
lætabundus clamo :
« Salve, crux vivifica
« tu mundi salvator. »

καρποῦ ζωώσας σταυροῦ με. Ab initio periodi et in hoc δι' οὗ, usque in finem σταυρὸς subauditur, sicque Romanus amplo et continuo halitu currere solet. — ἐναπαμβλύνας dictionem opulentam in lexica recipito. — μοι πονηρήσεως T et videtur rhythmo requiri, sed novum est. At nobiscum lege πονηρίας τε, idque solum terso poemate dignum est, quod barbare deturpari nefas est. — ἐμφιάσθης sic T, hic vero videtur trisyllab.

X.

IN SABBATO ANTE PALMAS.

α'. Ἡ πάντων χαρὰ, * ὁ Χριστὸς ἡ ἀλήθεια, * τὸ φῶς, ἡ ζωὴ, * τοῦ κόσμου ἡ ἀνάστασις, * τοῖς ἐν γῇ πεφανέρωται· * τῇ αὐτοῦ

1. Christus, omnium lætitia, veritas, lumen, vita, mundique resurrectio, terrigenis apparuit, benignitate sua factus resurgendi

X. Vetus melodus videtur, neque a Romani schola longe recedit. Idem quam supra p. 283 mutilus Cyriacus, argumentum de Lazaro redivivo cum is tractaverit, breviore quidem fine concludit, sed ab initio procemia restituit, quæ Cyriaco penitus in corsinio defuere. Ea nobis dedit taurin. f. 165, 166, sub rubrica: τῷ σαββάτῳ τῶν βαΐων κοντάκιον εἰς δίκαιον Λάζαρον, ἦχ. β'.

1. Ibid. πρὸς τό· Τὰ ἄνω. Vid. p. 210, quo jubemur addere ὁ in v. 2. — φῶς Joann. XI, 25. —

ἀγαθότητι γέγονε * τύπος τῆς ἀναστάσεως, * ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.

β'. Τοῖς μαθηταῖς ὁ κτίστης τῶν ὅλων * προηγόρευσε, λέγων· * Ἀδελφοὶ καὶ γνωστοί, * ἡμῶν ὁ φίλος κεκοίμηται· * τοῦτο προλέγω καὶ ἐκδιδάσκω, * ὁ τὰ πάντα γινώσκων ὡς κτίστης πάντων· * ἄγωμεν οὖν, * πορευθῶμεν, καὶ ἴδωμεν ξένην ταφὴν * καὶ θρῆνον τὸν τῆς Μαρίας, * καὶ τὸν τάφον Λαζάρου ὀψώμεθα· * ἐκεῖ γὰρ μέλλω θαυματουργεῖν, * ἐκτελεῖν τε σταυροῦ τὰ προοίμια, * ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.

γ'. Ὅλοι συνδράμωμεν μετὰ πόθου * ἕως τῆς Βηθανίας * τοῦ ἰδέσθαι ἐκεῖ * Χριστὸν τὸν φίλον δακρύοντα· * θέλων γὰρ πάντα νομοθετῆσαι, * πάντα πράττει· τῇ φύσει διπλοῦς ὑπάρχων, * πάσχει μὲν οὖν, * ὡς υἱὸς τοῦ Δαυίδ· ὡς υἱὸς δὲ Θεοῦ, * τὸν κόσμον πάντα λυτροῦται * ἀπὸ πάσης κακίας τοῦ ὄφεως, * καὶ τεταρταῖον τὸν Λάζαρον * ἀνιστᾷ, οἰκτειρήσας, ὡς εὔσπλαγχνος, * Μαρίας τε καὶ Μάρθας τὰ δάκρυα, * ὁ πᾶσιν...

δ'. Ὑπὸ τῆς πίστεως αἱ γυναῖκες * συνερχόμεναι ἅμα, * τῷ Χριστῷ καὶ Θεῷ * προκαταγγέλλουσι θάνατον * συγγόνου τοῦ ἰδίου λέγουσαι· * Σπεῦσον, φθάσον ὁ ἀεὶ παρὼν ἐν πᾶσιν· * Λάζαρος γὰρ * ὃν φιλεῖς, ἀσθενεῖ· ἐὰν οὖν ἐπιστῇς, * ὁ θάνατος δραπετεύει, * καὶ ὁ φίλος φθορᾶς λυτρωθήσεται, * οἱ δὲ Ἑβραῖοι θεάσονται * ὅτι σὺ καὶ οἰκτείρεις τὰ δάκρυα, * ὁ πᾶσιν...

ε'. Τὸν ὀδυρμὸν Μαρίας καὶ Μάρθας * ἐπιστὰς ὁ δεσπότης * μεταβάλλει εὐθύς, * ἐγείρας αὐτῶν τὸν σύγγονον, * ὡς οὖν ἰδέσθαι

exemplar, cunctis qui largitur divinam veniam.

2. Auctor rerum omnium discipulis prolocutus est, dicens : « Fratres et noti, noster « amicus obdormivit. Quod dico in ante« cessum et doceo, ego qui novi omnia, ut « mundi creator : agitedum, eamus et vi« deamus insolitam sepulturam, et Mariæ « lamentum, et Lazari cernamus sepulcrum. « Hic namque me oportet prodigia facere, « et exequi crucis exordia, cunctis qui lar« gior divinam veniam. »

3. Cum amore concurramus omnes usque Bethaniam; ibi cernere est flentem Christum super amicum : qui vult enim ferre omnibus legem, ideo cuncta facit; ac duplicis cum naturæ sit, patitur quidem, ut Davidis filius; qua vero Dei natus, totum mundum redimit ab omni serpentis versutia, et Lazarum quatriduanum suscitat, compatiens pro sua clementia lacrymis Mariæ et Marthæ, qui omnibus largitur...

4. Fidei instinctu mulieres simul proficiscentes, Christo et Deo nuntium præmittunt de proprii germani morte, sic aientes : « Festina, anticipa, tu qui semper ubi« cumque ades, Lazarus enim quem amas, « ægrotat; si accesseris, mors aufugiet, et « amicus fœtore liberabitur, et Judæi aspi« cient quomodo tuam misericordiam la« crymæ moveant, qui omnibus... »

5. Accedens Dominus, fletum illico Mariæ et Marthæ commutavit, suscitato earum fratre, ut cernatur prodigium miraculorum,

V. 7 et 8 una syllaba respectu ad hirmum abundant. Duo priora trop. in edd. triodii extant et in vatic. 769, in quibus : κόσμον ἡ ἀνάκλησις vat. — καὶ γέγον. edd.

2. πρὸς τό· Τράνωσον. V. p. 169. — τούτους T. — προλέγων καὶ ἐκδιδάσκων T, edd. — ὅτι πάντα γινώσκεις edd. — ὁ τοῦ κόσμου δεσπότης καὶ κ. π. T. — καὶ πορευθ. T. — θαυματουργῆσαι vat. — θαυμ. ἐκτελεῖν σταυροῦ T. — τὰ προοίμια, ut Cyriacus trop. 6.

3. Cum rupta pendeat acrostichis, ambigo an alius ordo aptior sit in hac serie 2, 6, 8, 3, 4, 5, 7. Alius codex expectandus est. — ὅλον συνδρ. T. — τοῦ add. ante Δαυίδ, τε post μαρίας.

4. συνεχόμεναι T. — τοῦ ἰδ. συγγ. T. — λέγουσαι οὕτως T, fort. servandum, si omittatur ἀεὶ otiosum. — ἀσθενεῖ, ut Joan. XI, 2, verso tempore, aut per euphemismum, pro τέθνηκε, quod expectatur. — post οἰκτείρεις in cod. ex superiore trop. interpolantur otiose : ὡς εὔσπλαγχνος Μαρίας καὶ Μάρθας τὰ δάκρυα.

5. ὥστε οὖν T. — κατελθ. τοῦ ᾅδου T. — Iterum

θαῦμα θαυμάτων, * πῶς ὁ ἄπνους ἐξαίφνης ἔμπνους ὡρᾶτο· * τῆς γὰρ φωνῆς * κατελθούσης εἰς τοῦ ᾅδου, συνέσεισεν * τὰ κλεῖθρα πύλας τε ἅμα * καὶ μοχλοὺς τοὺς τοῦ ᾅδου συνέτριψεν, * τὸν δὲ νεκρὸν ἐξανέστησεν * τεταρταῖον, οἰκτείρας ὡς εὔσπλαγχνος * Μαρίας τε καὶ Μάρθας τὰ δάκρυα, * ὁ πᾶσιν...

ς'. Ὁ οὐρανὸν καὶ γῆν στερεώσας, * ἥλιον καὶ σελήνην * καὶ ἀστέρων πληθὺν, * μετὰ βροτῶν συναυλίζεται, * πάντας διδάσκων τε καὶ φωτίζων, * καὶ παράδοξα τούτοις θαυματουργῶντε * ἦλθε καὶ νῦν * Βηθανίαν εἰς κώμην τοῦ σῶσαι αὐτοὺς * καὶ δεῖξαι τέρατα θεῖα, * καὶ ἐγεῖραι τὸν φίλον τὸν Λάζαρον, * τὰ πάντα θέλων καὶ πράττων αὐτὸς * τῇ βουλῇ τῇ ἀχράντῳ δυνάμει τε, * ὁ πᾶσιν...

ζ'. Γῆς τὰ θεμέλια ἐσαλεύθη, * καὶ τοῦ ᾅδου τὰ κλεῖθρα * καὶ θανάτου ἰσχὺς * καὶ διαβόλου τὸ φρύαγμα, * ὅτε ἐφώνησε τεταρταῖον, * ἐκ τῶν καταχθονίων τοῦτον καλέσας· * εἶδον αὐτὸν * Ἀβραὰμ καὶ πάντες ἀπ' αἰῶνος νεκροὶ, * θαῤῥοῦντες ὅτι ἐγγίζει * ἡ χαρὰ, ἡ ζωὴ, καὶ ἀνάστασις· * ὡς ἠγέρθη ὁ δεδεμένος χερσὶν, * οὕτως καὶ ἀναστήσει τε ἅπαντας, * ὁ πᾶσιν...

η'. Ὕλην ῥευστὴν μισήσωσεν πάντες * καὶ Χριστῷ τῷ σωτῆρι * ὑπαντήσωμεν νῦν * εἰς τὴν Βηθανίαν σπεύδοντι, * ὅπως αὐτῷ συνεστιαθῶμεν * σὺν τῷ φίλῳ Λαζάρῳ καὶ ἀποστόλοις, * καὶ ταῖς αὐτῶν * ἱκεσίαις ῥυσθῶμεν τῶν πρώην κακῶν, τοῦ νοῦ δὲ πᾶσαν κηλῖδα * καθαρθέντες, ἀμέμπτως ὀψώμεθα * αὐτοῦ τὴν θείαν ἀνάστασιν, * ἣν παρέσχεν ἡμῖν, ἀφελόμενος * τοῦ Ἀδάμ τε καὶ Εὔας τὰ δάκρυα, * ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.

exanimem nempe subito videri spirantem. Voce enim in imum lapsa infernum, inferni Christus concussit claustra, portasque et vectes contrivit, mortuumque excitavit quatriduanum, misertus pro sua clementia fletuum Mariæ et Marthæ, qui omnibus...

6. Qui cœlum terramque, solem et lunam astrorumque multitudinem stabilivit, cum mortalibus conversatur, omnes docens et illuminans, eisque prodigia præter omnem opinionem perpetrans, venitque nunc Bethaniam, ut salvos faciat et stupenda ostendat, atque excitet amicum Lazarum; vult ipse omnia et facit voluntate simplici et propria virtute, qui omnibus...

7. Conquassata sunt terræ fundamenta et inferni repagula et mortis fortitudo et diaboli jactantia, quando voce compellavit quatriduanum, ex imis vocans eum abyssis. Quem cum videre Abraham et omnes a sæculo mortui, spe erecti sunt accessu illius qui est gaudium, vita et resurrectio; ut surgere fecit ligatum manibus, sic vivificabit omnes, qui cunctis dat...

8. Fluxam materiam odio omnes prosequamur, et Christo salvatori occurramus nunc properanti in Bethaniam, ut cum eo dapes comedamus, una cum amico Lazaro et apostolis, eorumque suffragiis eruamur a veterno pravo, et ab omni mentis macula repurgati, illibato oculo, cernamus ejus resurrectionem, quam nobis præstat, auferens Adami et Evæ fletum, qui dat omnibus divinam veniăm.

post τεταρταῖον plura in codice importune otiantur, quæ nonnisi temere expunxeris, priusquam alius codex suppetat. — τε in fine et infra add.

6. τε add. post διδάσκ. — θαυματουργοῦντι T. — Βηθ. τὴν κώμην τοῦ T. — αὐτὸς καὶ δυνάμει T, omissore et subverso metro.

7. Ἐφώνησας T active, ut Roman. XVII, 12, quod adeo rarum est, ut semel notatum sit apud Sophocl. *Phil.* 228. — χερσὶν τε καὶ ποσὶν καὶ ἐζήτησεν T.

8. ἐν Βηθανίᾳ T. — αὐτοῦ θείαν ἀν. παρέσχ. T. Sensus et rhythmus penultimo versu absolvuntur, sed ephymnia addere, sollicitare et contorquere librarii solent.

XI.

IDIOMELUM PALMARUM.[1]

α'. Ἆσμα καινὸν ᾄδωμεν, λαοὶ,
τῷ ἐπὶ πόλου
καθεζομένῳ Χερουβείμ.

Βάϊα μετὰ τῶν παίδων
βαστάζοντες, εἴπωμεν·

Γενοῦ ἡμῖν, δέσποτα,
ὁδηγὸς πρὸς τὴν ζωήν.

Διὰ ἡμᾶς γὰρ παρεγένου,
ὁ ἐν τοῖς ὑψίστοις
οἰκῶν εἰς τοὺς αἰῶνας.

β'. Ἔχαιρεν ἡ κτίσις ἐπὶ σοὶ,
Θεὸν ὁρῶσα
ἐπὶ πώλου καθήμενον.

Ζῶντα γὰρ ἐν εὐσεβείᾳ
τὰ βρέφη ὑμνοῦσί σε.

Ἡμεῖς δὲ βοῶμέν σοι·
Ὡσαννὰ, υἱὲ Δαυίδ.

Θεὸς ὤφθης ἐν τοῖς ἀνθρώποις,
πάντων βασιλεύων,
καὶ ζῶν εἰς τοὺς αἰῶνας.

γ'. Ἰδόντες οἱ παῖδες τὸν Χριστὸν,
βαΐοις τοῦτον
ἀνευφημοῦντες ἔλεγον·

Κύριος, ὁ ἐπὶ πάντων,
ἐλήλυθε σήμερον,

Λυτρῶσαι βουλόμενος
τὸν Ἀδὰμ ἐκ τῆς φθορᾶς,

Μετὰ ἡμῶν τῶν ἐκβοώντων·
Ὅτι βασιλεύει
ἀεὶ εἰς τοὺς αἰῶνας.

δ'. Νήπια ἐβόων σοι, Χριστέ·
Εὐλογημένος
ὁ ἐλθὼν καὶ ἐρχόμενος·

1. Canticum novum modulemur, populi, cherubico in polo sedenti. — Ramos cum pueris gestantes, dicamus : — « Esto nobis, « Domine, dux ad vitam. — Propter nos « enim venisti, qui in excelsis habitas in « sæcula.

2. « Exultavit creatio propter te, Deum « conspiciens in pullo asini sedentem. — « Viventem enim te pueri cum pia voce con« celebrant. — Nos vero ad te clamamus : « Hosanna filio David. — Deus visus es in« ter homines, rex omnium et vivens in « sæcula. »

3. Pueri, Christum ut viderunt, cum ramis faustisque vocibus salutantes, aiebant : « — Dominator super omnia venit hodie, — « Adamum redimere volens ab interitu, — « una nobiscum clamantibus : Regnat sem« per in sæcula. »

4. Pueri ad te, Christe, clamabant : « Be-

XI. Hæc Sergii potius acathistum quam Romani cantica referunt : sed utroque nostra facile censeo antiquiora, tum quia primæva sunt quæ ad præcipuas magnæ hebdomadis celebritates pertinent, tum ex ipsa stichorum arguta sobrietate et cana ingenuitate. Sex majorum stropharum distinctiones majoribus litteris ipse codex significavit, cujus nonnulla commata diacritica omnes fere versiculos, ut oculis subjacent, dividunt. Præstantissimus codex est vatic. 771, f. 140, XI sæculi, ex quo plura haud exigui pretii Angelus Maïus et Philippus Vitale receperunt.

1. ἐπὶ πώλου Χερουβείμ, sic aperte cod. quem statim emendavissem ἐπὶ πόλῳ, nisi melodus cum similibus in altero trop. ἐπὶ πώλου luderet.

2. ἐπὶ σὲ V. — ἐν ἀνθρώποις V.

3. μεθ' ἡμῶν V.

4. ξενίζ. τοῖς λόγοις τῶν κεκραγότων V, rupto metro

Ξενίζονται τῶν τοῖς λόγοις
κραζόντων οἱ ἄνομοι.

Ὁμοῦ δὲ προσέρχονται
φαρισαῖοι φθονερῶς

Πεφιμῶσαι τοὺς ἐκβοῶντας·
Ὅτι βασιλεύεις
αὐτὸς εἰς τοὺς αἰῶνας.

ε'. Ῥύσασθαι τὸν κόσμον ἐκ φθορᾶς
ἐπὶ τὸ πάθος
παραγένου, φιλάνθρωπε.

Στρωννύει ἐν τῇ ὁδῷ σου
ὁ ὄχλος ἱμάτια·

Τοὺς κλάδους δὲ ἔκοπτον
ἐκ τῶν δένδρων οἱ λοιποί·

Ὑπαντιῶντες σοι τῷ κτίστῃ,
ὅτι βασιλεύεις
καὶ ζῇς εἰς τοὺς αἰῶνας.

ϛ'. Φωνὴν τοῦ προφήτου ὁ σωτὴρ
πληρῶσαι θέλων,
ἐπὶ πώλου ἐκάθισε·

Χαίρετε, καὶ εὐφραίνεσθε
τέκνα Σιὼν ἐν αὐτῇ·

Ψάλλοντες καὶ λέγοντες·
Ὡσαννὰ, υἱὲ Δαυίδ.

Ὡς βροτὸς ὤφθης τοῖς ἀνθρώποις,
ὁ βασιλεύων
καὶ ζῶν εἰς τοὺς αἰῶνας.

« nedictus qui accessit, et qui procedit. » — Obstupescunt ob clamantium eloquia nonnulli improbi, — simulque progrediuntur Pharisæi cum invidia, — ora ut claudant clamitantium : « Tu ipse regnas in sæcula. »

5. Ut eximeres mundum a putredine, ad patiendum venisti, hominum amator. — Sternit in via plebs vestimenta; — ramos autem ex arboribus cæteri decerpunt, — tibi creatori obviam euntes; tu regnas et vivis in sæcula.

6. Prophetæ vocem implendi salvator cupidus, in pullo sedit. — Lætamini et exultate, filii Sion, in ipsa civitate, — psallentes ac dicentes : « Hosanna filio David, — mortalis instar visus es hominibus, rex om- « nium et vivens in sæcula. »

simul et tono. — πεφημῶσαι sic aperte cod. duplici peccato, pro πεφιμωκέναι quo multa læderentur. Rectius emendaveris τοῦ φιμῶσαι τοὺς ἐκβοῶντας, si tulerit acrostichis alphabetica.

5. σου add. post ὁδῷ. — ὑπαντῶντες V.

6. Rectius, sed durius pro rhythmo : Χαίρ. εὐφραίνεσθέ τε, Σιὼν τέκνα. — ὤφθ. ἀνθρώποις πάντων βασιλ. V.

XII.

IN FERIA II MAGNA DE JOSEPHO.

α'. Ὁ Ἰακὼβ ὠδύρετο
τοῦ Ἰωσὴφ τὴν στέρησιν·
καὶ ὁ γενναῖος ἐκάθετο ἅρματι

1. Jacobus plangebat
se Josepho esse orbatum :
nobilis vero juvenis in curru

XII. Exigua hæc sunt, sed a Romano nihil parvum : sic sane sua ordiri solet, ac fere ut supra plangentem Adamum, sic Jacobum mœrentem introducit. Nil mirum, si post amplissimum poema, non nihil profanum, ac fortasse extra ecclesiam legendum, quod supra dedimus, p. 68, idem argumentum melodus mystico more tractaverit in hoc cantico, cui similis potuit esse acrostichis: εἰς τὸν σώφρονα Ἰωσήφ.

1. πρὸς τό· Ὡς ἀπαρχάς. Extat in triod. ven. bol. — δδύρεται T. — νῦν ἐδοξάζετο T. — καὶ πέμψαντος T. — καὶ πέμποντος cod. rom.

ὡς βασιλεὺς τιμώμενος·
τῆς αἰγυπτίας γὰρ τότε
ταῖς ἡδοναῖς μὴ δουλεύσας,
ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος
καὶ τῶν ἀνθρώπων καρδίας καὶ νέμοντος
στέφος ἄφθαρτον.

vehebatur, ut rex adoratus.
Tunc enim ægyptiacæ mulieris
voluptatibus non submissus,
præmio honestabatur ab illo qui videt
hominum corda, et distribuit
coronam immortalem.

β'. Ἐπὶ τῷ ὀδυρμῷ νῦν προσθήσωμεν * ὀδυρμὸν, καὶ ἐκχέωμεν δάκρυα, * μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι, * Ἰωσὴφ τὸν ἀοίδιμον σώφρονα, * τὸν δουλωθέντα μὲν τῷ σώματι, * τὴν ψυχὴν δὲ ἀδούλωτον συντηροῦντα, * καὶ Αἰγύπτου πάσης κυριεύσαντα· * ὁ Θεὸς γὰρ παρέχει τοῖς δούλοις αὐτοῦ * στέφος ἄφθαρτον.

2. Et nunc super planctum gemitus imponamus, et lacrymas effundamus, cum Jacobo condolentes de Josepho, præclaro et casto, qui quum corpore servus esset, animam liberam servat, et omni Ægypto dominatus est; Deus enim confert servis suis coronam incorruptibilem.

γ'. Ἴδωμεν πόθεν οὗτος ἐξέφυεν, * τίνες δὲ οἱ γεννήτορες πέλουσιν· * Ἰακὼβ καὶ Ῥαχὴλ τοῦτον ἔτεκον, * καὶ ἡ μήτηρ τὸν βίον ἀπέλειπεν· * ὁ δὲ πατὴρ αὐτὸς ὡραΐζετο * ἐν τῷ νέῳ παιδίῳ, παγκάλῳ ὄντι, * καὶ αὐτὸν ἠγκαλίζετο πάντοτε· * ἀλλ' ἐχόμενος| οὗτος λαβεῖν ἐκ Θεοῦ * στέφος ἄφθαρτον.

3. Videamus unde is natus sit, qualesve genitores sint. Jacob et Rachel eum genuere, et mater vitam amisit. Pater autem ipse delectabatur puero juveni et formosissimo, semperque eum amplexabatur. Is vero in se studebat recipere a Deo coronam putrescere nesciam.

2. πρὸς τό· Αὐτὸς μόνος. — Nota προσθήσωμεν, aor. subj. — ψυχὴν δὲ ὅλην ἀδ. φυλάξαντα T. — αἰγ. παντὸς βασιλεύσαντα sic T. — τοῖς φίλοις αὐτοῦ T.

3. In solo taurin. f. 169. — αὐτον ὡραΐζετο T. — παγκάλῳ ὑπάρχοντι T. — ἐχόμ. τοῦτον T.

XIII.

IN FERIA IV MAGNA.

α'. Ὑπὲρ τὴν πόρνην, ἀγαθὲ, ἀνομήσας, * δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα· * ἀλλὰ σιγῇ δεόμενος, προσπίπτω σοι, * πόθῳ ἀσπαζόμενος * τοὺς ἀχράντους σου πόδας, * ὅπως μοι συγχώρησιν * ὡς δεσπότης παρέ-

1. Plus quam meretrix, bone Deus, quum peccaverim, tibi nunquam fletuum imbres obtuli : sed luctu silens et orans, tibi provolvo, sacros tuos osculatus pedes, ut veniam meorum peccatorum, tanquam Domi-

XIII. Si quis majoris hujus feriæ prisca revolvens officia, inciderit in avulsum hujus cantici caput, vix suspicabitur ibi haud inamœnam exordiri oden, quæ post eximium Romani de meretrice canticum, p. 88, ex eadem vena sic fluere videtur, ut facile dixerit eamdem pergere acrostichidem, hinc ἡ ᾠδὴ, illinc vero τοῦ ταπεινοῦ Ῥωμανοῦ. Aut enim magister adest, aut argutus ejusdem æmulator, et ambo de inexhausta ubertate melodorum admirationem augent. Pauciora editi servant, cætera solus taurin. f. 170.

1. ἦχ. δ', πρὸς τό· Ὁ ὑψωθείς. — τῶν ἀχράντων ποδῶν σου T. — παράσχῃς ven. cf. Roman. XII, p. 85-92. De παρέξῃς cf. Lob. 721.

ξης * τῶν ὀφλημάτων κράζοντι· Σωτήρ, * ἐκ τοῦ βορβόρου * τῶν ἔργων μου ῥῦσαί με.

β'. Ἡ πρώην ἄσωτος γυνὴ * ἐξαίφνης σώφρων ὤφθη * μισήσασα τὰ ἔργα * τῆς αἰσχρᾶς ἁμαρτίας * καὶ ἡδονὰς τοῦ σώματος, * διενθυμουμένη * τὴν αἰσχύνην τὴν πολλὴν * καὶ κρίσιν τῆς κολάσεως, * ἣν ὑποστῶσιν πόρνοι καὶ ἄσωτοι· * ὧνπερ πρῶτος πέλω, * κἂν πτοοῦμαι, ἀλλ' ἐμμένω * τῇ φαύλῃ μου συνηθείᾳ ἄφρων· * ἡ πόρνη δὲ γυνὴ * πτοηθεῖσα εὐθὺς * καὶ σπουδάσασα ταχὺ, * ἦλθε βοῶσα * πρὸς τὸν λυτρωτήν· * Φιλάνθρωπε καὶ οἰκτίρμον, * ἐκ τοῦ βορβόρου * τῶν ἔργων μου ῥῦσαί με.

γ'. Ὡς εἶδε τὸν ἐκ τῆς ἁγνῆς * ἀμνὸν ἐληλυθότα, * καὶ πανταχοῦ ζητοῦντα * τοὺς ἀποπλανηθέντας, * ἡ συνετὴ καὶ πάνσεμνος * λογισμοὺς ἐκείνη * καὶ τὸ χρέος τῶν κακῶν * αὐτῆς ζυγῷ ἐστάθμιζεν, * οὕτως, ὡς οἶμαι, λέγουσα ἡσυχῇ· * Δι' ἐμὲ ἐπέστη * ὁ νυμφίος· καὶ οὐ θέλω, * οὐ βούλομαι * κακῶν ἀποστῆναι· * δι' ἐμὲ πανταχοῦ * νῦν περιπολεύει, * δι' ἐμὲ καὶ συνδειπνεῖ * τῷ φαρισαίῳ· * δράμω οὖν ἐκεῖ, * βοῶσα μετὰ δακρύων· * Ἐκ τοῦ βορβόρου...

δ'. Δίκην ὀσμῆς μύρου ψιχῶν * ἐκ τῆς Χριστοῦ τραπέζης * ἡ πόρνη ὀσφρανθεῖσα, * τὰ μύρα τὰ ἀρχαῖα * καὶ τῶν τριχῶν τὰ πλέγματα * ἐγκαταλιποῦσα, * τῷ Χριστῷ λυσίκομος * προσέρχεται, κραυγάζουσα * παρὰ τὴν Χαναναίαν μειζότερον· * ψίχας

nus, condones; o salvator, a luto operum meorum eripe me.

2. Desperata primum mulier, subito casta apparuit, detestans fœdi peccati opera et carnis delicias, secum recogitans multam turpitudinem, et quale damnationis judicium sustineant scorta et dissoluti, quorum primus ego sum, neque formido, sed persisto demens in reproba mea consuetudine. Meretrix vero femina tremefacta repente, et cito festinans, ibat clamabunda ad redemptorem : « O miserator et amator hominum, « ex luto operum meorum eripe me. »

3. Agnum quando vidit ex immaculata natum, undecumque palabundos quæritantem, intellexit jam venerabunda, suosque cogitatus suorumque flagitiorum debitum æqua lance ponderavit, hæc secum, opinor, tacita dicens : « Propter me accessit sponsus; nec volo, nec consentio a malis recedere. Propter me quocumque vadit; « propter me etiam cum Pharisæo cœnat. « Curram ergo illuc, clamans cum lacrymis : « Ex luto operum meorum eripe me. »

4. Fragrantis instar unguenti, micas ubi ex mensa Christi odorata est meretrix, missa faciens vetera unguenta et capillorum cincinnos, Christum aggreditur, passis crinibus, clamans vehementius quam Chananæa : « Micas et ipsa quærens, panem ju-

2. In editis omnibus hic provocatur ad hirmum : Ὁ κατὰ τρίτον οὐρανόν ; sed primum omnino similes esse versus notissimo hirmo : Τῇ Γαλιλαίᾳ, rhythmi integra serie comprobatur. Deinde emendandum est bolon. triodium in quo mendose legitur : ὁ κατὰ τρ. οὐρανὸν, ut cuique patebit hunc hirmum legenti infra in cant. XXI de cruce. — αἰσχύνην καὶ πολλὴν ἀνάγκην τῆς κολάσεως ἣν οἱ ποθήσαντες T. — Eadem plane apud Roman. trop. 3, ex quo emendavi κἂν pro καὶ πτοοῦμαι, quod in idem recidit ac istud : ἐγὼ δὲ καὶ πτοούμενος, ἐπιμένω, p. 86. — ἐμμένω τῇ κακῇ μου συνηθείᾳ T. — ὁ ἄφρων edd. — καὶ πτοηθ. καὶ edd. εὐθὺς add.

3. ζητοῦντα. Cf. Roman. tr. 4. — βούλ. τῶν κακ. T. — νῦν add. In superiori cantico : δι' ἐμὲ γὰρ πάντα τόπον ἐξερευνᾷ, δι' ἐμὲ καὶ φαρισαίῳ συναριστᾷ, et sequuntur similia de debito et fœnore.

4. Nisi et superiora et sequentia facem attulissent, horreret in T aliquid monstri ab initio : Δίκης ὀσμῆς μυροψιχῆς. Sed præter similia in Romani trop. 5, mox ψίχας habes, quod non vidit cæcutiens librarius. Tum arcana considera ἄρτου δικαιοσύνης πεινήσασα, omnino ut quidam volunt in titulo augustodunensi, ἔσθιε πεινάων. — πολὺ καὶ χορτασθεῖσα T. — Emendavi cod. μειζοτέρας, tum μετέλαβε et χορτασθεῖσα, ob metrum et seriem. — σιγῇ. Romano placet silentium loquax, ut trop. I et similis cant. XII, tr. 10 : σιγῇ βοῶσα.

ἐκζητοῦσα, * αὐτὴ ἄρτου μεταλάβω * πεινήσασα * τῆς δικαιοσύνης, * πολὺ καὶ χορτασθῶ· * [ἔλεγε γὰρ οὕτως], * οὐ κραυγῇ, ἀλλὰ σιγῇ, * δικαιωθεῖσα, * ὅτι ἐν κλαυθμῷ * ἱκετεύει τὸν δεσπότην· * Ἐκ του βορβόρου * τῶν ἔργων μου ῥῦσαί με.

« stitiæ famelica participem, ac multum sa« tiata fiam. » Sic enim aiebat, non vociferata, sed tacens, jam justitiæ restituta, quia in luctu exorat Dominum : « Ex luto « operum meorum eripe me. »

XIV.

IN FERIA V MAGNA.

I.

α'. Τὸν ἄρτον λαβὼν * εἰς χεῖρας ὁ προδότης, * κρυφίως αὐτὰς * ἐκτείνει καὶ λαμβάνει * τὴν τιμὴν τοῦ πλάσαντος * ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον * καὶ ἀδιόρθωτος ἔμεινεν * Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

β'. Τῇ μυστικῇ ἐν φόβῳ τραπέζῃ * προσεγγίσαντες πάντες, * καθαραῖς ταῖς ψυχαῖς * τὸν ἄρτον ὑποδεξώμεθα, * συμπαραμένοντες τῷ δεσπότῃ, * ἵνα ἴδωμεν τοὺς πόδας πῶς ἀπονίπτει * τῶν μαθητῶν, * καὶ ποιήσωμεν ὥσπερ κατείδομεν, * ἀλλήλοις ὑποταγέντες, * καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνοντες· * Χριστὸς γὰρ οὕτως ἐκέλευσε * τοῖς αὐτοῦ μαθηταῖς, ἀλλ' οὐκ ἤκουσεν * Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

γ'. Ὁ ἀγαθὸς καὶ μόνος οἰκτίρμων * προγινώσκων τὰ πάντα, * ἑαυτὸν ὡς ἀμνὸν * τοῖς ἀποστόλοις προέθηκεν· Λάβετε, φάγετε τό μου σῶμα, * καὶ τοῦ αἵματος πίετε, καὶ γάρ ἐστιν * κόσμου παντὸς * καθαρτήριον καὶ ἱλαστήριον· * ὁ τοῦτο καθαρᾷ γνώμῃ * ἀπολαβὼν οὐκ ὄψεται θάνατον, * ἀλλ' εἰς αἰῶνας ζήσεται. * Ὁ προδούς με δὲ κλαύσει καὶ κόψεται * Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

1. Postquam, ut panem sumeret, proditor clam extendit manus suas et cœpit sacramentum ejus qui propriis manibus finxit hominem, perversus remansit Judas, perfidus servus.

2. Mysticam ad mensam omnes accedentes, cum anima pura panem suscipiamus, neque separemur a Domino, ut videamus quomodo pedes lavet discipulorum, et faciamus quemadmodum viderimus, invicem subjecti, pedesque singuli singulorum abstergentes. Christus enim sic præcepit discipulis suis, sed non audivit Judas, perfidus servus.

3. Bonus et solus misericors, omnia prospiciens, se ut agnum apostolis proposuit: Accipite, manducate corpus meum, et bibite ex meo sanguine. Etenim est totius mundi hostia mundans et propïtia. Qui puro corde recipit, non videbit mortem, sed in sæcula salvabitur : qui autem tradidit me, flebit et pectus percutiet Judas, perfidus famulus.

XIV. Extat partim in triodio p. 365, partim in taurin. f. 171.

1. πρὸς τό· Τὰ ἄνω, ubi v. 2, 4 sunt octosyll. ultimus vero dodecasyll. quem perficies si legeris ἅμα καὶ δόλιος. — τιμὴν f. *pretium* venditi creatoris.

2. πρὸς τό· Τράνωσον. — ἅμα καθαραῖς T. — συμπαρ. τῷ διδασκάλῳ T. — μαθητῶν, καὶ ἐκμάσσει τῷ λεντίῳ triod. ven. rupto metro, recte expunxit triod. bolon. cum T. — ὅνπερ κατίδωμεν T. — ὥσπερ κατίδωμεν edd. — X. αὐτὸς ἐκέλ. T. — μαθηταῖς προέφησε bolon. ὡς προέφησε ven. abundantius et otiose.

3. Solus taurin. retinuit, nec sine emolumento. — τὸ ἐμὸν σῶμα T, contra metrum, quod mox postulat αἰῶνας βιώσεται; tum attica lingua non admittit κλαύσει. f. κλαύσεται, κόψεται.

II.

α'. Πρὸ τοῦ πάθους, δέσποτα, * τοῖς μαθηταῖς σου * συνδειπνήσας, ἔνιψας * μετριο; ;όνως, ἀγαθὲ, * ὑποδεικνύων τοῖς φίλοις σου, * ὁ κατὰ φύσιν * ὑπάρχων ἀθάνατος.

β'. Ὁ τῶν ἁπάντων ποιητὴς * μετὰ τῶν ποιημάτων, * ἡ ἄφραστος σοφία * μετὰ τῶν ἀγραμμάτων * συνήσθιε, τρέφων ἀεὶ * πᾶσαν οἰκουμένην, * καὶ οὐ μόνον εἰς αὐτὸ * ἠρκέσθη ὁ φιλάνθρωπος· * ἀλλὰ μετὰ τὸ δεῖπνον ἐξαναστὰς, * καὶ τὴν διπλοΐδα * τεθεικὼς, καὶ τῷ λεντίῳ * ζωσάμενος, * ὁ φῶς ὡς χιτῶνα * περιβαλλόμενος, * ὁ καὶ περιβάλλων * ταῖς νεφέλαις οὐρανὸν * ὡς ἱματίῳ, * κλίνει κεφαλὴν * καὶ νίπτει πόδας πηλίνους, * ὁ κατὰ φύσιν * ὑπάρχων ἀθάνατος.

1. Antequam passus es, Domine, cum discipulis cœna facta, lavisti pedes humilline, o bone, ostendens tuis amicis exemplum, tu qui ex natura immortalis es.

2. Omnium Creator cum creaturis, inenarranda Sapientia cum indoctis Galilæis cibum sumebat, dum semper nutrit mundum universum, neque id satis fuit amatori hominum; sed post cœnam, surgens, tunicamque deponens, linteoque accinctus, qui lucem ut chlamidem vestit, qui tegit cœlum nubibus ut pallio, idem caput inclinat, pedesque lavat lutosos, qui natura immortalis est.

XV. Extat tantum in taurin. cod. fol. 171, videtur fuisse acrostichis ποίημα.

1. πρὸς τό· Ἐπεφάνης, dein τῇ Γαλιλαίᾳ. Vid. p. 16.
2. λεντίῳ ἔζωσας ὁ φῶς corrupt. apogr. aut cod. T.

Monitum de sequentibus canticis.

XV. 1. Novum sane, ideoque vetus, immo cæteris omnibus multo antiquius hoc carmen videtur, cruci adorandæ fortasse ab omni ævo christiano consecratum. Tituli instar, præfigitur in cod. vatic. 771, f. 183: καὶ προτίθεται ὁ τίμιος σταυρὸς καὶ προσκυνοῦντες ψάλλομεν τὸν ἀλφάβητον τοῦτον, ἦχ. γ'. Ponitur in feria VI, inter ultimas horæ IX preces, ubi in aliis diebus locus fit sacræ liturgiæ et canitur κονδάκιον. Simul autem canebatur psalmus CXVIII, eo scilicet ritu quod post singulos cantici nostri τετραστίχους, interponebatur unus στίχος amplissimi psalmi, prout significant priora versiculi verba, quæ in codice nostro leguntur, initiumque habent a littera Α in hunc modum: Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, et sic porro usque ad litteram Θ, cui annectitur v. 9: Ἐν τινι κατορθώσει. Α littera autem Ι incipit secunda quam Græci dicunt ejusdem psalmi στάσιν, et a littera Ι ad Ο occurrunt v. 73 ad 80. Postremo a littera Π ad Ω pergit tertia statio ex v. 132 ad 158. Utrum vero hi tantum στίχοι, an singulæ etiam et integræ fierent stationes, an demum pluries hoc alphabetum redintegraretur, non liquet; silet codex, silent omnia edita typica, a quibus fortasse ideo ritus venerandus expunctus est, quod, quum simillima Ecclesiæ latinæ improperia referret, Græculis fastidio fuit. Inde in triodio edito, ubi nostra expectaveris, atro calculo notatur: ὅτι οὐκ ἔστι τὸ κοντάκιον.

Cum autem psalmus CXVIII alphabeticus sit, pronum erat vel priscis christianis interpositos hymnos similibus notare exordiis. Haud procul enim, ut dixi, ab incunabulis fidei, hæc patres nostri primum cecinerunt. Vetustatis primævæ argumentum est libera quædam et ingenua audacia, quæ vix rhythmum fert continuum, melodiæque affectat inconstantiam. Qua quidem insolentia deterritus, primum pene autumavi, aut soluta sibi succedere troparia, aut duplicem hirmum, præter omnem melodorum consuetudinem, alterna sibi vindicare tetrasticha. Satius demum est, quidquid sibi indulserit aut priscus melodus, aut vesanus γραφεὺς, unum statuere hirmum pro omnibus XXIV tetrastichis, qui ex duobus hexasyllabis, binisque octosyllabis alternis a primo ad ultimum conflantur. Cæterum ea est rhythmi sive in metro sive in tono varietas, ut omnino scripturam codicis qualis est, in textum recipere statuerim, his tantum emendatis quæ diligenti lectori, nisi extergerentur, stomachum moverent. Scholiola porro ex ordine litterarum texere placuit.

XV.

IN FERIA VI MAGNA.

I.

ADORATIO CRUCIS.

α'. Ἄρχοντες Ἑβραίων,
Φαρισαῖοι παράνομοι
κατὰ τοῦ σωτῆρος
πονηρὰ ἐβουλεύσαντο.

Βαραββᾶν ᾐτήσαντο,
οἱ φονεῖς τὸν ὁμόφρονα·
πρὸς δὲ εὐεργέτην,
Σταυρωθήτω, ἐκραύγαζον.

Γέγονας κατάρα
ἑκουσίως, μακρόθυμε·
ἵν' ἐξαγοράσῃς
τῆς κατάρας τὸν ἄνθρωπον.

Δῆμος τῶν Ἑβραίων,
Σταυρωθήτω, ἐκραύγαζον·
σου δὲ ὑψωθέντος,
οἱ πεσόντες ἀνέστησαν.

β'. Ἐν μέσῳ ἀνόμων
τὸν νόμον φυλάξαντα
ξύλῳ προσήλωσαν
Ἰουδαῖοι παράνομοι.

Ζῆλον ἀνεδήσατο
Καϊάφας ὁ ἄνομος,
βουλῇ συμβουλευσάμενος
ἀνελεῖν σε, ἀθάνατε.

Ἥλοις προσηλώθης,
ἀνεξίκακε Κύριε,
ὁ ταῖς σαῖς παλάμαις
πλαστουργήσας τὸν ἄνθρωπον.

Θανάτου ἐγεύσω,
θανατώσας τὸν θάνατον,
καὶ τοὺς τεθνεῶτας
ὡς ἐξ ὕπνου ἀνέστησας.

1. Principes Hebræorum, iniqui Pharisæi adversus salvatorem improba deliberarunt. —Barrabam exposcebant, homicidæ consimilem; ad benefactorem vero clamabant: Crucifigatur! — Maledictio factus es libenter, magnanime, ut hominem a maledicto redimeres. — Gens Hebræorum clamabat: Crucifigatur! Te vero sublato, lapsi surrexerunt.

2. Inter injustos iuris custodem iniqui Judæi clavis ligno affixerunt. — Invidiam succendit scelestus Caïphas, consilio suadens tollere te, immortalis. — Clavis perforatus es, tu in malis fortissimus, o Domine, qui manibus tuis finxisti hominem. — Mortem gustasti, qui interemisti mortem, et mortuos velut e somno suscitasti.

A. Hoc primum tetrastichon norma esto cæterorum.

B. Si pro ᾐτήσαντο legis ἐξῄτουν, quo et in hoc sensu vett. utuntur, metro prospexeris — πρὸς omisso, τὸν δὲ εὐεργ. V.

Γ. ἵνα V. f. ὡς mel. — ἐκ τῆς κατ. vat.

E. f. προσήλωσαν ξύλῳ respectu ad tr. A.

Z. ἀνεδήσατο, præter sensum minus idoneum, barbare deducitur a v. δαίομαι, cujus extat tantum futur. δαήσομαι et aor. 2, ἐδάην, pro quo librarius potius quam melodus invexit ἀνεδήσατο, ubi debuisset minus sibi notum ἀνεδάη scribere et metro consulere. — Mox ab ejusdem injuria iterum postulant sensus et rhythmus, dum requirunt βουλῇ συμβουλεύσας. — καὶ ταῖς vat. sed cf. tr. 4 in Ξ.

γ'. Ἰούδας ἠρνήσατο,
ὁ λῃστὴς ὡμολόγησε,
γυμνὸν θεασάμενος
τὸν τὴν κτίσιν κοσμήσαντα.

Κτίσις ἐδονεῖτο,
καὶ τὰς πέτρας διέῤῥηξε,
μὴ φέρουσα βλέπειν
τὸν δεσπότην σταυρούμενον.

Λόγχῃ τὴν πλευράν σου
οἱ παράνομοι ἔνυξαν·
αὐτὸς δὲ τὰς πύλας
παραδείσου ἀνέῳξας.

Μεσούσης ἡμέρας,
συνεσκότασεν ἥλιος,
μὴ φέρων ὁρᾶν σε
μετ' ἀνόμων σταυρούμενον.

δ'. Ναοῦ διεῤῥάγη
τὸ φαιδρὸν καταπέτασμα,
τὴν τόλμαν ἐλέγχον
τῶν σταυρούντων σε, Κύριε.

Ξύλῳ προσηλώθης,
ἀνεξίκακε Κύριε,
ὁ ταῖς σαῖς παλάμαις
πλαστουργήσας τὸν ἄνθρωπον.

Ὄξος ἐν τῷ σπόγγῳ
καὶ χολήν σε ἐπότισαν,
τὸν ἐν γῇ ἀνύδρῳ
ποταμοὺς ἀναβλύσαντα.

Πιλάτῳ ἔδωκαν
τὸν σωτῆρα οἱ ἄνομοι,
τὸν διδόντα νόμον
μὴ φονεύειν τὸν δίκαιον.

ε'. Ῥάπισμα ἐδέξω
ἑκουσίως, μακρόθυμε,
ἵν' ἐξαγοράσῃς
τῆς δουλείας τὸν ἄνθρωπον.

Σταυρῷ σε προσήλωσεν
ὁ λαὸς ὁ παράνομος·
αὐτὸς δὲ τὰ κλεῖθρα
τοῦ θανάτου συνέτριψας.

Ταφὴν κατεδέξω
ἑκουσίως, μακρόθυμε,
ἵνα ἐκ τοῦ τάφου
ἀφαρπάσῃς τὸν ἄνθρωπον.

3. Judas negavit, latro confessus est, te nudum videns qui creationem decore induisti. — Concussa creatura est, et saxa disrupit, non passa videre Dominum crucifixum. — Lancea latus tuum nefarii pupugerunt; tu vero portas aperuisti paradisi. — Hora meridiana, sol obscuratus est, te videre non ferens inter iniquos crucifixum.

4. Templi scissum est splendidum velum, impudentiam ut argueret te crucifigentium, Domine. — Ligno affixus es, malorum patientissime Domine, qui palmis tuis hominem formasti. — Aceto in arundine et felle te potaverunt, qui in arido deserto flumina scaturire fecisti. — Pilato tradiderunt legis contemptores eum qui legem tulit, ne justus interficiatur.

5. Alapam recepisti sponte, magnanime, ut a servitute redimeres hominem. — Te cruci affixit injusta plebs; tu claustra mortis contrivisti. — Sepulcrum liber accepisti, magnanime, ut a tumulo eriperes hominem. — Elevatus in crucem Calvarii, devastasti mortem morte tua, immortalis Domine.

I. f. Ἰούδας ἠρνήθη, dein γυμνὸν θεωρήσας, ob justum rhythmum.

K. ἐδομείτω sic V.

N. τὸ ante φαιδρὸν om. V.

Ξύλῳ pro ἥλοις posito, idem est ac H.

Πιλ. παρέδωκαν V. f. mel. ἐδίδουν.

P. f. iterum ὡς ἐξαγ. — ἐκ τῆς δουλ. V. Recole alapam servis in libertatem vindicandis impingi solitam.

Σ. lege προσήλου imperf. pro aor.

Ὑψωθεὶς ἐπὶ ξύλου
ἐν κρανίῳ, ἀθάνατε,
ἐπόρθησας τὸν θάνατον
τῷ θανάτῳ σου, Κύριε.

ς'. Φῶς καὶ ἀφθαρσίαν
ὁ σταυρός σου ἐβλάστησε,
φωτίζων τὰ ἔθνη
ἀνυμνεῖν σε, ἀθάνατε.

Χολὴν ἐπότισεν
ὁ λαὸς ὁ παράνομος,
τὸν αὐτοῖς τὸ μάννα
ἐν ἐρήμῳ ὀμβρίσαντα.

Ψεύδονται Ἑβραῖοι
τὴν ἐκ τάφου σου ἔγερσιν,
ἣν πάντα τὰ ἔθνη
ἀσιγήτως δοξάζομεν.

Ὡς Θεὸς οἰκτίρμων
καὶ φιλάνθρωπος, Κύριε,
σῶσον τοὺς ἐν πίστει
ἀνυμνοῦντας τὰ πάθη σου.

6. Lucem et integritatem crux tua germinavit, gentes illuminans ad celebrandum te, o immortalis. — Fel tibi propinavit flagitiosa plebs, quibus manna in deserto pluere fecisti. — Mendacem aiunt Hebræi tuum e sepulcro reditum, quem nos omnes gentes infatigabili voce glorificamus. — Ut Deus misericors et clemens, salvos fac nos, tua vulnera cum fide celebrantes.

Ὑψωθ. ἐν ξύλῳ juxta hirmum, dein θάνατον ἐπόρθεις.
Φ. τοῦ ἀνυμνεῖν V.
Χ. σὲ ἐπότισεν V.
Ψ. δοξαζόμεθα V, contra perpetuum usum.

II.

IMPROPERIA.

α'. Ἐθήρευσάν με ἄνομοι,
ὡς λέων ὠρυόμενοι,
κατ' ἐμοῦ προσπίπτοντες·
Τῷ Πιλάτῳ ἔλεγον·

1. Ut feram sectati sunt me iniqui, sicut leo rugientes, in me collabentes, Pilato aiebant : Tolle, tolle, crucifige... nihil mali facientem.

II. Hic sane et statim ab initio spirat vetustissimi carminis τὸ δριμὺ, et ea quam præ se fert melodia vere sacra, σεμνότητα; est enim veluti pagina sancta, divinis ubique verbis afflata, tanquam ab ore Christi, jam in prooemio assurgentis. Qui tragico ritu a choro salutatur et excitatur; et vix solus adesse et alloqui cœpit, quum alii post alios divino quasi furore acti, in scenam irruunt, miscentur, vociferantur. In hoc personarum tumultu, arduum esset rhythmum discernere. aut numerare sive στίχους, sive strophas, nisi litterarum indago subesset, ac identidem insonaret ferocis populi τὸ ἀπηχούμενον, sive rictus potius quam plausus : Ἆρον, ἆρον! Fac vero secernantur στίχοι, troparia, strophæ et antistrophæ ; in versiculis dividendis hærebis, uti et ego adhucdum hæreo. Medium quasi opus assignare ausim inter metrica poemata et solutas liberasque melodias, quas plerumque idiomela affectant. Agedum, pressius singula scrutari operæ pretium est. Opus extat in cod. vatic. 771, f. 182, præmisso hoc typico: Καὶ ἀντὶ τοῦ καθίσματος κονδάκιον, ἦχ. πλδ', ὑπὸ τοῦ ἀλφαβήτου.

1. Hoc prooemium rubro colore insignitur. — ὡς λέων. Ps. XXI, 14. — Ἆρον. Joan. XIX, 15. Ipsum hoc ἀνακλώμενον, ut habet Suidas de ephymnio, sub oculis ponit duplicem chorum; prior vociferatur Ἆρον, ἆρον, σταύρωσον, posterior subdit, ὑπακοῆς instar, τὸν ἁμαρτίαν μὴ ποιήσαντα. Utinam libellus adsit cum singulis rerum notis, aut loquax musica e mutis membranis, interpretis vice, erumpat.

Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

β'. Ἀνάστηθι, Κύριε,
πρόφθασον αὐτοὺς,
καὶ ὑποσκέλισον αὐτούς·

Βαδίζουσι γὰρ ὁδοὺς οὐκ ἀγαθάς.

Γέμει τὸ στόμα αὐτῶν
ἀρᾶς καὶ πικρίας καὶ δόλου.

Δόντες με κριτηρίῳ
καὶ ἐβόησαν, λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

γ'. Ἐρωτῶσί με πειράζοντες·
Σὺ εἶ ὁ Χριστός;

Ζωὴν ἄλλοις παρέσχες, σῶσον σαυτόν·

Ἢ εἰ Υἱὸς εἶ τοῦ Θεοῦ,
φανέρωσον ἡμῖν.

Θανατῶσαί με φλεγόμενοι,
καὶ ἐβόησαν λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

δ'. Ἰούδας με παρέδωκε
φιλήματι δολιότητος.
Κρυπτόμενοι μετὰ ξύλων ὡς ἐπὶ ληστὴν,

Λαλοῦντες πονηρὰ
κατὰ τῆς ψυχῆς μου,

Μάτην λογιζόμενοι,
καὶ ἐβόησαν λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

ε'. Νυκτί με παρέθεντο
εἰς τὴν αὐλὴν τοῦ Καϊάφα·

Ξένον με ποιοῦντες τῶν ἐντολῶν
τοῦ Θεοῦ, ἔλεγον·

Ὁ τὸ σάββατον βεβηλῶν,
καὶ τὸν νόμον καταλύων.

Πιλάτῳ με παρέδωκαν
καὶ ἐβόησαν, λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

2. Exurge, Domine! præverte eos, et crure subjecto, labefacta illos. — Ambulant enim vias non bonas. — Os eorum plenum est maledicto, amaritudine et dolo. — Me tribunali tradentes, etiam vociferati sunt, aientes : « Tolle, tolle, crucifige... nihil mali facien« tem. »

3. Interrogabant me tentantes : « Tune « Christus es? — Vitam aliis dedisti, salva « te ipsum. — Aut si tu es Filius Dei, mani« festum fac nobis. » — Occidere me exardescentes, etiam clamitavere inquientes : « Tolle, tolle, crucifige... nihil mali facientem. »

4. Judas me prodidit osculo perfidiæ. — Se abscondentes cum fustibus, tanquam in latronem, — loquentes perversa contra animam meam, — frustra meditantes, etiam conclamabant in hæc : « Tolle, tolle, cruci« fige... nihilmali facientem. »

5. Noctu me sistebant in aulam Caïphæ. — Alienum me facientes a mandatis Dei, dixerunt : « — Tu sabbatum destruens, le« gemque transgressus. » — Pilato me tradiderunt, et succlamabant dicentes : « Tolle, « tolle, crucifige... nihil mali facientem. »

2. Totus hic chorus intonat et quam egregie! Ipsa verba sunt psalmi XVI, 13, a quorum rhythmo vix recedunt priores versus trop. 6, 7. — βαδίζουσι. Cf. ad litt. Z, K. — γέμον. V. Ps. XIII, 3.

3. σύ. Matth. XXVII, 40.

4. Matth. XXVI, 44; Luc. XXII, 48. — ξύλων καὶ μαχαιρῶν cod. ex Matth. XXVI, 55.

5. βεβηλῶν absolute, velut in abrupta periodo. Joann. XIX, 7.

ϛ'. Ῥυόμενος ὁ Πιλᾶτος
τὴν ψυχὴν αὐτοῦ,
ἐνίπτετο τὰς χεῖρας·

Σύροντές δέ με ἐπὶ ἀνόμου
βήματος, ἔλεγον·

Τί ποιήσομεν Ἰησοῦ
τῷ βασιλεῖ τῶν Ἰουδαίων;

Ὑποβάλλοντές με κριτηρίῳ,
καὶ ἐβόησαν, λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

ζ'. Φονεῦσαί με φλεγόμενοι
οἱ πρὶν φονευταὶ,
ὡς εἶπεν Ἡσαΐας,

Χεῖρας θέντες ἐπὶ τὴν κεφαλήν μου, ἔλεγον·

Ψυχὴν μίαν ἀπολέσωμεν,
ἵνα ὅλον τὸν κόσμον κερδήσωμεν.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθην,
καὶ ἐβόησαν, λέγοντες·
Ἆρον, ἆρον, σταύρωσον
τὸν ἁμαρτίαν μὴ ποιήσαντα.

Ἐθήρευσάν με ἄνομοι ὡς λέων...

6. Liberaturus animam suam Pilatus, lavabat manus suas. — Me autem vi trahentes coram impio tribunale, effati sunt: — «Quid « faciemus huic Jesu regi Judæorum? » — Substernentes me judicandum, etiam in hæc erupere : « Tolle, tolle, crucifige... « nihil mali facientem. »

7. Occidere me sitibundi jam antea homicidæ, ut dixit Isaias, — manus in caput meum ponentes, aiebant : — « Animam « unam perdamus, ut totum mundum lucre« mur. » — Sicut ovis ad occisionem trahebar, et clamabant his vocibus : « Tolle, « tolle, crucifige... nihil mali facientem. »
Ut leo, impii sectati sunt me...

6. χεῖρας. Matth. XXVII, 24. Simillimi sunt tres priores versiculi sequentis trop. dummodo in altero legatur: φλεγόμενοί με. — ποιήσωμεν V.

7. Plurima sunt Isaiæ loca respicienda. — Ψυχήν. Cf. Joan. XI, 50. — πρόβατον. Is. LVI, 7.

Haud temere vetustis accensui condakiis hæc duo carmina; non solum enim id suadet locus in officio, rhythmi indoles et solemnia ephymnia : sed hunc titulum κονδάκιον posterius carmen aperte in cod. servavit. Sub eodem titulo adhuc in usu erant usque ad sæculum XV. Nam in triodio vaticano fere XVI sæculi, sub num. 769, f. 219 in feria VI, ubi hora IX describitur, typica similia his quæ in vetusto 771 leguntur, scilicet post evangelium Joannis ἄγουσι κ. τ. ἑ. duo condakia recensentur : εἶτα μὴ παραδώκῃς ἡμᾶς — τρισάγιον. — τὸ κονδάκιον. — τὸ κύριε ἐλέησον. — οἱ μακαρισμοί. — τὸ πιστεύω. — τὸ ἄνες, ἄφες. — τὸ πάτερ ἡμῶν. — τὸ κονδάκιον. — τὸ κύριε ἐλέησόν με. — καὶ τὸ ὄνομα Κυρίου. Tunc vesperæ sequuntur. Quæ memorantur hic κονδάκια, eadem quam nostra censeo. Hac die enim alia nunquam inventa sunt. Tum eo vetustiora æstimanda sunt, in primis posterius, quod vix ac ne vix quidem rhythmum, metrum, tonumque patiuntur; sunt quasi prima nascentis hujusce melodiæ et puerascentis dubia lineamenta. Quum autem constans apud Græcos traditio sit, tum editis veteribus triodiis, tum variis codd. confirmata, inter quos vatic. cod. reg. 30, totum feriæ VI officium, maxime in hisce majoribus horis, fuisse a S. Cyrillo Alexandrino conditum et constitutum, per me licet veneranda illa idiomela celeberrimo patriarchæ accepta referas, nisi usque ad primos hymnorum parentes, Hierotheum, Areopagitam, aliosve viros apostolicos ascendere malueris.

XVI.

IN SABBATO MAGNO.

I.

α'. Ἐν σινδόνι καθαρᾷ
καὶ ἀρώμασι θείοις,
τὸ σῶμά σου τὸ ἅγιον,
ἐξαιτήσας Ἰωσὴφ
τὸν Πιλᾶτον, σμυρνίζει
καὶ τάφῳ κατατίθεται
τῷ ἑαυτοῦ ὁ παναοίδιμος·
ὅθεν ὄρθριαι
αἱ μυροφόροι γυναῖκες
ἀνεβόων σοι·
Δεῖξον ἡμῖν, ὡς προεῖπας,
Χριστὲ, τὴν ἀνάστασιν.

β'. Ὁ οὐρανὸς, μὴ σκυθρώπαζε,
καὶ οἱ ἄγγελοι,
σὺν ἀνθρώποις καὶ κτίσμασι,
τὸν ποιητὴν καὶ Θεὸν ἡμῶν
τάφῳ κεκλεισμένον
καθορῶντες, ὡς ἄνθρωπον·
δι' ἡμᾶς γὰρ ὑπέμεινε
τὰ ὀνείδη καὶ ἐμπαίγματα,
χθὲς καθηλούμενος
τῷ σταυρῷ, καὶ ῥαπίσματα·
ἐξ ἀκανθῶν δὲ
τὴν θείαν κάραν
αὐτοῦ ἐστεφανωμένος,
ὄξος πέπωκε διψήσας
σὺν χολῇ, καὶ ἐκεντήθη·
δεῦτε οὖν, θρηνοῦντες
σὺν ταῖς μυροφόροις,
αὐτῷ πιστῶς βοήσωμεν·
Ἡμῖν δεῖξον, δέσποτα,

1. Sindone munda involvit
et aromatibus sacris
sanctum corpus tuum
postquam petiit a Pilato,
Josephus ungit,
et in tumulo deponit suo
vir longe nominatus.
Tum surgentes mane
mulieres unguenta ferentes,
tibi sursum acclamabant:
« Ostende nobis, ut prædixisti,
« Christe, resurrectionem. »

2. Cœlum, vultu noli horrere,
neque horrete, angeli,
cum hominibus, cumque creaturis,
quamvis creatorem et Deum nostrum,
tumulo inclusum,
sicut hominem videatis;
propter nos enim sustinuit
vituperia et ludibria,
heri, dum cruci
affigeretur, immo et alapas;
et spinis etiam
sacro ejus vertici
pro corona impositis,
acetum in siti ebibit
cum felle, et lancea punctus est.
Adeste ergo, lamenta dantes
cum unguentiferis,
ipsi cum fide clamemus:
« Nobis ostende, Domine,

XVI. Vix Romani non erit hic psalmus, quo ipse titulo utitur melodus in acrostichide plurima; insertus præterea in corsinium est inter insigniora ejusdem poemata. Extat fol. 100 sub epigraphe: Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, κονδάκ. ἦχ. α', πρὸς τό· Ὅταν ἔλθῃς ὁ Θεός.

1. Hirmus ὅταν ἔλθῃς supra legitur, Roman. VI, p. 35. — τῷ Πιλάτῳ C.

2. Ibid. πρὸς τό· Τὸ φοβερόν σου, vid. p. 36. — καὶ ἐμπαίγματα lege cum elisione, quam hymnodi scribere non solent. — F. ῥυπάσματα « opprobria. » — στεφανούμενος C. — πιστῶς add.

ὡς ἔφης καὶ ἅπασι,
Χριστὲ, τὴν ἀνάστασιν.

γʹ. Ψάλλων Δαυὶδ προϋπέφηνε * τὴν κατάπαυσιν, * Ἰησοῦ μου, τοῦ πάθους σου· * Ἄρατε πύλας, οἱ ἄρχοντες, * λέγων, καὶ αἱ πύλαι * αἰώνιοι, ἐπάρθητε· * οἱ μοχλοὶ, καταθλάσθητε· * ὁ τῆς δόξης γὰρ Κύριος * ἐπεισελεύσεται * ἐν τῷ ᾅδῃ, ὡς ἄνθρωπος, * καὶ ἀναστήσει * τοὺς ἀπ' αἰώνων * θανόντας παραβάσει, * τὸν Ἀδὰμ μετὰ τῆς Εὔας, * καὶ ἁγίων τὰς χορείας, * πάντας τοὺς πρὸ Νῶε * καὶ μετὰ τὸν Νῶε, * καὶ ἕως νῦν ἐκλάμψαντας· * μεθ' ὧν ἐξαιτοῦμέν σε, * ἡμῖν καὶ ἀνάδειξον, * [ὡς ἔφης, καὶ ἅπασι] * Χριστὲ, τὴν ἀνάστασιν. *

δʹ. Ἄλλον Θεὸν μὴ νομίσωμεν, * ἀνεβόησε * τοῖς ἐν ᾅδῃ ὁ Πρόδρομος, * ὑπὲρ ἡμῶν σταυρούμενον, * εἰ μὴ ὃν οἱ πλάνοι * Ἰουδαῖοι ἐνόμισαν * ὡς νεκρὸν, καὶ κατέκλεισαν, * καὶ τὸν λίθον σφραγίσαντες * ὑπανεχώρησαν * καταστήσαντες φύλακας. * Ἀλλὰ θαρσεῖτε * καὶ μὴ φοβεῖσθε, * πρωτότοκος γὰρ πέλει * ἐν νεκροῖς, ὥσπερ προέφη * ὁ αὐτὸς πρὸ τοῦ θανάτου. * Ἄσωμεν δὲ ᾆσμα, χαίροντες οἱ πάντες, * αὐτῷ καὶ ἀνακράξωμεν· * Ταχὺ προκατάλαβε, * καὶ δεῖξον τοῖς δούλοις σου, * Χριστὲ, τὴν ἀνάστασιν. *

εʹ. Λόγε Θεοῦ ὁμοούσιε * καὶ συνάναρχε * τῷ Πατρὶ καὶ τῷ Πνεύματι, * ὃ πρὸ αἰώνων προώρισας * πάθος, ἐπ' ἐσχάτων * ἡμερῶν ἐτελείωσας, * καταπαύσας ἀπ' ἔργων σου, * ὡς Μωσῆς προηγόρευσε * πάλαι ὁ δίκαιος, * εὐλογεῖν σε τὴν σήμερον· * τῶν γὰρ κτισμάτων * τότε ἐπλήρους * ἐν ταύτῃ τῇ ἑβδόμῃ * τὰς λαμπρὰς μεγαλουργίας, * καὶ νῦν πάλιν ἀξιώσεις * τῆς ζωοποιοῦ σου * ταύτης, ἧς προέθου, * ἁγίας ἀναστάσεως, * ἣν πάντας

« ut dixisti, et omnibus,
« o Christe, resurrectionem. »

3. In psalmis prius David cecinit tuorum, o mi Jesu, dolorum cessationem: « Tollite « portas, o principes, inquiens, et vos, portæ « æternales, elevamini. Vectes, confringi- « mini. » Gloriæ enim Dominus penetrabit in infernum, ut homo, et mortuos ob lapsum a sæculo excitabit, Adamum simul et Evam et sanctorum turmas, omnesque ante Noe et post Noe, et eos qui hactenus effloruerunt; quibuscum te deprecamur, et nobis et omnibus ostende, ut dixisti, Christe, resurrectionem.

4. « De alio Deo ne cogitemus, contesta- « tus est Præcursor jacentibus in orco, qui « sic pro nobis sit crucifixus, præter eum « quem mendaces Judæi reputarunt quasi « mortuum, et recluserunt, et lapidi sigillo « affixo, positis custodibus, abierunt. At « confidite, et ne terreamini: primogenitus « enim est ex mortuis, ut ipse ante mor- « tem prædixit. Cantemus canticum, læti « omnes, et ipsi clamemus: Cito descende, « et servis ostende tuis, Christe, resurrec- « tionem. »

5. O Verbum, Dei Patri ac Spiritui sancto consubstantiale et coæternum, quam tu ante sæcula præfinisti passionem, illam in ultimis diebus persolvisti, quiescens a laboribus, ut olim justus Moyses præsignificavit, te nempe benedicere hanc diem; nunc namque in hac septima die, creationum implevisti splendida magnalia, et nunc ecce, ut statuisti prius, eamdem honestabis vivifica illa tua et sacra resurrectione; quam omni-

3. Δαυΐδ. Ps. XXIII, 7, 9. — f. ἐκλείψαντας, nisi audieris de cunctis hominibus ἐκλάμψαντας, quo sensu ὁ φῶς est homo. — καὶ ἡμῖν ἀνάδ. C, omisso uno v. seq.

4. ὑπὲρ ἡμῶν σταυρούμενον deficiente syllaba. — προκατάλαβε compositum ac geminum est cum præcedentibus apud Romanum XIX, 4, καταλαβὼν *qui descendit*, ubi vide not. et XX, 8 καταλαμβάνει. — Cf. Jo. XVI, 33; Apoc. I, 5.

5. Pergit f. sermo Joannis. — καταπαύσας τῶν ἔργ. C. em. ex Gen. II, 3, κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων. — προανέθου C.

ἀξίωσον * θεάσασθαι αὔριον, * Χριστὲ πολυέλεε. *

ϛ′. Μεγαλοφώνως ἐκήρυττεν * Ὡσηέ ποτε * ὁ προφήτης τὴν ἔγερσιν * λέγων · [Ποῦ κέντρον σου, θάνατε; * ποῦ σου, ᾅδη, νῖκος;] * Κατεπόθη ὁ θάνατος, * καὶ ὁ ᾅδης νενέκρωται. * Καὶ ἡμεῖς νῦν βοήσωμεν * πάντες καὶ εἴπωμεν · * Ποῦ λοιπόν σου, ὦ θάνατε, * τὸ νῖκος πέλει; * ποῦ ἡ παμφάγος * καὶ ἄπληστος γαστήρ σου; * ἰδοὺ αὔριον ἐμέσεις * οὓς κατέχεις ἀπ' αἰώνων. * Ποῦ δέ σου τὸ κέντρον, * ᾅδη δεδεμένε; * ὁμοῦ, φησὶ, πεπάτησθε, * οὐκ ἔχοντες δύναμιν · * ἡμῖν γὰρ χαρίζεται * Χριστὸς τὴν ἀνάστασιν. *

ζ′. Ὃν ἐν τῷ τάφῳ κατέκλεισαν * οἱ παράνομοι * Ἰουδαῖοι, σφραγίσαντες * τὸν λίθον, ὡς μὴ πιστεύσαντες * πάλιν ἐγηγέρθαι, * καθὼς εἶπεν, τριήμερον, * καὶ ὀφθῆναι τοῖς ἕνδεκα * ἀποστόλοις καὶ ἅπασι * τοῖς μαθηταῖς αὐτοῦ, * τοῦτον ἤλθοσαν σήμερον * αἱ μυροφόροι * ὄρθριαι κόραι * θεάσασθαι θρηνοῦσαι, * καὶ ἀλεῖψαι μετὰ μύρων * Ἰησοῦν τὸν βασιλέα · * εἶδον δὲ ἀγγέλου * θέαν ἐκβοῶσαν * αὐταῖς · Μὴ καταπλήττεσθε, * ὦ γύναια ἅγια, * ταχὺ γὰρ θεάσεσθε * Χριστοῦ τὴν ἀνάστασιν.

η′. Σύμβολα νίκης ἀράμεναι * τὴν ἀπόφασιν * τοῦ ἀγγέλου, ὑπέστρεψαν * αἱ μυροφόροι γηθόμεναι, * καὶ τοῖς ἀποστόλοις * ἅπερ εἴδοσαν, ἔφησαν · * ὅθεν πίστει σιγήσαντες * οἱ ἀμφότεροι ηὔξαντο * λέγοντες · Κύριε, * δεῖξον τάχος τὴν ἔγερσιν, * καὶ σκορπισθήτωσαν οἱ ἐχθροί σου * πάντες εἰς τὰ ὀπίσω · ὁ Ἀδὰμ δὲ καὶ ἡ Εὔα * σὺν ἡμῖν ἐπευφρανθῶσι, * τάγματα δικαίων * πάντων

bus cras, dignator manifestam facere, o Christe misericordia immense.

6. Tonante olim voce Osee propheta te prædixit surrecturum, aiens : « Ubi aculeus « tuus, o mors ! ubi victoria tua, inferne? « absorpta est mors, et infernus interem- « ptus est. » — Nosque nunc clamemus omnes et dicamus : « Ubi demum, o mors, « victoria tua est? ubi tuus omnia voraturus « et inexplebilis venter? Ecce cras evomes « quoscumque a sæculo sorbuisti. Ubi « aculeus tuus, inferne vinculis constricte? « Simul, inquit, conculcati fuistis, vim nul- « lam habentes. Nobis enim largitur Chri- « stus resurrectionem. »

7. Quem in tumulo incluserunt scelesti Judæi, sigillato lapide, ac si persuasi sint eum non esse, ut dixerat, surrecturum tertia die, ostensurumque se undecim apostolis, et omnibus discipulis suis, eum hodie ut cernerent gemebundæ venerunt matutinæ puellæ unguentiferæ, utque ungerent unguentis Jesum regem : at viderunt quemdam specie angelis similem, illis clamantem : « Ne formidetis, o sacræ mulieres, « cito enim videbitis Christi resurrectio- « nem. »

8. Victoriæ velut signa sursum ostentantes illam angeli manifestationem, hilares puellæ unguentariæ reversæ sunt, et ea quæ viderant, apostolis retulerunt. Dein, facto silentio, ambo chori in fide orabant aientes : « Domine, cito manifesta resurrectionem, « et dissipentur inimici tui omnes, retro « prostrati. Adam autem et Eva nobiscum « exultent, simul et omnium agmina justo-

6. λέγων. Inde duos versus librarius pervertit, citius in transitu ab folio ad aliud raptus in verba Pauli : I Cor. XV, 54 : ἔγερσιν τῆς τοῦ Κυρίου σταυρώσεως, λέγων · κατεπόθη διὰ νίκης ὁ θάν. Plura frigide adjecta si omittantur, cætera aptissime supplentur ex Apostolo et Is. XXV, 8. Neque obstat emphatica repetitio proxima.

7. ἤλθωσαν C. ἐκεὶ ἐκβοῶσαν C.

8. ἅπερ ἴδωσαν C. Semel et iterum incidimus, ut toties alibi, in quædam alexandrina glossemata, quæ melodi primum hauserunt ex LXX ; sic ἤλθοσαν in Ex. IV, 27 ; ps. XLVII, 5. Deinde maximopere notandum, uti jam diximus, Alexandriam esse primam tropariorum patriam, nec mirum multa inde oriunda ad melodos etiam tersos et optimos migravisse. Quibus mendis detersis, si

καὶ ἀγγέλων, * ὧν ταῖς εὐχαῖς, φιλάνθρωπε, *
καὶ νῦν ἡμᾶς λύτρωσαι * παθὼν, ἵνα ἴδωμεν, *
Χριστὲ, τὴν ἀνάστασιν.

« rum et angelorum, quorum precibus, o « hominum amator, nos quoque postquam « passus es, libera, ut videamus, o Christe, « resurrectionem. »

menda sunt, et omnibus æquo animo consideratis, carmini nostro quum non desit lyricus æstus, nec theologica sententia, neque verborum lepor aut venustas, nihil obstat quin magno illi Romano ascribatur. Sane ad ætatem pertinet, in qua adhuc tragica fervebant.

II.

α'. Τὴν ἄβυσσον ὁ κλείσας
νεκρὸς ὁρᾶται,
καὶ σμύρνῃ καὶ σινδόνι
ἐνειλημένος,
ἐν τῷ μνημείῳ κατατίθεται
ὡς θνητὸς ὁ ἀθάνατος·
γυναῖκες δὲ αὐτὸν
ἦλθον μυρίσαι, κλαίουσαι
πικρὸν, καὶ ἐκβοῶσαι·
Τοῦτο σάββατόν ἐστι
τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας
ἀναστήσεται τριήμερος.

β'. Ὁ συνέχων τὰ πάντα
ἐπὶ σταυροῦ ἀνυψώθη·
καὶ θρηνεῖ πᾶσα ἡ κτίσις
τοῦτον βλέπουσα κρεμάμενον
γυμνὸν ἐπὶ τοῦ ξύλου·
ὁ ἥλιος τὰς ἀκτῖνας
ἀπέκρυψε, καὶ τὸ φέγγος
οἱ ἀστέρες ἀπεβάλοντο·
ἡ γῆ δὲ σὺν πολλῷ
τῷ φόβῳ συνεκλόνηται·
ἡ δὲ θάλαττα ἔφυγε,
καὶ αἱ πέτραι διεῤῥάγησαν·
μνημεῖα δὲ πολλὰ
ἀνεῴχθησαν, καὶ σώματα
ἠγέρθησαν ἁγίων ἀνδρῶν·
ᾅδης κάτω δὲ στενάζει,
καὶ Ἰουδαῖοι σκέπτονται
συκοφαντῆσαι Χριστοῦ τὴν ἀνάστασιν·
τὰ δὲ γύναια κράζουσι·
Τοῦτο Σάββατόν ἐστι
τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας
ἀναστήσεται τριήμερος.

1. Qui claudit abyssum, mortuus cernitur, et myrrha ac linteo involutus, in monumento deponitur ut mortalis mori nescius. Mulieres vero ibant ut ungerent eum, flentes acerbe, et clamantes : « Hoc sabba« tum est superbenedictum, in quo Christus, « somnum excutiens, tertia die resurget. »

2. Qui omnia continet, in cruce exaltatus est. Et luget omnis creatura, eum videns suspensum, nudum in ligno. Sol radios abscondidit, et fulgorem stellæ dimiserunt. Terra autem multo cum terrore concutitur. Mare aufugit, et saxa dissiluere. Plurima etiam monumenta aperta sunt, et corpora sanctorum virorum erecta sunt. Orcus subtus plangit, et Judæi considerant, ut falsum esse dicant Christum surrexisse. Mulieres vero clamant : Hoc sabbatum...

II. Alterumne erit Romani canticum in eodem sabbato, cui superiorem psalmum videtur consecrasse? Digna interim sunt, quamvis male vexata, quæ usque serventur, ob rarum et splendidum modulum, semel hactenus repertum in amplissimo de tribus pueris poemate, sine controversia eidem ascribendo. Quod hic novum est, præstitit cod. taurin. f. 176.

1. Ibid. πρὸς τό· Χειρόγραφον. Cf. p. 185, ubi v. 6 habet novem syll. et alia ob ephymnia variantur. Triodia edd. hoc et sequens tr. habent.

2. Ibid. πρὸς τό· Τάχυνον. Variantur 4 vers. a 9

γʹ. Ἄνω τῶν ἀσωμάτων
ἐξέστησαν αἱ δυνάμεις
ὁρῶσαι τὸν βασιλέα
ἀφυπνώσαντα, ὡς ἄνθρωπον·
κάτω δὲ στρατιώτης
πλευρὰν τὴν τοῦ ζωοδότου
ἐκέντησε, καὶ ἐξῆλθεν
αἷμα καὶ ὕδωρ, ὡς γέγραπται,
δύο πηγὰς μυστικῶς
ἀναβλύσας ὁ φιλάνθρωπος,
ἐν αἷς ἀποπλύνωμεν
τὰ ψυχικὰ ἡμῶν μολύσματα,
καὶ καθαροὶ αὐτῷ
μετὰ πίστεως προσέλθωμεν
σὺν Ἰωσὴφ καὶ Νικοδήμῳ
τοῖς ὁσίοις, καὶ τοῦ ξύλου
καθέλωμεν, καὶ θάψωμεν
τὸν ἐν θρόνῳ καὶ ἐν τάφῳ ὑπάρξοντα,
καὶ βοήσωμεν σήμερον·
Τοῦτο σάββατόν ἐστι
τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας
ἀναστήσεται τριήμερος.

3. Obstupuere sursum spirituum potestates, dum vident regem somno deditum, ut hominem. Infra vero miles latus auctoris vitæ cuspide tetigit, et exiit sanguis et aqua, ut scriptum est, dum salvator clemens mystice scaturire facit duos fontes, in quibus abluimur animarum maculis, ut mundi apud eum fideliter accedamus cum justis Josepho et Nicodemo, et a ligno amoveamus et sepeliamus eum qui in throno simul et tumulo erit, et clamemus hodie: Hoc sabbatum est præ omnibus benedictum, in quo Christus somnum excutiens tertia die resurget.

ad 14, quorum divisio ambigua est. Rhythmus suadet θρηνεῖτε, et infra πᾶσα ἡ γῆ. — συνεκλόνειτο T. — διεῤῥήγοντο T. — Post κάτω add. δὲ ex trop. sequenti.

3. Mel. pro rhythmo αἷμα ὕδωρ τε. — ἀναβλ. ὁ φιλάνθρωπος, quo læditur rhythmus et syntaxis, nisi nominat. sit absolute. — ὑπάρχοντα T. — Iterum tonus requirit cum metro τὸν καὶ ἐν θρόνῳ καὶ τάφῳ. — Ubique nec sine acumine debet ἀφυπνώσας intelligi « somno mortis datus », ita ut simul somni finis menti subeat. — Post trop. 3, in codice T quædam continuo leguntur, alius tamen argumenti, ex quadam eucharistica melodia : Σιγησάτω πᾶσα σάρξ, καὶ μηδὲν γήϊνον ἐννοείτω. Ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων ἔρχεται τοῦ σφαγισθῆναι, καὶ δοῦναι (l. δοῦναι ἑαυτὸν vel δοθῆναι) τοῖς πιστοῖς ἐν (f. εἰς) βρῶσιν... Nec plura.

XVII.

FERIA IV, IN MEDIA PENTECOSTE.

αʹ. Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης,* ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης,* πρὸς

1. In media legali celebritate, o creator ac dominator omnium, tibi astantibus dice-

XVII. Grandior cæteris, quicumque sit is melodus; haud enim hic sunt lenta et prolixa Josephi epicheremata; nec Theodori inaudita fulgura; neque etiam Romani lusus et acumina. Profundus tamen est noster, grandiloquus, vere Dircæus, quidni ergo magnus Elias? qui domestica habitat, quando Judæos montes, fontes, puteos digito monstrat, contribulemque Samaritanam graphice depingit. Ne de amissis iterum doleam, bene est quod præter editos, præsto habemus duos classicos libros, taurin. f. 184 et corsin. f. 113, inscriptos : Κονδάκιον εἰς τὴν μεσοπεντηκοστήν.

1. Ibid. πρὸς τό· Ὁ ὑψωθείς, cf. p. 77 et 507. Hirmum alias Hierosolymitano melodo ascriptum fuisse ne memorem, addere lubet eo magis Syro modulum arridere potuisse, quod ex triplici metro Balæi, Ephræmi et Jacobi Sarugensis totus

τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· * Δεῦτε καὶ ἀρύσασθε * ὕδωρ ἀθανασίας. * Ὅθεν σοι προσπίπτομεν, * καὶ πιστῶς ἐκβοῶμεν· * Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· * σὺ γὰρ ὑπάρχεις * πηγὴ τῆς ζωῆς ἡμῶν.

β'. Τὴν χερσωθεῖσάν μου ψυχὴν * πταισμάτων ἀνομβρίαις * ῥοαῖς τῶν σῶν αἱμάτων * κατάρδευσον, καὶ δεῖξον * καρποφοροῦσαν ἀρεταῖς· * σὺ γὰρ ἔφης πᾶσι * τοῦ προσέρχεσθαι πρὸς σὲ, * Λόγε Θεοῦ πανάγιε, * καὶ ὕδωρ ἀφθαρσίας ἀρύεσθαι, * ζῶν τε καὶ καθαῖρον * ἁμαρτίας τῶν ὑμνούντων * τὴν ἔνδοξον * καὶ θείαν σου ἔγερσιν· * παρέχων, ἀγαθὲ, * τὴν ἀπὸ τοῦ ὕψους * ἐνεχθεῖσαν ἀληθῶς * τοῖς μαθηταῖς σου * Πνεύματος ἰσχὺν, * τοῖς σε Θεὸν γινώσκουσι· * σὺ γὰρ ὑπάρχεις * πηγὴ τῆς ζωῆς ἡμῶν.

γ'. Ὁ τῷ Μωσεῖ ἐμφανισθεὶς * ἐν ὄρει τῷ Σιναίῳ, * καὶ πλάκας τὰς τοῦ νόμου * αὐτῷ διατυπώσας, * ὡς βεβηλῶν τὰ σάββατα * ὑπὸ Ἰουδαίων * ἀνακρίνεται νυνὶ, * καὶ φέρει ὁ φιλάνθρωπος * εὐεργετῶν, ἰώμενος ἅπαντας * τοὺς νενοσηκότας * ἀνιάτως καὶ τὸν νῶτον * πεπληγμένους * οἴνῳ ἁμαρτίας, * ἐκχέων ἐπ' αὐτοὺς * τὸ αἷμα καὶ ὕδωρ, * τὸ χυθὲν ἐκ τῆς αὐτοῦ * ζωοπαρόχου * πλευρᾶς, καὶ διδοὺς * εἰς λύτρωσιν πιστευόντων· * ὅτι ὑπάρχεις * πηγὴ τῆς ζωῆς ἡμῶν.

δ'. Ὕδωρ αἰθέριον χερσὶ, * καρδίας ὁ κατέχων * ἀβύσσους χαλινῶν τε, * Πατρὸς

bas, o Christe Deus: « Venite, et haurite « aquam immortalitatis. » Unde coram te procumbimus, et confidenter exclamamus: « Misericordias tuas da nobis, tu namque « es fons vitæ nostræ. »

2. Devastatam siccitate peccatorum animam meam irriga fluminibus sanguinis tui, eamque fac virtutum fructibus fecundam. Etenim tu omnibus jussisti, o Verbum Dei sanctissimum, accedere ad te et haurire aquam æternitatis, viventem et abluentem peccamina eorum, qui tuam celebrant gloriosam divinamque resurrectionem, o bone, qui discipulis tuis præstas Spiritus virtutem, quæ enimvero a superis processit, si te Deum cognoverint. Tu enim es fons vitæ nostræ.

3. Qui se Moysi in monte Sinaï ostendit, et legis tabulas ipsi dandas insculpsit, ille ac si violaverit sabbata, a Judæis pœna plectitur; et sustinet hominum amator, sanans omnes desperatis in morbis ægrotantes, dorsoque onustos vino iniquitatis, effundens super illos sanguinem et aquam, quæ fluxerunt ex vivifico latere suo et largiens ea in veniam peccatorum credentibus: tu enim es fons vitæ nostræ.

4. Qui æthereas undas manibus continet, cordisque abyssos freno premit, æterni pa-

conflatur, qua de re alibi fusius. Ad amussim typus refertur, sine ulla corsinii et editoris varietate. Taurin. omisit.

2. πρὸς τό· Τῇ Γαλιλαίᾳ. Ob eadem is quoque arduus et nobilis modulus Hierosolymitano placuit. — ἀνομίαις C. ἀνομβρίαις cum Pentecost. rom. — σῶν ναμάτων taurin. qui insueta solet sollicitare et temperare. — καρποφόρον ven. rupto metro. — καρποφορίαις ἀρετῶν C. Sequimur, T et rom. — ἀρύσασθαι C. — ζῶντι T. — σου post θείαν pro metro abundat, vix serie non requiritur. — σου Πνεῦμα τὸ εὐθὲς sic C, et alibi idem scribit εὐθές iterum.

3. τὸ σάββατον T. — ἀνακρ. ποινῇ C. — καὶ ἴωμεν. T, f. cum elisione. — πεπληγμένους ὑπὸ τῆς ἁμ. Sic T sicco pede vadum transilit, sed ὑπὸ supra et infra fastidiose recurret. — οἴνῳ τῆς ἁμαρτίας C, ubi aliquid abundat. Prophetica videtur metaphora, nisi malueris φόρτῳ vel cum v. docto ὄγκῳ pro οἴνῳ. — τὸ om. T ante αἷμα. — πλ. καὶ θείας T, nec male, omisso διδούς. — τῶν πιστ. C, T. — αὐτὸς γὰρ ὑπ. C, emend. T.

4. καρδίας ὁ κατέχων ἀβύσσους egregie respicit Judith. VIII, 14, et recte si χαλινοῦντα emendaveris ut nos cum T, qui tamen levi penna tollit καρδίας et rotunde legit χερσὶν ἰδίαις. — ὑπὸ pro παρὰ melodi abutuntur. — ὕδωρ ἐπεζήτει C. — τῇ addimus ante αὐτῇ. Cf. Joan. IV per totum. — καὶ κύριον

ἀνάρχου Λόγος * ὑπὸ γυναίου πενιχροῦ * ὕδωρ ἐξαιτεῖται, * καὶ δωρεῖται τῇ αὐτῇ * τὸ ὕδωρ τῆς ἀφέσεως, * ὃν γὰρ τὸ πρὶν ὡς ἄνθρωπον ἔϐλεπεν, * ὕστερον κηρύττει * βασιλέα καὶ προγνώστην, * Θεὸν ὁμοῦ * καὶ ἄνθρωπον τοῦτον. * Αὐτὴν οὖν καὶ ἡμεῖς * μιμησάμενοι νῦν * ἀποστῶμεν τῶν κακῶν, * καὶ μετανοίας * ὕδωρ τὸν Χριστὸν * αἰτοῦντες ἀκαταπαύστως, * ὅτι ὑπάρχει * πηγὴ τῆς ζωῆς ἡμῶν.

tris Verbum ab egena muliere aquam quærebat, et eidem donat lympham misericordiæ : quem enim prius uti hominem cernebat, hunc postea proclamat regem et futuri peritum, Deum simul et hominem eumdem. Hanc ergo nos quoque nunc imitantes, abstineamus a noxiis, et aquam pœnitentiæ a Christo exoremus perpetua instantia, ipse enim est fons vitæ nostræ.

τούτων T, fortasse respectu ad Joan. XX, 28; quo quidem sensu perpetuo sonat ephymnium Thomæ in Romani Cant. XVIII. — νῦν addimus, pro quo πίστει T, sed rupto metro. — αἰτοῦντες cum T. — αἰτήσωμεν C. — σὺ γὰρ ὑπάρχεις C. — ὕδωρ τῷ Χριστῷ T, sed nimis anxie cum αἰτέω regat duos accus. — Rei symbolicæ, quam ubertim melodi nostri serunt, aliquid metendum defuisset, nisi Samaritanæ mulieris typus hic non esset exquisite et eleganter expositus.

XVIII.

DE SANCTIS PATRIBUS NICÆNIS.

α'. Τῶν ἀποστόλων τὸ κήρυγμα
καὶ τῶν πατέρων τὰ δόγματα
τῆς ἐκκλησίας
μίαν τὴν πίστιν ἐσφράγισεν,
ἣ καὶ χιτῶνα φέρουσα
τῆς ἀληθείας,
τὸν ὑφαντὸν ἐκ τῆς ἄνω
θεολογίας,
ὀρθοτομεῖ καὶ δοξάζει
τῆς εὐσεβείας

1. Apostolorum præconium et patrum dogmata unam sigillarunt fidem Ecclesiæ, quæ et tunicam gerens veritatis, contextam e supera Dei doctrina, recte dispensat, ce-

XVIII. Paschalem hirmum insonuisse iterum satis est, ut vel nomine tacito, operis magister et parens Romanus salutetur. Unde scribere non dubitavit peritus vir, statim ut hæc legerit primum : « Præstantissimum hoc canticum, etsi nomine Romani non circumferatur, egregio melodo ascribendum esse, conclamant omnia a vertice ad talos, orationis urbanitas, gravitas sententiarum, rhythmi lepos ac suavitas, et illud nescio quid ingenii specimen, quo, nemini imitandus, a melodorum populo Romanus facile discernitur. » Hæc ille. Opus in corsinio f. 117 inscribitur: Κυριακῇ πρὸ τῆς Πεντηκοστῆς, κονδάκιον τῶν ἁγίων πατέρων ἦχ. πλδ', φέρον ἀκροστιχίδα· Εἰς ἁγίους. Fausta sorte accidit, ut præter duo troparia in editis asservata, septemque in corsinio satis integra, alia duo, ideoque novem amplissima in taurinensi f. 192, extarent sub brevi et insigni epigraphe: Κονδάκιον τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. Qua confirmatur vetus Ecclesiæ græcæ mos in dominica ante Pentecostem Patres Nicænos celebrandi, quibus hunc hymnum a Romano fuisse dedicatum, merito existimandum est.

1. Jam duo præfixa sunt hirmo paschali prooemia, p. 124, a quibus hoc tertium haud sine singulari varietate differt. Ampliores enim versus quater dividuntur pentasyllabis ὁμοιοτελεύτοις ac simillimis; tum maxime si legere fas esset in versiculo 8 τῆς θεολογίας. — Habent quidem codd. v. 3 ἡ ἐκκλησία, cui errori locum dedit proximum verbum, editi vero τῇ ἐκκλησίᾳ, sed magis placent similia a melodo affectata. — πίστιν ἐκράτυνεν edd. ven. ἐκράτυναν rom. — καὶ τὸν χιτῶνα C, T. ἣ καὶ χιτ. φοροῦσα edd. — ὀρθοτομεῖ ex II Timoth. II, 15.

τὸ μέγα μυστήριον.
β'. Ἐν ὑψηλῷ κηρύγματι
τῆς τοῦ Θεοῦ ἐκκλησίας
ἀκούσωμεν βοώσης·
Ὁ διψῶν ἐρχέσθω πρός με·
ὁ κρατὴρ ὃν φέρω,
κρατήρ ἐστι τῆς σοφίας·
τοῦτο τὸ πόμα
ἀληθείας
λόγῳ κεκέρακα·
ὕδωρ οὐ προχέων
ἀντιλογίας,
ἀλλ' ὁμολογίας·
οὗ πίνων ὁ νῦν Ἰσραὴλ
Θεὸν ὁρᾷ φθεγγόμενον·
Ἴδετε,
ἴδετε,
ὅτι ὁ ὢν εἰμι,
καὶ οὐκ ἠλλοίωμαι,
ἐγὼ πρῶτον Θεός,
ἐγὼ μετὰ ταῦτα,
καὶ πλὴν ἐμοῦ ἄλλος
οὐκ ἔστιν ὅλως·
ἐντεῦθεν ἐμοῦ
μετέχοντες,
πλησθήσονται,
[καὶ τρυφήσουσι]
καὶ αἰνέσουσι
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.
γ'. Ἱεριχὼ καὶ Σιλωὰμ
καὶ τοῦ Σαλὴμ τῶν πλησίον
μετὰ πολλῶν ὑδάτων·
αἰσθητῶς ῥευστῶν ἀκούω,
φανερὰ δὲ τούτων
καὶ ἄγονα διαμένει,
ἕως ὁ μέγας
Ἐλισσαῖος
ταῦτα ἰάσατο,
ἅλατι προσμίξας
τὴν εὐλογίαν,
πνεύματι πηγάσας
ζωογονίαν ἐν αὐτοῖς·
ἐνταῦθα δὲ τὰ μείζονα
ἔχεεν
ὕδατα
ἡ ἐκκλησία,
ἐκπορευόμενα

lebratque magnum religionis mysterium.

2. Sublimi e loco prædicantem Ecclesiam Dei audiamus, et clamantem: « Qui sitit, « veniat ad me: quem fero calicem, sa« pientiæ calix est; hunc potum veritatis « verbo miscui, neque effundit aquam con« tradictionis, sed concordiæ; in quo dum « novus Israel bibit, Deum cernit sic lo« quentem: « Videte, videte, sum ego qui « sum, neque mutor. Deus primum ego, et « ego post hæc Deus, et præter me alius « prorsus non est. Mecum qui communicant, « implebuntur, et delectabuntur, et canta« bunt magnum religionis mysterium. »

3. In Jericho et Siloe et juxta Salem fontem esse audio et undarum copias, quæ fluere sentiuntur; sed quæ ex illis famosæ sunt, steriles quoque permanent donec eas

2. Hirmus τὸν πρὸ ἡλίου, p. 125, quamvis nullo codd. aut edd. signo notetur, per se patet, emergitque integerrimus. — ὁ διψῶν. Cf. Prov. IX, 4; Jo. VII, 37. — πρός με om. edd. — ἐστι σοφίας C. — τούτου edd. — προχέον T. — ἀντιλογίας. Num. XX, 13. — εἴδετε ter C. — ἧς edd. — Cum versus 13 sit pentasyll. et exeat in paroxytonum, elisio oportet intercedat, sive ut nos legas, fere juxta Exod. III, 14: ἐγὼ εἰμὶ ὁ ὢν; sive cum viro docto ὁ αὐτὸς μένω, ex qua dictione ultima facile oritur ἐγώ, sive demum sequaris codd. aut ὅτι αὐτὸς ἐγὼ C, T. αὐτὸς ἐγὼ εἰμὶ καὶ edd. — Θεὸς πρῶτος C, T, edd. — καὶ μετὰ ταῦτα edd. — Θεὸς οὐκ ἔστιν C, T. — ἐντεῦθεν οἱ μετέχοντες C, T, edd. Adde vulneribus totum v. 26 ubique expunctum. De luxato loco præter Exod. cf. Deuteron. III, 24; IV, 35, 39; XXXII, 39; Is. XLIII, 18, 22, etc.

3. τὰ πλησίον C, T. — αἰσθητῶν T. — ἀκούων C, T. — f. φθαρτικὰ δὲ, juxta IV Reg. II, 20, 22. — τὴν ζωογ. C, T. — τοῦτο. Cf. Ps. LXXIV, 9. — ἔχει γὰρ C, T, quibus in frigida parenthesi quum hæreat dithyrambus, solvatur et fluat sive cum ἔχεεν, sive

καὶ ἐξαλλόμενα
ἐκ τούτου εἰς τοῦτο,
ἀῤῥεύστως, ἀῤῥήτως,
ζωογονοῦντα,
θεοποιοῦντα,
οὐδέποτε
ἐκλείποντα,
ἑκάστοτε
διαυγάζοντα
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.

δʹ. Σύμβολα ταῦτα νοητὰ
θεῖον κατέχουσα μνῆστρον,
ἡ νύμφη τοῦ Κυρίου
ὡραΐζεται ποικίλως·
τῶν δὲ ῥείθρων τούτων
πηγή, τὸ ἅγιον Πνεῦμα·
κρουνοὺς δὲ νόει,
ὀχετούς, εἰ
βούλει, καὶ αὔλακας·
πρῶτον ἀποστόλους,
εἶτα προφήτας,
τρίτον διδασκάλους,
οἷς πρόσθες καὶ γένη γλωσσῶν,
ὡς Παῦλος συνηρίθμησε·
τούτους δὲ
ἔθετο
ἐν ἐκκλησίᾳ
καθάπερ αὔλακας,
ὁ πολυέλεος
τοῦ κόσμου γηοῦχος,
ἐντεῦθεν ἀρδεύων
τὸν πάντα γῦρον
τῆς οἰκουμένης,
ἐκχέων δὲ
τοῦ Πνεύματος
ἐφ' ἅπαντας,
οὓς ἐφώτισε
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.

εʹ. Ἄνωθεν οὖν παρὰ Θεοῦ
καὶ τῶν αὐτοῦ δεξαμένη,
κρατεῖ τὰς παραδόσεις
ἡ ἁγία ἐκκλησία,
ἡ ἀπὸ περάτων
καὶ ἕως πάλιν περάτων,

magnus ille Elysæus sanaverit, sale mixto cum benedictione, in spiritu scaturire faciens vitæ fecunditatem. Verum illic Ecclesia majora effudit fluenta, quæ procedunt, quæ exiliunt ex hoc in hoc, sine amne, sine sensu; quæ vivos gignunt, quæ Deos faciunt; quæ nunquam deficiunt, et quotidie collustrant magnum religionis mysterium.

4. Hæc symbola mystica assumens sibi in divinum arrhabonem, sponsa Domini venustate varia renidet, at horum fluminum fons sacer Spiritus sanctus est. Scire visne? nosce scaturigines, alveos et canales: primum apostolos, dein prophetas, tertio loco magistros; quibus adde genera linguarum, ut Paulus connumeravit. Hos vero in Ecclesia veluti sulcos et rivulos posuit clementissimus mundi rector, per illos irrigans totum orbis ambitum, Spiritum effundens in omnes, quibus illucescere jubet magnum religionis mysterium.

5. Quas ergo sursum accepit a Deo Deique viris tenet traditiones sancta Ecclesia, quæ

cum ἔχευεν a v. χέω aor. ἔχεα poet. ἔχευα, sublato obice importuno γὰρ, nullius argumenti. — ἑκάστοτε δὲ T. Hæc adde tot aliis quibus baptismum Romanus cecinit, collatum in his Pentecostæ diebus.

4. Vide quam argute tria ex fonte Spiritus sancti deriventur in triplex gratiæ incrementum: κρουνοὶ *scatebræ* apostolorum, ὀχετοὶ *alvei* prophetarum, αὔλακες *sulci*, *canales* discipulorum. — εἰ βούλει Romanum sapit, neque in clausula εἰ offendit ob suspensam parenthesin. — Παῦλος. Corinth. XII, 10, 23. — δὲ post τούτους codd. om. — τὸ πεντάγυρον C liquido, nova orbis partitione, a scribis excogitata. — ἐκχέων ἐκ τ. πν. C, T. — ἐφάπτων C, quem T emend. utinam et alia! — Nota ἐφώτισε cum dupl. accus. ut διδάσκειν. Etenim Hesychius: ἐφώτισεν, ἐδίδαξεν.

5. Τότε τῷ Πέτρῳ λέξαντος τοῦ λόγου T. Matth. XVI,

μία καὶ μόνη
στηριχθεῖσα
καὶ βασιλεύουσα·
λόγῳ γὰρ ἡδράσθη
τότε τοῦ Λόγου
λέξαντος τῷ Πέτρῳ·
Ὦ Σίμων, μακάριος εἶ,
Υἱὸν Θεοῦ γνωρίσας με·
τοῦτό σοι
τοῦ Πατρὸς
ἄνωθεν μόνου
ἀποκαλύψαντος·
κἀγὼ δὲ λέγω σοι,
ὅτι σὺ εἶ Πέτρος,
καὶ ταύτῃ τῇ πέτρᾳ
θεμελιῶ μου
τὴν ἐκκλησίαν·
ἥνπερ πύλαι
ὑποχθόνιοι
οὐ τρέψουσιν,
οὐδὲ βλάψουσιν
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.
ϛ'. Γέγονε νόμος τὸ ῥητὸν,
σφραγὶς δὲ ὤφθη ἡ λέξις,
καὶ ἄσειστος ἡ πέτρα
διαμένει εἰς αἰῶνας·
ποταμοὶ προσῆλθον,
καὶ χείμαῤῥοι ἀνομίας·
καὶ ὡσεὶ ὕδωρ,
ἐξεχύθη
πᾶσα ἰσχὺς αὐτῶν·
ὅσον γὰρ ἡ πίστις
ἐκπολεμεῖται,
μᾶλλον οὖν ἰσχύει,
ἀθλοῦσα νομίμως ἀεὶ,
καὶ τρόπαια ἐγείρουσα.
Ποῦ εἰσὶν
οἵ ποτε
ταύτην τὴν μάνδραν
διαθρυλλήσαντες,
ἀλλ' οὐ συλήσαντες;
οἱ πνέοντες φόνου,
οἱ γέμοντες δόλου,
οἱ ἀκονῶντες
Θεῷ τὴν γλῶτταν;
οὐχ' ἅπαντας
ὁ ὕψιστος
ἐλίκμησε;
καὶ ἐνίκησε

a finibus inde ad fines una et sola firmata est et imperat. Verbo enim stabilita est Verbi ad Petrum dicentis: « O Simon, beatus es, « qui Filium Dei agnovisti me : quod tibi « Pater solus e cœlo revelavit. Et ego dico « tibi : Tu es Petrus, et super hanc petram « fundamentum pono Ecclesiæ meæ, quam « portæ inferi non subvertent, neque offen- « dent magnum religionis mysterium. »

6. Quod verbum lex factum est, sigilloque notata dictio est; atque immobilis Petra in sæcula permanet. Flumina venerunt, improbitatis torrentes; et sicut aqua effusus est omnis eorum impetus. Quo enim fides magis expugnatur, eo ergo amplius invalet, quæ legitime decertat semper, refertque tropæa. Ubi sunt qui unquam hoc ovile tumultu agitarunt, dissiparunt vero minime?

17. Mirum quam sæpe et feliciter, duce Romano, melodi exultent et exspatientur in hæc verba sacra. Cf. infra XXV, 9. — σίμον C, ὦ om. T. — καὶ ἐπὶ C, om. T præpos. ut supra λόγῳ pro ἐπὶ λόγῳ in utroque cod. — ἦν πύλαι C, T. Duo versiculi sqq. sibi invicem supplent, ut in formulis sacris fit frequentius.

6. πέτρα. Matth. VII, 25, et iterum mirare in his exornandis Romani dexteritatem, semper theologicam et splendidam. — ὡς ὕδωρ C. — ἡ ἰσχὺς C, T. — μᾶλλον κατισχύει T. — ἀεὶ om. C. μάνδραν διασυλήσαντες C, om. v. sequenti. — φόνου sic C, T, ut alias Roman. ex Act. IX, 1. — γλῶτταν. Ps. CXXXIX, 4. — οὐχ' ἅπαντας more byzantinorum qui οὐχὶ cum elisione scribere solent: οὐχ' ὅλως, οὐχ' εὕρηται. — ἐλίκμησε, ut supra Theodor. V, 7, ἀπελίκμησε, præeunte Daniele, II, 44: λεπτυνεῖ καὶ λικμήσει, nec similia frequentant.

τῆς εὐσεβείας
τὸ μέγα μυστήριον;
ζʹ. Ἴστε γὰρ ὅσα κατ' αὐτῆς
Ἄρειος καὶ οἱ Ἀρείου
ἐμάνησαν πολλάκις,
ὥσπερ κύνες ὑλακτοῦντες·
Ναὶ οὐκ ἦν, εἰπόντες,
πρὶν γεννηθῆναι, ὁ Λόγος,
κτίσμα καλοῦντες,
τὸν δι' οὗ
τὰ πάντα ἐγένετο,
τὸν πρὸ ἑωσφόρου
γεγεννημένον,
τὸν ἐκ τοῦ μὴ ὄντος
λόγῳ καλέσαντα τὸ φῶς
καὶ πλάσαντα τὸν ἄνθρωπον.
Ἵλεως,
ἵλεως,
ἵλεως πᾶσι,
Πατρὶ συνάναρχε,
καὶ ὁμοούσιε!
ἐτόλμησαν ταῦτα,
ἀλλ' ὤφθησαν τέφρα,
ἐσκοτισμένοι
παρὰ τὸν ᾅδην·
ἐκεῖνοι
διεσχίσθησαν·
ὑπάρχει δὲ
ἀδιαίρετον
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.
ηʹ. Οὕτω μὲν οὖν τὸν ἀσεβῆ
σὺν τοῖς αὐτοῦ δυσφημοῦσιν
ἡ ἄνω θεία δίκη
διεχρήσατο ταχέως·
καὶ οὐκ ἠξιώθη
ἰδεῖν τὴν δόξαν Κυρίου,
οὐ γὰρ συνῆκεν,
ἀλλ' ἐν σκότει
διαπορεύεται,
ἅμα Σαβελλίῳ
τῷ κατακρίτῳ·
δύο γὰρ ἀλλήλοις
ταῦτα ἐναντία κακὰ,
τῇ πλάνῃ δὲ ὁμότιμα·
οὗτος γὰρ
πρόσωπον
ἐν τῇ Τριάδι

qui cædem spirantes, turgidi fraude, acuebant linguam in Deum? Nonne omnes Altissimus conquassavit? Nonne vicit magnum religionis mysterium?

7. Scitis sane quantum Arius et Arii sequaces adversus eam debacchati sint; qui ut canes latrantes: « Profecto non erat, oggerebant, antequam oriretur, Verbum, » creaturam vocantes illum per quem omnia facta sunt; qui ante luciferum genitus est; qui ex nihilo lucem verbo vocavit, et fecit hominem. Misericors! misericors! misericors esto omnibus, o Patri coæterne et consubstantialis. Tanta ausi sunt, sed in cinerem evanuerunt, in tenebras acti infernales. Isti rupti fuerunt; verum subsistit indissolubile magnum religionis mysterium.

8. Ita ergo, inquam, impium ejusque blasphemiæ socios cœlitus ruens divina vindicta cito pessumdedit. Cum obedire noluerit, haud meruit videre gloriam Domini: sed in caliginem totus abiit, una cum Sabellio illo damnato, ambo enim utrique contraria sibi mala erant, sed errore gemina. Is quippe hypostasin unam in Trinitate sub triplici nomine aiebat ter ille

7. Solus T habet trop. 7, 8. Historica in primis, immo et theologica, seriores, dum texerent importuna compendia, citius expunxerunt. — καὶ οὐκ ἦν T, aptissime proclamatur anathema nicænum, symbolo et canonibus subjici solitum. Cf. *Juris eccl. Græc. hist. et monum.*, t. I, p. 437. — τὸν λόγον T, licita f. affinitate. — V. 8, 9 sibi supplent. — Ἵλεως, attica Romani vota, ut passim in XIII, ad omnia ephymnia. — ἐκεῖνοι διεσχίσθησαν iterum continet duos versus sibi vicem reddentes.

8. Theodorus de Paulo CP. canens I, 4-5, p. 337, hæc videtur sub oculis habuisse. — οὐ γ.

φησὶ τριώνυμον
ὁ τρὶς κατάρατος,
μηδὲν διαφέρων,
μηδὲν διαλλάττων
τῆς Ἰουδαίων
φρενοβλαβείας·
ἐκείνοις
ἠκολούθησεν
ὁ δείλαιος
καὶ ἠρνήσατο
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.
θ′. Υ... ι′. Σὺ δὲ ὁ ὕψιστος Θεὸς,
ὁ γεννηθεὶς ἐκ Παρθένου,
ὁ μόνος βασιλεύων
καὶ τῶν ἄνω καὶ τῶν κάτω,
ταῖς αὐτῆς πρεσβείαις
ἀεὶ παρέχων τὴν χάριν
ἐν τῷ ποιμένι,
τοῦ ἀκάκως
νέμειν τὰ πρόβατα,
ῥῦσαι τὸν λαόν σου
πάσης ἀνάγκης·
δὸς τοῖς βασιλεῦσι
νίκην καὶ εἰρήνην πολλήν·
ἐπὶ ταῖς δυναστείαις σου
λύτρωσαι,
δέσποτα,
τὰς ἐκκλησίας
ἃς προενόμευσαν
καὶ κατεπάτησαν
ἀκάθαρτοι πόδες
καὶ ἄνδρες αἱμάτων,
μὴ ἠλπικότες
εἰς ὄνομά σου·
τῶν δούλων σου
τὰ αἵματα
ἐκζήτησον,
καὶ ἐκδίκησον
τῆς εὐσεβείας
τὸ μέγα μυστήριον.

maledictus, nihil varians, mutans nihil e Judæorum deliramentis. Pone secutus est illos imbellis, et negavit magnum religionis mysterium.

9..... 10. Tu vero, Deus altissime, natus de Virgine, qui solus imperas superis rebus et inferis, qui matris ob suffragia, semper largiris gratiam in pastore, ut sine malitia pascat oves, eripe populum tuum ab omni angustia; da imperatoribus victoriam et pacem multam. Auxiliis tuis libera, o Domine, ecclesias, quas depopulantur et conculcant immundi pedes et sanguinei homines, qui nihil a nomine tuo sperant; servorum tuorum sanguinem require, et vindica magnum religionis mysterium.

συνῆκεν C, T « non intellexit, » minus apte. — ἐκείνους T. Mutila iterum hinc inde supplenda, vel jungenda, si mavis.

9. Hoc nullibi comparet, unicum vero videtur trop. interceptum.

10. Item duo codd. fere ubique conveniunt. — ταύτης ambo. — τῷ ἀκάκῳ T. τῷ ἀκάκως C. — πόδες. Athanasius alicubi lamentatur altaria esse spurcorum pedibus mulorum, id est, arianorum subversa et polluta. — τῷ ὀνόματί σου C, T. — f. ἐξαίτησον. Vix non alludit melodus Ismaelitis nominatim, quos si clarius appellasset, eaque Romani esse censerentur, de ambigua circa melodi tempus et ætatem controversia conclamatum esset. Sed Romani sub tempora, neque desunt duo imperatores, Justinus et Justinianus, neque gravia cum Persis et Arabibus certamina.

XIX.

IN SABBATO ANIMARUM.

ΘΡΗΝΟΣ.

α'. Ἐν κόλποις τοῦ Ἀβραὰμ,
ἐν χώρᾳ τῶν ἐκλεκτῶν,
καταξίωσον, Χριστὲ ὁ Θεὸς,
τοὺς μεταστάντας οἰκέτας σου
κατασκηνῶσαι, ὡς εὔσπλαγχνος,
προσδεχόμενος κραυγάζειν σοι·
Δεδοξασμένος εἶ ὁ προστάξας με
τὸν ἐκ γῆς εἰς γῆν πορεύεσθαι.
β'. Ἐν κόλποις τοῦ Ἀβραὰμ
κατάταξον, ἀγαθὲ,
τὴν ψυχὴν τοῦ δούλου σου,
Χριστὲ ὁ Θεὸς,
ὅπου λάμπει τὸ φῶς
καὶ ἡ δόξα ἀέννaος,
ἵνα χαίρουσα ψάλλῃ σοι·
Δεδοξασμένος εἶ ὁ προστάξας με
τὸν ἐκ γῆς εἰς γῆν πορεύεσθαι.
γ'. Θεὲ θεῶν καὶ Κύριε,
τρισάγιε, ἀΐδιε,
ἀπρόσιτε, ἄκτιστε,
ὡς μόνον ἀθάνατον
πεφυκότα σε
ὑμνῶ καὶ προσκυνῶ
πιστῶς σε ἐξιλούμενος

1. In sinu Abrahæ,
in regione electornm,
dignos habeto, Christe Deus,
famulos tuos inde migrantes,
ut requiescant, pro tua misericordia
concedens ut clament tibi :
« Gloria tibi, qui jussisti mihi,
« ut terrenus ego in terram vadam. »
2. In sinum Abrahæ
insere, o bone,
animam famuli tui,
o Christe Deus,
hic ubi lux micat
et gloria perennis,
ut læta tibi psallat :
« Gloria tibi, qui jussisti mihi
« ut terrenus ego in terram vadam. »
3. Deus deorum ac Domine,
ter sancte, æterne,
qui inaccessus et increatus es,
te ut solum immortalem
natura tua
cano et adoro,
tibi cum fide supplex,

XIX. Græcorum in defunctos pietas tres olim in anno dies consecravit, ad eluenda publicis precibus admissa fidelium manium ; primum, ut fit etiam nunc, sabbatum τῆς ἀπόκρεως, dein sabbatum τῆς τυροφάγου, jam nunc sanctis ascetis reservatum, denique sabbatum ante Pentecosten, proprie dictum Ψυχοσάββατον, cui ultimum e nostris funereum carmen annectere lubet. Horum poematum antiquitas, meo quidem judicio, minus colligenda est ab elegantia exquisita aut a solemni argumento, quam simplici, germana et perspicua dicendi copia, quæ potius vulgares animos quam delicata ingenia percellat. Inde fit ut hujusmodi θρῆνος, minus licet exquisitus, cæteris facile anterior æstimandus sit. Extat in corsin. f. 155, statim post μέλος ἐπιτύμβιον, supra editum, p. 466.

1. Ibid. πρὸς τό· Τῷ θρόνῳ. Cf. p. 61, neque omittas in hoc hirmo v. 5, 6 hactenus esse octosyllabos. — Ephymnion aliud non est quam *alleluia* apud Anastasium et Romanum, sed metaphrasi circumductum.

2. αὐτόμελον est trop. tertiumque prooemium sequenti hirmo præfixum. Neque alias vidi bis resumi prima cantici verba, quin hoc vetustatem oleat.

3. πρὸς τό· Ἐπειδὴ ᾄδην, cf. p. 61. — cod. semel σε habet, ut legat contra rhythmum πιστῶς ἐξιλούμ. — σοι om. ante μόνε C.

ἀνάπαυσαι τὸν δοῦλόν σου·
εἰσάκουσον οἰκτρᾶς
φωνῆς μου, καὶ τάξον
αὐτὸν ἐν κόλποις Ἀβραάμ,
τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει παραβλέπων
ταῦτα πραχθέντα
σοί, μόνε οἴκτιρμον·
ἠνόμησεν ὡς χοῦς
καὶ τέφρα καὶ κόνις·
ἀλλὰ ἄνες αὐτῷ
καὶ φεῖσαι, ὡς μόνος
ἔχων τῆς ἀφέσεως τὰς κλεῖς·
δεδοξασμένος εἶ ὁ προστάξας με
τὸν ἐκ γῆς εἰς γῆν πορεύεσθαι.

ut quiescere facias servum tuum;
exaudi miserabilem
vocem meam, et colloca
illum in sinu Abrahæ,
condonans quæ nesciens aut sciens
utcumque fecerit
in te, solus misericors.
Peccavit, ut lutum,
et pulvis et cinis;
sed parce illi
et dimitte, qui solus
habes veniæ claves.
Gloria tibi qui jussisti mihi
ut ego terrenus in terram abeam.

δ'. Ῥοπὴ ὁ βίος πέφυκε, * καὶ πάντως παρελεύσεται, * προφθάσει τὰ ἄληκτα. * Τί μάτην, ὦ ἄνθρωποι, * φρυαττόμεθα, * σποδὸς ὑπάρχοντες; * ἰδοὺ ὁ χθὲς ἐγκόσμιος * ἐγκλίνεται τῇ σήμερον· * τοὺς φύσαντας αὐτὸν * καὶ φίλους καὶ τέκνα * καὶ ἀδελφοὺς νῦν οὐχ ὁρᾷ· * οὐκ ἀτενίζει σκιώδεσι τοῖς ὧδε * καὶ πλανωμένοις· * ἐκείνοις ἐφορᾷ * τοῖς οὖσι μονίμοις· * τὴν μνήμην οὖν αὐτοῦ * ἀλγοῦντες, θρηνοῦντες, * δεῦτε, ἱκετεύσωμεν Χριστόν· * δεδοξασμένος.

ε'. Ἡ ἀπαρχὴ τοῦ πλάσματος, * Ἀδὰμ καὶ ἡ πλευρὰ αὐτοῦ * θανόντες ἀνέστησαν, * τῷ οἴκτῳ τοῦ πλάσματος * ἀναπλάσαντος * αὐτοὺς τοῦ πλαστουργοῦ * ἐκ πνεύματος καὶ πλάσεως· * σαρκωθεὶς, ὥσπερ γέγραπται, * ὁ πλάστης τοῦ Ἀδάμ, * Θεὸς ὢς, καὶ τούτου * μετῆρεν ἔκγονον νυνὶ, * ἀλλὰ ἀφθαρσίαν τοῦτον ἐνδύσας, * αὖ ἀναστήσει. * Θαρσῶμεν χοϊκοί· * ὁ ᾅδης, οὐχ ᾅδης· * ἐσκύλευται, Χριστοῦ * καταβάντος ἐν αὐτῷ διὰ σταυροῦ. * Δεδοξασμένος...

ς'. Νομὴν τὸν βίον ἔχοντες * ἐπίκαιρον, ἐπώδυνον, * ἀνύπαρκτον, ἄστατον, * βρο-

4. Momentum vita est, totaque pertransibit: æterna properabunt. Quid frustra, nos homines, gloria jactamur, cum pulvis simus? En qui heri in mundo florebat, hodie jacet in lecto. Parentes suos aut amicos filiosve et fratres nunc non videt, nihil ultra advertit de hisce nostris umbris et erroribus; hæc vero intuetur quæ sola permanent. Ejus ergo memoriam plangentes, dolentes, venite, Christum deprecaturi: Gloria tibi...

5. Primitiæ creationis, Adam et socia de latere, post mortem surrexere, per conditoris misericordiam, quam in figmentum suum exercuit figulus qui effinxit eos ex spiraculo et luto. Caro factus, ut scriptum est, Adami opifex utpote Deus, transtulit hodie ejus filium, eumque immortalitate cingens, surgere iterum faciet. Confidamus ergo, lutei licet; orcus jam non est orcus; spoliatus enim est, quando Christus in eum descendit per crucem. Gloria...

6. Vitam reputantes ut pascua temporanea, ærumnis referta, nihilo similia, stare

4. τὰ ἄληπτα προφθάσει δὲ C. — ἐγκλίνιος σήμ. C.

5. πλευρά. Cf. supra p. 121, ubi memoratur Nazianz. ad quem multa hic referre licet. — Ταυτοεπείᾳ simili alius melodus, et f. idem in VII, 5, gaudere videtur, et hæc cassa et vieta veterum Cethegorum sunt. Cf. Gen. II, 7. — Θεὸς ὃς καὶ C. — f. pro rhythmo: ἀλλ' ἀφθαρσίαν καὶ τοῦτόν ποτε ἐνδύσας. — αὖθις ἀν. C. — ἐσκ. γὰρ C. — γνώμη ἐν αὐτῷ C.

6. ἣν δώῃ sic C. — στέρξασι τοῦτον κ. ἀγ. αὐτόν C. — ἀφ' add. ante ἡμῶν ὑμῶν.

τοὶ, ἀνανήψωμεν, * καὶ τὴν μέλλουσαν * ποθήσωμεν νομὴν, * τὴν θείαν καὶ βασίλειον, * ὡς ἀΐδιον πέλουσαν· * ἣν δοίη ὁ σωτὴρ * τοῖς στέρξασι ταύτην * καὶ ἀγαπήσασιν αὐτήν· * τὰς ἐναντίας κολάσεις δεδοικότες, * πάντες πρὸ τέλους * θνηξώμεθα, λαοὶ, * φυλαί τε καὶ γλῶτται, * τὸ ἄχθος ἀφ' ἡμῶν * προσρίψαντες, δεῦτε, * πάντες μελῳδήσωμεν Χριστῷ· * Δεδοξασμένος...

ζ'. Ὁ τεθνεὼς βοᾷ, φησί· * Μηδόλως με προσκλαύσητε * οἱ μέλλοντες θνήξεσθαι· * ἐμὲ γὰρ ὁ πλάσας με * προσελάβετο, * ὡς πάντων πλαστουργός· * διὸ δυσωπήσατε * ἐκτενῶς δεόμενοι, * ἵνα με ἐν σκηναῖς * ἁγίων ἐντάξῃ * τὸν ἐν τῷ βίῳ τῷ φθαρτῷ * ἠνομηκότα νοΐ· πάντα νομίζων * νῦν μὴ ἐᾷ με * πολλαῖς ταῖς τῶν παθῶν * φοραῖς κεχωσμένον. * Διὸ νῦν καὶ ἡμεῖς * οἱ ζῶντες σὺν τούτῳ * πάντες ἐκβοήσωμεν Χριστῷ· * Δεδοξασμένος...

η'. Σὲ ποιητὴν καὶ Κύριον * τοῦ κόσμου νῦν ἐπίσταμαι * ὁ τάλας καὶ ἄθλιος· * διὸ ἱκετεύω σε * ὡς οἰκτίρμονα, * θαῤῥῶν ἐπὶ τῇ σῇ * εὐσπλάγχνῳ ἀγαθότητι, * ἀναπαῦσαι τὸν δοῦλόν σου, * καὶ τοῦτον σὺν ἡμῖν ἐντάξαι τῷ κλήρῳ * τῶν ἐκλεκτῶν καὶ ἐν σκηναῖς * ταῖς τῶν ἁγίων, πρεσβείαις τῆς ἀχράντου * θείας μητρός σου, * λυτρούμενος δεινῶν * πταισμάτων καὶ γεέννης, * ὡς μόνος ἀγαθὸς, * σὺν τῷ τεθνεῶτι * πάντας ἐκβοῶντάς σοι πιστῶς· * Δεδοξασμένος εἶ ὁ προστάξας με * τὸν ἐκ γῆς εἰς γῆν πορεύεσθαι.

nescia, mortales, resipiscamus, et futura optemus pascua, quæ regia ac divina sunt, utpote mansura semper; quæ utinam salvator det iis qui delectantur in eis et dilexerunt ea. Contrarias pœnas reformidantes, omnes nos ante finem moriamur, o populi, tribus et linguæ, omne pondus nostrum projicientes, adeste omnes, melodiam Christo dicamus: Gloria...

7. Defunctus clamat: « Nolite, inquit, « deflere me, vos morituri. Qui enim for« mavit me, suscepit me, ut omnium opi« fex; unde rogate, instanter supplicantes, « ut me in tabernaculis sanctorum statuat, « quamvis in hac corrupta vita mente pec« caverim. Qui omnia considerat, noluit me « multo passionum pondere amplius cu« mulari. » Nos ergo nunc qui vivimus, cum eo omnes clamemus Christo : Gloria...

8. Nunc scio te esse factorem Dominumque mundi, ego infelix et miser, supplex te precor, ut misericordem, confidens in benigna tua bonitate, ut quiescere facias servum tuum, eumque simul et nos cooptes in numerum electorum tuorum et tabernacula sanctorum, precibus immaculatæ Matris tuæ divinæ, eripiens a gravibus noxis et gehennas, utpote solus bonus, nos qui cum defuncto ad te clamamus in fide : Gloria tibi qui jussisti me uti terrenum in terram abire.

7. θνήξεσθαι, uti supra θνηξώμετα, alibi notantur. — βοᾷ φησὶ vetus tautologia. — ὁ πάντα νομίζων νῦν μὴ ἐῶν με C. — γεέννης in duas syll. contrahitur.

XX.
IN TRANSFIGURATIONEM.

α'. Ἐπὶ τοῦ ὄρους μετεμορφώθης,
καὶ ὡς ἐχώρουν οἱ μαθηταὶ,

1. In vertice montis forma mutatus es,
et quantum valuere discipuli,

XX. Incertus plane mihi est is melodus, quem ne conjectura quidem nominare, aut Romano dicere vel imparem vel recentiorem ausim. Extat opus in corsin. f. 137 et in taurin. f. 136, integrum in utroque, fere æque inscriptum : Μηνὶ Αὐγούστῳ ϛ' κονδάκιον τῆς ἁγίας μεταμορφώσεως, ἦχ. βαρύς, sub acrostichide εἰς τὴν μεταμόρφωσιν. Automelum videtur, ut a nullo alio pendeat, neque ulli exemplar extiterit.

1. Versiculi plures discernuntur ὁμοιοτελεύτοις.

τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς,
ἐθεάσαντο,
ἵνα ὅταν σε ἴδωσιν
σταυρούμενον,
τὸ μὲν πάθος γνωρίσωσιν
ἑκούσιον,
τῷ δὲ κόσμῳ κηρύξωσιν,
ὅτι σὺ ὑπάρχεις ἀληθῶς
τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

β'. Ἐγέρθητε οἱ νωθεῖς,
μὴ πάντοτε χαμερπεῖς,
οἱ συγκάμπτοντες εἰς γῆν
τὴν ψυχήν μου, λογισμοί·
ἐπάρθητε, καὶ ἄρθητε
εἰς ὕψος θείας ἀναβάσεως·
προσδράμωμεν Πέτρῳ
καὶ τοῖς Ζεβεδαίου,
καὶ ἅμα ἐκείνοις
τὸ Θαβώριον ὄρος προφθάσωμεν·
ἵν' ἴδωμεν σὺν αὐτοῖς
τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν,
φωνῆς δὲ ἀκούσωμεν
ἧσπερ ἄνωθεν ἤκουσαν,
καὶ ἐκήρυξαν
τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

gloriam tuam, o Christe Deus,
contemplati sunt:
ut quum te viderint
cruci affixum,
scirent te quidem passum
ex arbitrio tuo;
mundo autem nuntiarent
te in veritate esse
Patris splendorem.

2. Evigilate, sensus somnolenti mei,
nolite omni ævo resupini
ad humum incurvare
animam meam;
sursum enitamini, et tendite
ad verticem quem Deus conscendit.
Accurramus ad Petrum
filiosque Zebedæi,
et una cum illis
montem in Thaborium properemus,
ut videamus simul
Dei nostri gloriam
vocemque audiamus
quam desuper acceperunt,
ac prædicarunt
Patris splendorem.

γ'. Ἰδοὺ δὴ τί θεωρῶ; * πορεύονται σὺν ἡμῖν * καὶ προτρέχουσι καλῶς * οἱ τῶν θείων ἀληθῶς * θερμοὶ φιλοθεάμονες, * λαὸς Κυρίου περιούσιος· * εὐθείαις οὖν πάντες * χρησώμεθα τρίβοις * τῶν εὐαγγελίων, * τὴν ὀρθὴν ἄτροπον διανύοντες· * ἐκεῖθεν γὰρ φανερῶς * αἱ τοῦ Θεοῦ σωτήριοι * πορεῖαι γινώσκονται· * ὅθεν ἔφανεν, ἔλαμψεν * ταῖς ψυχαῖς ἡμῶν, * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

δ'. Σαφῶς Ματθαῖος ἡμῖν * καὶ Μάρκος καὶ ὁ Λουκᾶς, ἐν ἰδίαις συγγραφαῖς, * διηγοῦνται τὴν φρικτὴν * καὶ θείαν μεταμόρφωσιν· * τί δὲ ἐροῦσιν, νῦν ἀκούσωμεν. *

3. En igitur quid video? Conveniunt nobiscum et alacriter accurrunt quicumque divina contemplari spectacula vero cum amore gestiunt, plebs Domino jure proprio dicata. Omnes igitur rectis evangeliorum semitis insistamus, tuto gressu rectam carpentes callem: hac via nempe salutaria Dei itinera indubie noscuntur, et splenduit, coruscavit animis nostris ipsum Patris jubar.

4. Nobis aperte enarrant Matthæus et Marcus et Lucas, singulis in suis scriptis tremendam ac divinam formæ mutationem. Quid tandem dicant, nunc audiamus. Post-

— πάθος νοήσωσιν edd. in quibus duo tantum trop. de more obtinent. — ἀπαύγασμα. Hebr. II, 3.

2. οἱ συγκύπτοντες ed. rom. f. errore typogr. — Θαβώριον Suidas recepit; ἵνα edd.

3. Eleganter de Græcis: θερμοὶ φιλοθεάμονες, neque otiose pro critica melodorum historia. — εὐθείᾳ... τρίβῳ T, εὐθείας... τρίβους C. — ἔφαμεν C, T. De forma alexandrina ἔφανεν alibi dictum. — In fine T τὸ φῶς τὸ ἀπρόσιτον. Matth. XVII, Marc. IX, Luc. IX. — ἀλλὰ τί ἐροῦσι C, T, metro

Μετὰ γὰρ τὴν Πέτρου * θερμὴν παῤῥησίαν * καὶ ὁμολογίαν, * τὸν δεσπότην εἰσάγουσι λέγοντα· * Παθεῖν με δεῖ καὶ θανεῖν, * ἐγὼ γὰρ τοῦτο βούλομαι, * καὶ ἄνομοι ἐπὶ μὲ * ὥσπερ ἄνεμοι ἤξουσι, * ἀλλ' οὐ σβέσουσι * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ε'. Τὰς οὖν καρδίας ὑμῶν * μὴ ταραττέτω μηδέν, * τὴν ψυχήν μου γὰρ ἐγὼ * ὑπὲρ πάντων παρασχεῖν * βουλόμενος, δυνήσομαι * καὶ θεῖναι ταύτην καὶ λαβεῖν αὐτήν· * ἐὰν γὰρ μὴ θέλω, * οὐδεὶς ὁ κατέχων· * ἐὰν μὴ κελεύσω, * οὐ τολμᾷ προσελθεῖν μοι θάνατος· * σαρκὶ θηρεύω αὐτόν· * ὁρμᾷ, καὶ παγιδεύεται, * καλάμῳ συντρίβεται, * ᾅδης ἔρημος γίνεται, * ὅταν δέξηται * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ϛ'. Ἡ κτίσις πᾶσα ἐμὲ * κηρύξει κτίστην αὐτῆς, * τὸν ἐν θρόνῳ καὶ σταυρῷ, * ἵνα τότε τὸν σεισμὸν * ὁρῶν καὶ τὰ γινόμενα, * λῃστῇ συμφήσῃ ἑκατόνταρχος· * Θεοῦ Υἱὸς ὄντως * βουλήματι πάσχει * καὶ ἄθεσμος ὄχλος * εἰ καὶ βρύχει, ἀλλ' ἅμα τακήσεται. * Εἰ στέργει τις οὖν ἐμέ, * ἀράτω τὸν σταυρὸν αὐτοῦ, * καὶ ἀκολουθήτω μοι· * κἂν γὰρ κτείνωσι, πίπτουσι, * καὶ ἀνίσταται * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ζ'. Νυνὶ δὲ ὅμως ὑμῖν * δεικνύω, καὶ πρὸ καιροῦ, * τὴν ἀξίαν τὴν ἐμήν, * ἵνα ἔχητε θαῤῥεῖν * ὅτι Θεοῦ Υἱός εἰμι, * ὁ τότε ἄτιμος ἐσόμενος, * ὡς νόμον Μωσέως * δοκῶν παραλύειν, * ὅτι καὶ Μωσέως * καὶ τοῦ νόμου ἐγώ εἰμι κύριος, * καὶ ὅτι φύσει Θεός * εἰμί, οὐχὶ ἀντίθεος· * εἰς μέσον ἐλεύσομαι, * ζήλου ἔμπλεος ἄνθρωπος, * καὶ γνωρίσει με * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

η'. Μετὰ δὲ τούτους αὐτοῦ * τοὺς λόγους ὁ λυτρωτής, * μεθ' ἡμέρας οὐ πολλὰς * εἰς

quam enim Petrus cum impetu asseruit quod confessus est, Dominum inducunt aientem: « Pati me oportet ac mori, ego « enim sic volo: at in me improbi, turbinis « instar, insufflabunt, quin extinguant Pa- « tris radium.

5. « Vestrum igitur cor nihil conturbet; « volens enim ego animam meam pro omni- « bus tradere, me penes erit et ponere illam « et sumere. Nisi enim voluero, nemo qui « teneat; nisi jussero, non audebit usque « ad me accedere mors. Venatu in carne « insequor eam, irruit, reteque capitur, « conteritur calamo, vacuus evadit infernus, « cum recipiet Patris splendorem.

6. « Creatura qua patet, me suum cla- « mabit auctorem, tam in throno quam in « patibulo, eo usque ut, viso tunc terræ « motu, centurio cum latrone una voce di- « cat: « Vere Filius libere patitur. » Et im- « proba turba, etiamsi rugiat, tamen una « tabescet. Si quis igitur me diligit, tollat « crucem suam, et sequatur me. Quantum- « vis enim occidant, occumbunt, et resur- « git vibratum Patris jubar.

7. « Verum nunc vobis et ante tempus « ostendo gloriam meam, ut confidenter « teneatis me Dei Filium esse, qui in oppro- « brio futurus sim, ac si legem Moysis sol- « visse videar; tum etiam me et Moysis et « legis Dominum esse, naturaque Deum, « non falsum numen; in medium veniam, « studio incensus ut mortalis, meque ma- « nifestabit Patris splendor. »

8. Quibus actis sermonibus, redemptor, paucos post dies, in unum assumens Petrum

læso. De τί pro ὅ τι cf. Kühner ad Xenoph. *Memor.* I, 1, 1. — νῦν om. T. — δεῖν C, δὴ T.

5. ὁ θάνατος C, T. — ὁμοῦ καὶ παγιδ. T. — ὅταν δόξῃ με T.

6. τὸν κτίστην C. — καὶ ἐν σταυρῷ C. — τὸν καθορῶσα ἐν στ. T. — τῷ λῃστῇ συμφωνήσῃ ὁ ἑκατ. C. — υἱὸς οὗτος T. — ἀλλὰ μάτην τακ. C. — μοι. Matth. VIII, 34.

7. τοῦ Θεοῦ C. — ὅτι ἄτιμος C. — ὁ νόμον C. — μέσον ἐλεύσονται T. — ἔμπλεοι T, ἄνθρωποι C. — καὶ γνωρίσουσι τοῦ T. — f. planius: ἄνθρωποι καὶ γνωρίζουσι τ. π. τ. ἀ. omisse με.

8. τούτους αὐτοὺς T. — εἰς τοῦτο C. — σὺ ὄντως εἶ C, T.

ταὐτὸ παραλαβὼν * τὸν Πέτρον καὶ Ἰάκωβον * καὶ Ἰωάννην ἀδελφὸν αὐτοῦ, * εἰς ὄρος ἀνάγει, * καὶ μεταμορφοῦται * ἐνώπιον τούτων, * καὶ ἐξαίφνης ὁρᾶται ὡς ἥλιος, * καὶ δύο ἄνδρες αὐτῷ * συνόντες ἅμα ὤφθησαν * ὑμνοῦντες καὶ λέγοντες· * Μόνε, ἅγιε, δέσποτα, * σὺ εἶς ἀληθῶς * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

θ'. Ἐβόα τούτων ὁ μέν· * Ἐγὼ τὰς πλάκας ποτὲ * ἐν τῷ ὄρει τῷ Σινᾶ * ἐδεξάμην παρὰ σοῦ, * καὶ περὶ σοῦ κατήγγειλα * τοῖς ἀχαρίστοις καὶ ἀγνώμοσιν, * ἀμέλει προεῖπον * τοῖς πάντα τολμῶσι· * Τοιαῦτα Κυρίῳ * ἀντιδοῦναι τολμᾶτε, παμπόνηροι; * προέδειξας γὰρ ἐμοὶ * πῶς μέλλουσιν ἐν ξύλῳ σε * τὴν πάντων ζωὴν κρεμᾶν, * ὅπως φύγωσι θάνατον * οἱ ὁρῶντές σε * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ι'. Τοιαῦτα οὗτος εἰπὼν * ἐδίδου χώραν λοιπὸν * καὶ τῷ ἄλλῳ ἀνυμνεῖν, * καὶ βοᾶν τῷ λυτρωτῇ. * Ἐν ἅρματι πυρίνῳ με * δεσπότης δοῦλον σὸν ἀνέλαβες, * καὶ μέλλεις μὴ φλέγειν * ῥαπίζοντα δοῦλον, * καὶ πάλιν Πιλάτῳ * ὁ κριτὴς τῶν ἁπάντων παρίστασθαι. * Ἐντεῦθεν Πέτρος εὐθὺς * σὺν φόβῳ μὲν προσέρχεται, * ἀλλ' ὅμως παρίσταται, * λέγων· Δέσποτα, φθέγξομαι, * καὶ μὴ φλέξῃς με * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ια'. Ἀφ' ὧν εἰρήκασιν οὖν * τοὺς συλλαλοῦντας μαθὼν, * τῷ Κυρίῳ ὁ Κηφᾶς * ἀπεκρίθη καὶ φησί· * Καλόν ἐστι, φιλάνθρωπε, * ἡμᾶς ἐνταῦθα εἶναι πάντοτε, * καὶ εἶπον εἰ θέλεις * σκηνὰς ἀνὰ μέρος * ποιήσωμέν σοί τε * καὶ Μωσεῖ καὶ Ἠλίᾳ, τοῖς δούλοις σου. * Ἐν ᾧ δὲ οὗτος λαλεῖ, * φωτὸς νεφέλη ἄνωθεν * αὐτοὺς ἐπεσκίασεν, * αἴγλην ἄϋλον, ἄκρατον * ἐμφανίζουσα, * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιβ'. Μεγάλως τοὺς μαθητὰς * οὐ ταῦτα μόνον φοβεῖ * τὰ ὁρώμενα φρικτὰ, * ἀλλὰ

et Jacobum et Joannem ejus fratrem, in montem eos adducit, formaque coram illis immutatur, ac subito ut sol apparet, duoque viri cum eo convenire visi sunt, canentes hymnos et dicentes : « O unice, o sancte, o « Domine, tu vere Patris splendor es. »

9. Clamabat unus ex illis : « Ego olim tabulas in monte Sinaï a te recepi, et de te « nuncius eram ad ingratos et insipientes, « quibus tanta ac talia ausuris asseveranter « dixi : « Hæccine Domino rependere audetis, omnium pessimi? Mihi namque ostendisti, quomodo te vitam omnium in ligno « suspensuri sint, ut mortem effugiant, videntes te esse Patris radium. »

10. Sic fatus ille, alteri locum dedit plaudendi et clamandi redemptori : « Igneo in « curru me servum tuum, ut Dominus, assumpsisti, neque jam crematurus es servum te verberantem? immo et Pilato tene « judicem omnium sistere! » Inde statim Petrus, trepidus quidem, sed confidenter adest, dicens : « O Domine, loquar, nec me « comburas, tu Patris jubar. »

11. Tum ab his quæ dixerunt, colloquentes discernens, Domino respondit et ait Cephas : « Bonum est, benignissime, hic nos « esse semper. Dic ergo, si placet tabernacula singula faciamus, et tibi et Moysi et « Eliæ servis tuis. » Quo ipso tempore loquitur, luminis nubes desuper eos obumbravit, manifestans fulgorem incorporeum, purum, Patris scilicet splendorem.

12. Discipulos vehementer stupefecit tum tremendum spectaculum, tum insuper vox

9. τολμᾶται παράνομοι T. — ὡς μέλλ. T. — κρεμνᾶν C.

10. δέσποτα δοῦλόν σου T. — ὅμως ἐκραύγασε T.

11. καὶ εἴπερ ἐθέλεις T f. bene. — ἄν. αὐτοὺς C, T. contra usum vett. sed ex Luca IX, 34. — ἐμφανίζουσαν C. — ἔμφοβον ἐμφ. T.

12. ὁ om. T ante πατήρ. — ὄντως ἐστὶν T. — γὰρ om. C, T. — ἅπαντες δέξατε T, cæteris omissis.

γὰρ καὶ ἡ φωνὴ, * ἡ βροντηδὸν ἠχήσασα, * καὶ πίπτουσι πρηνεῖς εἰς ἔδαφος· * καθὰ γὰρ τὸ πρῶτον * ἐν τῷ Ἰορδάνῃ, * καὶ νῦν οὐρανόθεν * τὸν Υἱὸν ὁ Πατὴρ ἀνεκήρυττεν· * Υἱός μου οὗτός ἐστιν· * αὐτοῦ, φησὶν, ἀκούετε· * ἐν τούτῳ γὰρ ηὐδόκησα. * Τοίνυν ἅπαντες λέξατε· * Ἰησοῦς ἐστι * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιγ'. Ὁρᾶτε, ἀγαπητοὶ, * τοῦ θαύματος τὸ σαφές· * ὡς γὰρ ἦλθεν ἡ φωνὴ, * ὁ Ἠλίας ἀφανὴς * καὶ Μωϋσῆς καθίστανται, * Χριστὸς δὲ μόνος καταλέλειπται, * ὡς ἂν μὴ ἡ τούτων * εἰκὸς παρουσία ἀμφίβολον δείξῃ * τὴν νῦν ἐνεχθεῖσαν Πατρὸς κήρυξιν· * τριῶν γὰρ ὄντων ὁμοῦ, * οὐκ ἔνδηλον ἐτύγχανε * δι' ὅντινα γέγονεν, * ὅμως πρόδηλον ὄντως ἦν * καὶ συνὸν αὐτοῖς * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιδ'. Ῥᾳδία γὰρ καὶ σαφὴς, * ὃ δὴ καὶ Πέτρος δηλοῖ, ἡ κατάληψις αὐτοῦ· * τοῖς ἁγίοις μαθηταῖς * ἐγένετο καὶ γνώρισις, * οὐ γὰρ μικρὸν ἦν τὸ διάφορον, * τοῦ μὲν ὡς Κυρίου * τῆς δόξης ἑστῶτος, * τῶν δὲ ὥσπερ δούλων * συλλαλούντων τῷ πάντων δεσπόζοντι· * ὁ μὲν ἐξέπεμπε φῶς * καὶ πάντα περιήστραπτεν, * οἱ δὲ κατελάμποντο, * μόλις βλέποντες, τρέμοντες * καὶ δοξάζοντες * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιε'. Φωτὸς τοσούτου ἐκεῖ * καὶ θείας τότε φωνῆς * ἐνεχθείσης ἐπ' αὐτοὺς, * ὡς προεῖπον πρὸ μικροῦ, * οἱ μαθηταὶ δεόμενοι * πρηνεῖς τὰς ὄψεις συνεκάλυπτον· * μετὰ δὲ τὸ ταῦτα * λοιπὸν τελεσθῆναι, * ὁ πάντα ποιήσας * ἐξεγείρει αὐτοὺς καὶ ἀνίστησι * πραείᾳ λέγων φωνῇ· * Ἐγέρθητε, ὦ φίλοι μοι, * καὶ ταῦτα σιγήσατε, * μέχρις ὅτου με μέλλητε * ἐκ νεκρῶν ὁρᾶν, * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ις'. Ὢ τῆς ἀμέτρου χαρᾶς * ἧς ἔτυχον οἱ σοφοὶ * τοῦ Κυρίου μαθηταί· * καὶ τοῦ ὄρους σὺν αὐτῷ * κατέβησαν, σπουδάζοντες * καὶ

fragrose intonans, ac cecidere proni humum; quemadmodum enim primum in Jordane, sic et nunc e cœlo Pater alta voce Filium renuntiabat : « Hic Filius meus est; « vocem ejus, inquit, audite, in quo ego « mihi complacui. Dicite ergo omnes: Jesus « est Patris splendor. »

13. Videte, dilecti, quid significet prodigium. Statim ut enim vox incidit, Elias et Moyses ab oculis evanescunt, Christus vero relictus est solus, ne cæterorum præsentia, ut par erat, ambiguum efficeret auditum Patris præconium. Tribus enim simul stantibus, minus perspicuum fuisset cujus gratia id fieret; vere autem compertum erat, cum illis quoque inesse Patris splendorem.

14. Sane ab ipsius Petri verbis palam est, plane et evidenter eum intellexisse; id quoque sancti discipuli perspexerunt: haud enim modicum discrimen erat, inter Dominum gloriæ astantem, et illos famulorum more cum omnium Domino colloquentes. Ille enim lucem vibrabat et omnia fulgore perfundebat, hi vero illustrabantur, ægre oculos tollentes, trepidantes, et glorificantes Patris splendorem.

15. Tanta lux divinaque vox ubi tunc in illos erupisset, ut modo dixi, discipuli orabant cernui, vultumque tegebant. Quæ cum demum peracta fuerint, qui omnia fecerat, excitavit eos et erexit, amœna voce dicens: « Surgite, amici mei, et hæc silete, donec « vos ipsi videritis redivivum a mortuis Pa- « tris splendorem. »

16. O quam immensa lætitia perfusi erant sapientes Domini discipuli! Qui cum illo e monte descendunt properantes, ut cæteris

13. Καὶ 'Ηλίας T. — καταλείπεται T. — νῦν om. C, tum id. ἐν, τοῦ πατρὸς κήρ. dum ἐνεχθ. ἐπικήρυξιν T. — οὐκ ἄδηλον T. — ὅμως πρόδηλος ἦν ὄντως τὸ T.

14. καταλ. αὐτῶν T. — κυρίῳ C.

15. ὥσπερ εἶπον T. — καὶ ἀνίστανται C, T, rupta serie. — μέχρις ὅτου μέλλητε sic C. — ὅτου με μέλλεται sic T.

16. κατίεσαν σπ. T. — λόγον ἔκκριτον, ἔνθεον T.

τοῖς λοιποῖς εὐαγγελίσασθαι. * Ζητεῖτε δὲ ἴσως, * δι' ἔρωτα θεῖον, * τί δήποτε οὗτοι * τῶν λοιπῶν ὁμοδούλων προκέκρινται· * κἀγὼ πρὸς ταῦτα ἐρῶ * οὐδὲν καινὸν ἢ ἴδιον, * ἀλλ' ἅπερ διδάσκουσι * λόγοι ἔγκριτοι, ἔνθεοι, * οἷς ἀρέσκεται * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιζ'. Συνῆν ἀξίως αὐτοῖς * ὁ Πέτρος ὡς ἀγαπῶν * παρὰ πάντας τοὺς λοιπούς, * καὶ ὡς ἤδη θαῤῥηθεὶς * τὴν πρώτην ἀποκάλυψιν, * ἐξ ἧς καὶ Πέτρος ὀνομάζεται. * Παρῆν σὺν ἐκείνῳ * καὶ ὁ Ζεβεδαίου· * ἠγάπα γὰρ τοῦτον * ὁ τῶν ὅλων σωτὴρ ὑπὲρ ἅπαντας, * καὶ δὴ Παρθένος αὐτὸς * καὶ μόνος ἐπιστήθιος * καλεῖται γενόμενος, * ὅθεν χάριτος πέπλησται * καὶ θεολογεῖ * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιη'. Ἰάκωβος μετ' αὐτοῦ * παρείληπται, ὁ σοφὸς * Ἰωάννου ἀδελφὸς, * ὁ ἀκούσας σὺν αὐτῷ * καὶ ἅμα ὑποσχόμενος * Κυρίῳ πίνειν τὸ ποτήριον, * τουτέστι τοῦ πάθους * αὐτοῦ κοινωνῆσαι, * καὶ μέχρι θανάτου * ὑπὲρ δόξης Θεοῦ ἀγωνίσασθαι· * καὶ οὕτως ὤφθη στεῤῥὸς * Ἡρώδης ὥστε ἔδοξεν * Ἑβραίοις χαρίσασθαι * μέγα, ὅτιπερ ἔκτεινε * τὸν κηρύττοντα * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

ιθ'. Νῦν οὖν ὁ μέγας Θεὸς, * ὁ κτίσας λόγῳ τὸ πᾶν, * ὁ φωτίζων θαυμαστῶς * ἱερεῖς καὶ βασιλεῖς, * καὶ τὸν λαόν σου εὔφρανον * ἐν τῷ φωτὶ καὶ τῇ δυνάμει σου, * ἀκτῖνας ἐκπέμπων * ἡμῖν εὐσπλαγχνίας * καὶ πᾶσαν ἐλαύνων * τὴν ἡμῖν ἐπελθοῦσαν σκοτόμαιναν * ἀνάτειλον ἐφ' ἡμᾶς * μεγάλα τὰ ἐλέη σου, * ἵν' ὦμεν ἀτάραχοι, * τεῖχος ἔχοντες, δέσποτα, * τὴν τεκοῦσάν σε, * τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

bonum nuntium ferant. Quæritis fortasse, sacri intuitu amoris, curnam isti fuerint cæteris conservis antepositi. Et ego ad hæc nihil dicam novum aut singulare, sed quod docent eloquia censoria, divina, in quibus acquiescit Patris splendor.

17. Merito cum duobus istis erat Petrus, utpote amantior cæteris omnibus, et qui confidenter protulerat primam revelationem, ex qua etiam Petrus nominatur. Aderat cum illo Zebedæi filius : diligebat enim eum salvator omnium plusquam omnes, et merito, virgo qui erat, solusque vocatus pectoris accubitor. Unde gratia cumulatus est, et Deum pronunciat Dei splendorem.

18. Jacobus cum illo assumptus est, sapiens Joannis frater, qui simul audivit et pollicitus est una se cum Domino bibiturum esse calicem, scilicet patiendi socium se futurum, et usque ad mortem pro Dei gloria decertaturum : et adeo ipse stetit constans, ut Herodes putaret Judæis magnam se præstitisse gratiam, occidendo præconem paterni splendoris.

19. Nunc ergo, o summe Deus, tu qui verbo creasti totum, miro lumine illustrans sacerdotes et principes, populum quoque tuum lætifica in luce et virtute tua, radios immitte nobis misericordiæ, omnemque dispelle noctis opacæ caliginem nobis ingruentem. Exoriri fac super nos magnam tuam clementiam, ut simus imperterriti, murum nobis struentes tuam, o Domine, matrem quæ te genuit Patris splendorem.

17. συνεῖν ἀξ. αὐτῷ T. — ὁ ἀγαπῶν C, T. Placet hic primum ὡς ἀγ. respectu ad alterum ὡς ἤδη θαρ.

18. Ἰωάνν. ἀδελφ. om. T, pro quibus post αὐτῷ pergit : τὴν φωνὴν ἐξ οὐρανοῦ, καὶ ἅμα ὑπ. κυρίου. — καὶ οὗτος C, T. — στεῤῥὸς ὅτε Ἡρώδης ἔδοξεν T. στ. ἡρώδην ὥστε ἔδ. C. — χαρίσασθαι μέγα, ὅτεπερ T. — χαρίζεσθαι μ. ὅτιπερ C.

19. Ἱερέας τε πιστοὺς καὶ βασιλεῖς ἐπευφραίνων T. — ἡμῖν εὐωδίας. — Auctori, qualiscumque demum sit, quum satis elegans dictio, in verbis proprietas, in serie concinnitas, in dramate haud infelix audacia, in ephymniis reducendis expedita venustas non deneganda sit, eum facile Romani ad ætatem et palæstram retulerim. Quin vero ipsum magistrum agnoscam, plura nimis otiosa et frigida argumento sunt.

XXI.

DE SACRA CRUCE.

α'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως,
τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ
τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ
εὔφρανον ἐν τῇ δυνάμει σου [ὁ Θεός·
τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,
νίκας χορηγῶν αὐτοῖς
κατὰ τῶν πολεμίων·
τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,
ὅπλον εἰρήνης,
ἀήττητον τρόπαιον.
β'. Ὁ μετὰ τρίτον οὐρανὸν
ἀρθεὶς ἐν παραδείσῳ,
καὶ ῥήματα ἀκούσας
τὰ ἄρρητα καὶ θεῖα,

1. Tu qui tolli in crucem voluisti,
novæ tui cognominis societati
miserationes tuas dona, Christe Deus.
Exhilara in virtute tua
fideles nostros imperatores,
victorias illis largitus,
hostibus debellatis;
auxilium habeant tuum,
pacis armaturam,
invictum tropæum.
2. Qui tertium ultra cœlum,
in paradisum sublatus,
verba audiit
arcana et divina,

XXI. Grave et in primis notatu dignum est testimonium, quod Philippus Vitalis, Basiliani ordinis decus, præfixit, opinor, ad fidem codicum cryptoferratensium, in Anthologio romano, die XIV septembr. p. 70, his verbis: οἱ οἶκοι φέροντες ἀκροστιχίδα· Ἡ ᾠδὴ Ῥωμανοῦ. Qua enim epigraphe recepta, jam et de poematis conditore, et de Romani ætate, causa profligata est, nec stant ea quæ synaxaria et menologia de melodo ad Justiniani ævum referendo tradunt. Vix enim dubium, quin tropæum, non cruci tantum ovanti, sed victori Heraclio dicatum, hic habeamus. Sed iterum, iterumque excussis codicibus basilianis me semper fugit allata ἀκροστιχίς. Vereor ut Basilianus editor, cum in die ejusdem mensis VIII recte et diligenter scripserit ἡ ᾠδὴ Ῥωμανοῦ, idem præpostere festinans ad XIV diem retulerit. Quin ad manum fuere tres vetusti codd. unus cryptoferrat. A. I, alter vatican. 1870, tertius mosquens. 437, in quibus unicum hoc lemma composita elementa præbent: ὁ ὕμνος εἰς τὴν ὕψωσιν, amplum quidem et integrum in primo codice, mutilum vero in cæteris, cum mosquensis f. 13 tantum habeat 11 trop. quorum initia teneo, ex quibus conflatur: ὁ ὕμνος εἰς τ... pauciora autem vatic. in fol. ultimo 42: ὁ ὕμνος ε... Quorum tamen consensu comperitur latere melodum quanquam Romani nomen, nisi fallor, in margine cryptoferr. allinitur. Quo indice et Vitali duce, ego olim minus caute Romanum dixi saltem hujusce hirmi auctorem (Hymnogr. p. XXXIX, not. 4). Cæterum Hierosolymitanus omnino melodus videtur, et quamvis eum nec Romani sæculo neque ejus sectæ cooptarem, mihi potius refert Sophronii aut Eliæ scholam et tempora a Sarracenis usque ad internecionem contrita. Pretium operæ foret codices iterum scrutari, in primis mosquensem fere intactum, etiam cryptoferratenses membranas, a me raptim et minus quiete evolutas.

1. Semel ad hirmum eumdem provocatur p. 77, ad Roman. XI, ubi graviter variantur v. 4, 5 heptasyllabi. Ne inferas citius jam Romano præivisse hirmum qui nunc prostat. Addi enim potuit p. 77 epigraphe a recentiore; tum iisdem potuit verbis serior incipere quibus priscus ordiebatur. Tres priores versus ejusdem fere moduli sunt quam initium acathisti Sergiani. Cf. p. 250. — Βασιλεῖς. Heraclius a. 613 filium suum Flavium Constantinum coronari fecit, qui etiam novus dictus est Constantinus, ansamque melodo dedit in laudes primi imperatoris christiani infra liberius excurrendi. — συμμ. ἔχοντας vat.

2. Ed. roman. scite accersit hirmum Τῇ Γαλιλαίᾳ, v. p. 16, ad quem nostra ad amussim exiguntur. Jam superius notavi, in feria IV magna, pro hirmo sumptum fuisse hujus trop. initium. — λαλεῖν, II Cor. XII, 14. — τί τοῖς edd. — ἐρα-

ἃ οὐκ ἐξὸν γλώτταις λαλεῖν,
τί Γαλάταις γράφει,
ὡς ἐρασταὶ τῶν γραφῶν
ἀνέγνωτε καὶ ἔγνωτε.
Ἐμοὶ, φησὶ, καυχᾶσθαι μὴ γένοιτο
πλὴν εἰ μὴ ἐν μόνῳ
τῷ σταυρῷ τῷ τοῦ Κυρίου,
ἐν ᾧ παθὼν
ἔκτεινε τὰ πάθη.
Αὐτὸν οὖν καὶ ἡμεῖς
βεβαίως κρατῶμεν,
τοῦ Κυρίου τὸν σταυρὸν,
καύχημα πάντες·
ἔστι γὰρ ἡμῖν
σωτήριον τοῦτο ξύλον,
ὅπλον εἰρήνης,
ἀήττητον τρόπαιον.

quæ linguis loqui nefas est,
quid ille Galatis scribat,
vos litterarum amantes
legistis et novistis:
« Mihi, inquit, gloriari absit
« nisi in sola
« illa Domini cruce,
« in qua passus
« passiones enecavit. »
Eamdem igitur et nos
fortiter teneamus
hanc Domini crucem,
omnium superbiam.
Est enim nobis
salutare hoc lignum
pacis armatura,
invictum tropæum.

γ'. Ὑψοῦτε Κύριον, φησὶν, * ὁ ψάλλων ἐν προφήταις * Δαυὶδ ὁ θεοπάτωρ, * καὶ φόβῳ προσκυνεῖτε * τὸ ὑποπόδιον αὐτοῦ. * Τοῦτο προσκυνοῦμεν, * ὑπερυψοῦντες αὐτὸν * τὸν μόνον φύσει ἅγιον. * Καὶ τοῦ προφήτου ῥῆμα πεπλήρωται, * ὃ προανεφώνει * διὰ Πνεύματος ἁγίου * τὰ μέλλοντα * προτεθεωρημένος. * Λαμβάνων ὁ Ἀδὰμ * λοιπὸν ἀκωλύτως * ἐκ τοῦ ξύλου τῆς ζωῆς, * ζῇ εἰς αἰῶνα· * πρόκειται νυνὶ * ἐν πάσῃ τῇ κτίσει ξύλον, * ὅπλον εἰρήνης, * ἀήττητον τρόπαιον.

3. Exaltate Dominum, inquit psaltes prophetarum, David, Christi Dei pater, et cum tremore adorate scabellum ejus. Idipsum adoramus, superexaltantes eum qui solus natura sanctus est; atque impletum est prophetæ dictum, vaticinantis in Spiritu sancto quæ futura prospiciebat. Adam sumens fructum jam non vetitum ex ligno vitæ, vivit in æternum. Coram nunc stat in universa creatura, signum, armatura pacis, invictum tropæum.

δ'. Μεγάλα, ξένα καὶ φρικτὰ * ἐν τῷ τοῦ Χριστοῦ πάθει * διὰ σταυροῦ τὰ κέρδη * ἀνθρώποις ἐδωρήθη, * ἅτινα ἔγνωμεν σαφῶς· * γῆ ἐσείσθη τότε, * καὶ Θεοῦ πίστις ἀρχὴν * ἱδρύσεως ἐλάμβανεν· * ἥλιος τὴν λαμπάδα ἀπέθετο, * καὶ τὸ τοῦ Κυρίου * πῦρ ἀνήφθη, ὅπερ ἤδη * τὴν γῆν βαλὸν * σφόδρα ἐξεφάνη· * ἐῤῥάγησαν βουνοὶ * καὶ ὄρη καὶ πέτραι, * καὶ συνήρχοντο ὀστᾶ * νεῦρα καὶ

4. Christo passo, magna, stupenda, plena terrore lucra per crucem hominibus impertita sunt, qualia nemo nostrum nescit: Tum tellure concussa, in Deo fides initium soliditatis assumpsit; sol lampadem amovit, simulque Domini ignis accensus est, qui jam in terram immissus, mirum in modum excanduit. Disruptæ sunt colles et montes et saxa; at concurrebant ossa, nervi et carnes,

σταῖς v. cr. inepte. — ἐμοὶ. Galat. VI, 14. — σωτ. ἡμῖν τοῦτο ven. — τὸ ξύλονedd. in quibus cæterum omnia desiderantur.

3. Ὑψοῦτε. Sic Ps. XVIII, 5. — προτεθεωρ. Codd. quod metrum excedit, nisi in medio duæ syllabæ, ut sæpe Θεὸς, contrahantur. f. τεθεωρημένος. — ζῇ τὸν αἰῶνα codd. — f. γὰρ νῦν. — ξύλον om. V. κατὰ τοῦ ξύλου CV.

4. καὶ ξένα, φρικτὰ mosq. — Καὶ Θεοῦ. Lubens notaverim frequentem in hoc carmine et exqui-

σάρκες, * πάντων ἐκ ταφῆς * ἀθρόως ἀνισταμένων * ὅπλον εἰρήνης, * ἀήττητον τρόπαιον.

ε'. Νύκτα ἑώρα ὁ λῃστὴς * ἐν ὥρᾳ μεσημβρίας, * καὶ ἔγνω τὸν εἰπόντα· * Ἐκ σκότους φῶς ἐκλάμψῃ. * Μακροθυμοῦντα ἐν σταυρῷ * ὅθεν ὡμολόγει * ὅτι τῆς δόξης Θεὸς * αὐτός ἐστι καὶ κύριος, * βοῶν αὐτῷ καὶ λέγων· Ὦ δέσποτα, * μνήσθητί μου, ὅταν * ἔλθῃς ἐν τῇ βασιλείᾳ * τῆς δόξης σου * τῆς ἐπουρανίου. * Καὶ ἤκουσεν εὐθὺς τό· Σήμερον ἔσῃ * μετ' ἐμοῦ ὡς ἀληθῶς * ἐν παραδείσῳ. * Ἔδωκεν ἀντὶ * φλογίνης ῥομφαίας σώαν * ἔχοντι πίστιν * ἀήττητον τρόπαιον.

ϛ'. Ὁ τῷ σταυρῷ ἀνυψωθεὶς * Θεὸς ἡμῶν καὶ ῥύστης * κατέβαλε τοῦ ὕψους * πάσας τοῦ διαβόλου * τὰς ἐξουσίας καὶ ἀρχάς· * εἵλκυσε δὲ πάντας * πρὸς ἑαυτὸν τοὺς ἐκ γῆς, * ἀνοίξας τὰ οὐράνια, * καὶ δοὺς ἡμῖν ἀκώλυτον ἄνοδον, * τὴν πρὸς τὸν Πατέρα, * μεσιτεύσας, καὶ τὴν ἔχθραν * ἐν τῇ σαρκὶ * λύσας τῇ ἰδίᾳ· * τὸ πάλαι τοῦ φραγμοῦ * μεσότοιχον ἤρθη, * καὶ συνῆψεν ὁ σταυρὸς * τὰ διεστῶτα· * ἄγγελοι ἡμῖν * συμφθέγγονται καὶ ὑμνοῦσι * τὸ τῆς εἰρήνης * ἀήττητον τρόπαιον.

ζ'. Σταυρὸς ἐκάθαρε τὴν γῆν * τῆς τῶν θυσιῶν κνίσσης, * καὶ πᾶσαν ἁγιάσας * προσήγαγε τὴν κτίσιν * τῇ ἐπιγνώσει τοῦ Θεοῦ· * πρὶν οἱ τῶν εἰδώλων * ἐθυμιῶντο βωμοί, *

omnibus e tumulo turmatim attollentibus pacis armaturam, invictum tropæum.

5. Noctem vidit latro, hora meridiana, et agnovit eum a quo dictum: « Ex tenebris « fiat lux ! » Unde eumdem fortiter in patibulo patientem fatebatur Deum gloriæ esse et Dominum, contestans illi ac dicens: « Domine, memento mei, quando veneris in « glorioso tuo cœlorum regno. » Et statim illud audiit: « Hodie mecum eris, amen « dico, in paradiso. » Et dedit illi salvificam habenti fidem, pro ense flammeo, invictum tropæum.

6. In cruce sublimis Deus noster et liberator dejecit ab alto omnes Diaboli potestates et dominia; attraxit autem omnes ad seipsum e terra, cœlestia pandit, nobisque dedit liberum ad Patrem reditum, mediator factus, et inimicitiam in propria carne sua dissolvens. Intermedius veteris maceriæ paries subruit, compegitque crux in unum ea quæ dissociata erant. Angeli nobiscum vocem attollunt, et hymnis celebrant pacis invictum tropæum.

7. Crux repurgavit terram a nidore victimarum, totamque creationem sanctitate perfusam provexit ad Deum cognoscendum. Modo idolorum suffumabant altaria, nunc

sitam atticorum elegantiam, qua καὶ pro ἅμα sumitur, idemque tempus pressius significat, quod etiam venustius fit in antithesi, ut ibi pluries. Cf. trop. XI fin. XIII et XVI init. — τῇ γῇ codd. emendavimus juxta Euripidem *Suppl.* 659: γαῖαν βάλλει ἀκτὶς ἡλίου. — τὸ πῦρ. Luc. XII, 49. — ἀνισταμένων active sumitur, sed omisso ὅπ. εἰρήν. in cryptoferrat. tantum et frigide legitur τοῦτο οὖν ἔστιν ἀήττ. τρ.

5. φῶς ἐκλάμψαι V. Gen. 1, 3, aliud enim non puto respici, quam *Fiat lux.* Sed cf. II Cor. IV, 6. Nota seriem elegantem et raram in melodis: μακροθ. ὅθεν ὡμ. ὅτι... — λέγων. Luc. XXIII, 43. — αὐτῷ φλογίνη ῥομφαία νῶτα sic duo codd. cogitavi primum: ἔδωκεν αὐτῷ φλογίνης ῥομφαίας ὦτα ἔχοντι πίστιν. Alius proposuit αὐτῷ ῥομφαίας στόμα. Demum σώαν arrisit, sed alia et f. meliora dabit novus codex. Cf. Gen. III, 24.

6. οὖν ὑψωθεὶς crypt. — τοὺς τῆς γῆς id. — ἀρχὰς Col. II, 15. — εἵλκυσε, Jo. XII, 32. — καὶ ante δοὺς om. V. — τὴν ἄνοδον Cr. V. — ἣν πρὸς V. καὶ πρὸς Cr. — ἤρθη, Eph. II, 14.

7. ἐκάθαρεν sic bene unus mosquens. — ἐκάθηρε V, Cr. — δαίμ. δὲ V. — βακχεύονται V. — ἐν τῷ στ. V. — ἀντοφθαλμοῦσιν. Cum multa alias eleganter et exquisite dicta, tum illud verbum Georgii Pisidæ memoriam revocat, qui nullam fere paginam expolivit, quin pluries hujusmodi compositis eamdem ornaverit. — καταχρ. νυνὶ V. — νυνὶ δὲ πόνοι V. — καὶ ἐγκράτειαι, V, Cr.

νῦν ὡς καπνὸς ἐξέλιπον· * καὶ δαίμονες οἱ πρώην βακχεύοντες * ἐν τῇ οἰκουμένῃ, * νῦν εἰς βάραθρον χωροῦσι, * καὶ τῷ σταυρῷ * οὐκ ἀντοφθαλμοῦσιν· * ἐμίαινον τὴν γῆν * αἱ ἀκολασίαι, * κατακρίνεται δὲ νῦν * ἄσεμνος βίος· * τότε ἡδοναὶ * ἐκράτουν, νῦν δὲ οἱ πόνοι, * ἐγκράτειαί τε, * ὅπλον εἰρήνης, ἀήττατον τρόπαιον.

η'. Ἐπὶ τῷ ὄρει, τῷ σταυρῷ * ὁ θάνατος προσκόψας * εἰς νῖκος κατεπόθη, * καὶ μάρτυρες τὴν τούτου * καταπατοῦσι κορυφήν· * ἔπεισεν ἀνθρώπους * ὁ σταυρὸς πνεύματι ζῆν, * καὶ μὴ δουλεύειν πάθεσιν, * κόσμῳ μὲν ἐσταυρῶσθαι, τὸν κόσμον δὲ * ἔχειν σταυρωθέντα, κατὰ Παῦλον, καὶ τὰ ἄνω * ζητεῖν ἀεὶ * καὶ μεταδιώκειν· * τοιαῦτα ὁ σταυρὸς * τῷ βίῳ παρέσχεν, * ἐπὶ γῆς ἀγγελικὴν * τάξιν εἰσάγων, * πάντας γὰρ ἡμᾶς * καθαίρει ἀκαθαρσίας * ἐκ τῆς ἁγνείας * ἀήττητον τρόπαιον.

θ'. Ἵνα δὲ παύσωσιν ἡμῶν * τὸ σέβας, ὡς ἡγοῦντο * οἱ λίθοις προσκυνοῦντες, * ἐν μέσῳ συμποιοῦντες * τοὺς εὐσεβεῖς ὡς εὐμενεῖς, * χώματι τὸν τόπον * τῆς τοῦ Κυρίου ταφῆς * καὶ τὸν σταυρὸν κατέκρυψαν· * αὐτοὶ δὲ ὅμως μάτην ἐμόχθησαν, * ἥλιον καλύψαι * τῇ παλάμῃ προσδοκῶντες· * ἡ χάρις δὲ * πλέον διεφάνη, * καὶ ὅπερ ἐκτεμεῖν * ἐνόμισαν σέβας, * τοῖς βδελύγμασιν αὐτῶν * ἔθηκε πέρας· * ἔστι γὰρ σταυρὸς φαινόμενος οὐρανόθεν, * κατὰ τῆς πλάνης * ἀήττητον τρόπαιον.

ι'. Σύμβολον τοῦτο φανερὸν * μεγάλου Θεοῦ βλέπων * ὁ μέγας Κωνσταντῖνος, * ἀκή-

ut fumus evanuerunt. Et qui prius in orbe bacchabantur dæmones, nunc in barathrum recedunt, neque crucem contra tollunt oculos. Terram polluebant impudicitiæ, nunc vero damnatur vita inverecunda. Tunc libidines superbiebant, nunc exercitationes et abstinentiæ, armatura pacis, invictum tropæum.

8. In monte, cruci mors offendens, in victoria absorpta est, ejusque caput martyres conculcant. Suasit homines crux, ut spiritu vivant, nec voluptatibus serviant, sed crucifigantur mundo, mundumque habeant patibulo fixum, ut Paulus ait, ac superna quærant semper et persequantur. Ea nempe bona crux vitæ hominum attulit, in terris angelicam inducens societatem; omnes enim nos, castitatis ope, spurcitia abstergit illud invictum tropæum.

9. At nostram ut abolerent religionem, uti opinabantur lapidum adoratores, piis viris in publicum traductis ut scelestis, humo aggesta locum dominici sepulcri et crucem abdiderunt. Ipsi autem id frustra moliti sunt, solem abscondere objecta palma sperantes; immo gratia illuxit splendidior, et quem exscindere volebant cultum, is eorum simulacris finem imposuit: ecce enim crux cœlitus emicuit, invictum ab errore tropæum.

10. Illud magni Dei manifestum signum intuens Magnus ille Constantinus, audivit

8. ὄρει τοῦ σταυροῦ V. — ὄρει τὸ ξύλον Cr. — ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ, mosq. — νῖκος, I Cor. XV, 54. — πνεύματι ζῆν. Infeliciter et abrupte hic stetit vaticanus. Pergit unicus cryptoferratensis, vetere, sed minus tersa membrana scriptus. — ἔχειν ἐσταυρωμένον Cr. — Παῦλον. Gal. VI, 14.

9. ἐν μέσῳ δὲ cr. qui δὲ quater in eleganti trop. facilius recipit. — f. ὡς ἀσεβεῖς de more melodorum. — χύματι Cr. — ὅμως δὲ εἰς μάτην Cr. — διεφάνη. Splendida vere ea sunt, mentique ea subeunt quibus sublimis gallica Musa cecinit nigros Æthiopas, non manum, sed pulverem soli stupide objicientes:

« Le Dieu, poursuivant sa carrière,
« Verse des torrents de lumière
« Sur ses obscurs blasphémateurs. »

10. ἐν αὐτῷ τοῦ Ἰησοῦ πρὸς τοῖς λαληθεῖσιν, sic cr. depravatissime. Censui quam minime esse recedendum ab historico epiphonemate: *In hoc signo vinces*. — συντελείας. Multa erant id genus vaticinia de Byzantinis fatis. Utrum vero veterem

κοε λαλοῦντος * τοῦ Ἰησοῦ· Ἐν τῷ αὐτῷ * συμβόλῳ νικήσεις, βασιλεῦ χριστιανῶν, * πιστὸς ἐν αὐτοκράτορσιν, * ἕως μου τῆς δευτέρας ἐλεύσεως· * τούτῳ σοι τῇ πόλει * τὸ ἀξίωμα φυλάξω, * καὶ στήσεται * μέχρι συντελείας, * . . . . . * . . . . . * καὶ τῶν πόλεων πασῶν * προκαθημένη, * τεῖχος δὲ αὐτῇ * γενήσεται ὁ σταυρός μου, * πύργος ἰσχύος, * ἀήττητον τρόπαιον.

alloquentem hæc Jesum: « In hoc signo « vinces, rex Christianorum, fidelis inter « imperatores, usque ad alterum meum ad« ventum. In hoc tibi et urbi majestatem « servabo, duraturam usque ad consum« mationem. . . . . quæ omnium « erit civitatum præses, ipsi autem crux « mea munimentum erit, turris fortitudinis, « invictum tropæum. »

ια'. Ταῦτα οὐ λόγοις πρὸς αὐτὸν * φθεγξάμενος ὁ Λόγος, * ἀλλ' ἔργῳ καὶ δυνάμει, * εὐγνώμονα οἰκέτου * εὗρε καρδίαν, ἐν αὐτῷ * λέγοντος· Ἑτοίμη * ἡ ψυχή μου, ὁ Θεός, * ἀεὶ ἀκολουθῆσαί σοι. * Ὅπερ καὶ παριστᾶσι τὰ πράγματα, * μυστήρια ἄλλα, * καὶ ἡ πίστις καὶ ὁ ζῆλος * καὶ αἱ τιμαὶ * πάντων ἱερέων· * ἀνίστη πανταχοῦ * σεπτὰς ἐκκλησίας, * καὶ κατέσκαπτε ναοὺς * ἀσεβημάτων, * σπήλαια αἰσχρὰ * θεῶν συκοφαντουμένων, * καὶ μὴ ἐχόντων * ἀήττητον τρόπαιον.

11. Talia ubi Verbum ad eum non verbis, sed opere et virtute locutum est, gratum invenit cor famuli secum dicentis: « Parata « est anima mea, Deus, ad te omni tempore « sequendum. » Id quod etiam palam fecere gesta, variæ initiationes, et fidei zelique testimonia, omniumque sacerdotum venerationes. Erexit ubique sacras basilicas, suffoditque fana impietatum, turpes cavernas ementitorum deorum, quibus aberat invictum tropæum.

ιβ'. Ἡ δὲ μεγάλη βασιλὶς * καὶ μήτηρ τοῦ μεγάλου * ἐκείνου βασιλέως, * ἡ πάνσεμνος Ἑλένη, * ἡ ἐστεμμένη τὸν Χριστόν, * ἔχουσα τὸν ζῆλον * τὸν αὐτὸν τῷ βασιλεῖ, * ἠπείγετο θεάσασθαι * τὰ ἐν Ἱεροσολύμοις θαυμάσια· * ἔνθα γενομένη, * καὶ τὸ σέβας ὅπερ ἔσχεν * πρὸς τὸν Θεὸν * ἐπιδεικνυμένη, * ἠπείγετο σπουδῇ * εὑρεῖν βουλομένη * τὸν σταυρὸν ὡς θησαυρόν· * τῇ οἰκουμένῃ * ἄγνωστος δὲ ἦν * ὁ τόπος ἐν ᾧ ὑπῆρχε * τὸ κεκρυμμένον * ἀήττητον τρόπαιον.

12. Sed et magna regina, materque summi illius imperatoris, Helena omnibus sacra, Christo coronata, zelo regem æmulata, contemplari ardebat Solymorum mirabilia. Huc se recipiens, suamque in Deum pietatem exerens, urgebatur alacriter studio reperiundæ crucis, thesauri instar. At universo orbi ignotus locus erat, ubi occultum jacebat invictum tropæum.

ιγ'. Νενικημένης δὲ αὐτῆς * τῷ πόθῳ καὶ σπευδούσης * τὸν ἄνωθεν φανέντα * καὶ κάτωθεν ἐκλάμψαι, * ἀλλὰ μὴ κρύπτεσθαι εἰς γῆν, * ὄψις ὀνειράτων * καὶ σημεῖα θαυμαστὰ * τὸν τόπον ἐφανέρωσαν· * τρόπον δὲ περὶ τούτου εὐγνώμονα * καί τις τῶν

13. Amore dum victa premitur, exoptatque ut crux cœlitus ostensa, e terra quoque illucescat, neu vero sub humo lateat, visio somniorum signaque stupenda locum detegebant. Morem etiam ultro gessit hac de re vir quidam Hebræus reginæ a Deo afflatæ,

aut novam Romam melodus respiciat, magis esset perspicuum, nisi duo versiculi, hic ubi maxime necessarii erant, importunissime deessent.

11. εὐγνώμονος Cr. — καὶ παριστῶσι id. — ἄλλα τε μυστ. καὶ πίστις id. rupto metro. — τιμαὶ τῶν ἱερέων ἀνιστᾷ id. — ἀσεβασμάτων id. barbare. — Huc usque mosquensis, quem iterum sollicitare averem, cum initia tantum trop. habuerim.

12. τὰ ἐν Ἱεροσολύμ. Cr. f. τὰ Ἱεροσολύμων, nis contractio admittatur. — ἔνθα γενομένη Cr.

13. εἰς τὴν γῆν Cr. — ἐμφ. ἤ δός μοί id. homerica sit forma ἤ pro ἔφη, neque omittatur altera vo-

Ἑβραίων * τῇ ἐνθέῳ βασιλίδι * παρέστησε * σπεύσας καὶ μηνύσας· * εὐθέως ἡ πιστὴ, * ὡς ἔμαθε ταῦτα, * ἐπορεύθη παραυτὰ * κατὰ τὸν τόπον. * Ἐμφάνισον, ἢ, ἢ * δός μοι χάριν, ἵν' εὕρω, * λάβω, συνέχω, * ἀήττητον τρόπαιον.

ιδ'. Ὑπὲρ κοινῆς χριστιανῶν * συστάσεως μοχθῆσαι * κελεύει ἡ ὁσία, * τὸν τόπον καθαρθῆναι, * καὶ τοῦτο πράττεσθαι σπουδῇ· * τῶν δὲ καθαιρόντων * τὴν προθυμίαν ἡ γῆ, * ὡς οἶμαι, προελάμβανεν, * ὅτι ἀνακαλύψαι ἠπείγετο * πᾶσιν αὐτομάτως * ὃν ἐζήτουν μαργαρίτην, * καθ' ὃν οὐδὲν * τίμιον ἐν κόσμῳ· * ἀρθείσης οὖν λοιπὸν * τῆς ὕλης ἐκ μέσου, * τὸ μὲν μνῆμα τῆς ζωῆς * ἀνεκαλύφθη· * τόπος δὲ ἐγγὺς * ἐνθέως ὡράθη, ἔχων * τὸ κεκρυμμένον * ἀήττητον τρόπαιον.

ιε'. Ψιλὸν δὲ ὅμως οὐδὲ ἓν * ὑπῆρχε διακρῖναι, * τριῶν ὄντων, καὶ γνῶναι * ποῖός ἐστιν ἐκ τούτων * τοῦ ἀθανάτου ὁ σταυρός· * πῶς οὖν; καὶ πρὸ τούτων * ὁράματα ἀφανῆ * τὴν συνετὴν ὡδήγησεν· * Ξύλον, φησὶ, ἐκεῖνο ζωῆς ἐστιν, * ὅπερ ἀναστῆσαι * τὸν ἀνίατα νοσοῦντα * δυνήσεται * καὶ τὸν τεθνεῶτα. * Θερμαίνεται αὐτῆς * εὐθέως τὸ πνεῦμα, * καὶ τὸ θαῦμα μεταξὺ * τρέχει δικάζον· * τίθενται οἱ τρεῖς, * σκοπεῖται καὶ φανεροῦται * τοῖς προσκυνοῦσιν * ἀήττητον τρόπαιον.

ις'. Ὡς οὖν προσήγαγον αὐτοὺς * ἐσχάτως ἀσθενοῦντι * καὶ ἄλλῳ τεθνεῶτι, * καὶ ἤγειρε τοὺς δύο * τοῦ ζωοδότου ὁ σταυρὸς, * τότε ἐν μεγάλῃ * τῇ χαρᾷ ἡ βασιλὶς * αὐτὸν μὲν προσεκύνησεν, * Θεῷ δὲ ηὐχαρίστει καὶ ἔκραξεν· * Ὑπὲρ χιλιάδας * ἀργυρίου καὶ χρυσίου * τὸν θησαυρὸν * τοῦτον ἐκτησάμην. * Μεγάλως ἡ σοφὴ, * καὶ σφόδρα μεγάλως, *

eamque festinus commonefecit. Extemplo pia mulier, his edocta, sine mora petit locum. « Ostende mihi, inquit, vel mihi faveas, ut inveniam, accipiam, teneam invictum tropæum. »

14. Pro communi Christianorum cœtu laboribus incumbere jubet veneranda regina, locum repurgari, et quanto citius eniti. Dum locus mundatur, vota præoccupavit terra, ut opinor, quippe gestiebat ultro omnibus patefacere quam quærebant margaritam, præ cujus pretio nihil in orbe pretiosum. Sublata ergo in medium ima congerie, vitæ monimentum revelatum est, locusque proximus divino numine patuit, absconditum possidens invictum tropæum.

15. Verum enim vero haud obvia nec simplex res erat, ex tribus obviis discernere et nosse qualis inde foret crux Dei immortalis. Quomodo ergo? Super hæc etiam arcanæ visiones prudentem feminam dirigebant. « Lignum, inquit, illud vitæ est, quod sublevare desperatum infirmum valebit, immo et mortuum. » Accenditur subito spiritus ejus, et prodigium interim discrimini intercedit. Tres cruces apponuntur; exploratur et comperitur ab adorantibus tropæum invictum.

16. Ubi ergo admotæ sunt infirmo ultima patienti, aliique exanimi, excitavitque ambos crux auctoris vitæ, tum ingenti perfusa gaudio adoravit eam regina, Deoque gratias egit, clamavitque: « Plusquam millia auri et argenti, tantum thesaurum acquisivi! » Glorietur sapiens regina multum, permultum ac vehementer hac vera prorsus et tuta

cula ἢ a serie requisita. Addit vero impurus codex: ἑώρακα, λάβω etc.

14. τῇ προθυμίᾳ id. — καὶ ἀνακ. id. — ἐζήτει id. — ὡράθη id. solita melodorum licentia, pro ἑωράθη vel ὤφθη.

15. De ὑπῆρχε in hoc sensu cf. Viger, p. 309. — ὁρῶν τὰ ἀφανῆ Cr. inepte. — θνῶτα id. barbare, ut infra τεθνηκότα in trop. seq. v. 3 pro attico τεθνεῶτα. — φαν. ὁ προσκυνούμενος Cr.

16. προσήγαγεν Cr., fort. respectu continuo ad reginam. — οὗτοι καυχ. id. — iterum ὁ προσκυνούμενος· id.

ἀληθῶς καὶ ἀσφαλῶς * τούτῳ καυχάσθω· * φέρει γὰρ αὐτὴ * αἰώνιον τοῦτο μνῆμα * ἡ προσκυνοῦσα * ἀήττητον τρόπαιον.

ιζ'. Συνευφραινέσθωσαν ἡμῖν, * ἐν τῇ ἑορτῇ ταύτῃ, * προφῆται θεοφόροι, * καὶ ὅσοι τῶν δικαίων * πρὸ τοῦ σταυροῦ εἶδον σταυρόν. * Πρῶτος ῥάβδον ἔχων * ἐν τῇ χειρὶ ὁ Μωσῆς * ἔλεγεν· Τὰ παράδοξα * ἔδειξα ἐν Αἰγύπτῳ τεράστια, * θάλασσαν διεῖλον * ἐρυθρὰν εἰς διαιρέσεις, * καὶ πέτραν δὲ * ἔθηκα εἰς λίμνας· * τὰ ὕδατα Μεῤῥᾶς * ἐγλύκανα ξύλῳ, * καὶ προεῖπον τὴν ζωὴν * ξύλῳ κρεμᾶσθαι· * ὅμως δὲ κἀγὼ * εἰς θίβην βληθεὶς ἐσώθην, * ὅπερ ἡγοῦμαι * ἀήττητον τρόπαιον.

ιη'. Ἱερεμίας ὁ ἀεὶ * ὀξὺς τῇ παῤῥησίᾳ, * ἡδὺς τῇ παρακλήσει, * πολὺς τῇ προφητείᾳ, * περὶ Χριστοῦ ἀναφωνεῖ, * πρόσωπον εἰσάγων * τῶν σταυρωσάντων αὐτόν, * καὶ λέγων· Δεῦτε, ἄγωμεν, * καὶ εἰς τὸν ἄρτον ξύλον ἐμβάλωμεν. * Πάντες οἱ προφῆται * καὶ ὁ Νῶε μετὰ τούτων * ὁ δίκαιος * ξύλῳ σεσωμένος, * ὑμνοῦσι σὺν ἡμῖν * σταυρὸν τὸν δεινόν σου, * δι' οὗ γίνεται ἡμῖν * δικαιοσύνη. * Δώρησαι, σωτήρ, * δεόμεθα, διὰ τούτου * τοῖς βασιλεῦσιν * ἀήττητον τρόπαιον.

ιθ'. Νέοι Ἀζώτιοι ἡμᾶς * ἐκύκλωσαν, καὶ ἦραν * τὴν θείαν κιβωτόν σου * καὶ πόλιν τὴν ἁγίαν· * ἀλλ' οὐ παρεῖδες, ὁ Θεός. * Ἔγνωσαν καὶ οὗτοι * ὅτι σὺ εἶ μεθ' ἡμῶν, * ἡ πεῖρα γὰρ διδάσκαλος· * ἔγνωσαν καὶ θρηνοῦντες ἐβόησαν· * Πέπτωκεν ἐπ' ἐδάφους * ὁ Δαγών, καὶ συνετρίβη. * Ἀνύψωσας * κέρας ἐκλεκτῶν σου. * Μωσέως ἐπὶ σὲ * πετάσαντος χεῖρας, * κατεβλήθη Ἀμαλὴκ * ῥάβδῳ Μωσέως· * ἔδωκας ἡμῖν * πιστῶν

superbia. Ipsa enim venerabunda tenet hoc sæculorum monumentum, invictum tropæum.

17. Collætentur nobiscum in hac celebritate prophetæ divina spirantes, et quotcumque justi ante crucis tempora crucem viderunt. Primus, virgam manu gerens, Moyses dixit: «In Ægypto palam feci mirabilia: « mare disrupi rubrum hinc inde divisum, « et petram mutavi in lymphas, Merrhæ « aquas dulces ligno reddidi, et prædixi fore « ut vita a ligno pendeat. Verum et ipse ego « in fiscellam missus, evasi salvus, quam « existimavi invictum tropæum. »

18. Jeremias, vir ille semper prompto eloquio liber, solatio suavis, vaticinio grandis, de Christo protestatur, personam agens crucis carnificum, ac dicens: « Adeste, agite« dum, et in panem lignum mittamus. » Universi vates, et cum illis Noe, hic justus ligno incolumis, hymnos nobiscum texunt potenti tuæ cruci, per quam facta nobis est justitia. Per eam da, salvator, deprecamur, imperatoribus invictum tropæum.

19. Novi nos Philistæi Azotei incluserunt, et abstulerunt divinam tuam arcam et sacram civitatem. At nos non despexisti, Deus. Agnoverunt et illi te nobiscum esse, magistra enim experientia est; agnoverunt, et ejulantes exclamarunt: « Cecidit in pavi« mentum Dagon, et contritus est. » Erexisti cornu justorum tuorum. Moyse ad te manus expandente, prostratus est Amalec Moysis virga. Sic nobis dedisti fidelium imperato-

17. ἐγλύκανα, alexandrinam nota formam pro ἐγλύκηνα atticor. — θήβην Cr. Grata et inexpectata crucis imago, cui accedat mox idem Moyses in monte orans. Sed et cf. Georg. tr. 4.

18. Δεῦτε. Jerem. XI, 19. — καὶ ante εἰς om. Cr. — τὸν δεινὸν σταυρὸν id. — βασιλεῦσιν. Cf. trop. I.

19. Ἀζώτιοι. Memoratur Act. VIII, 40 civitas Ἄζωτος una e quinque præcipuis urbibus Philistæorum. Cf. Ballerini in Act. Apost. p. 71. Hi novi Philistæi, devicti et profligati, caveas ne tibi sint Agareni, qui semel urbe sancta potiti, nunquam expulsi postea fuerunt; sed cogita potius de Persis, quibus, devicto Chosroe ab Heraclio, merito aptantur quæ hic melodus commentatur. — εἰς ἔδαφος Cr. quod metrum lædit. — ὁ cod. om. ante Δαγών, de quo cf. I Reg. V.

βασιλέων νίκας, * πλῆθος εἰρήνης, * ἀήττητον τρόπαιον.

rum victorias, abundantiam pacis, invictum tropæum.

Tam multa noster habet de locis sacris, tam diligenti et patrio studio Hierosolymitana recenset, ut facile eum crederem inter Sophronium et Heliam, sed potius ante quam post utrumque, floruisse. Ea demum admove ad lyrica de cruce fragmenta superiora, nº IX, p. 472.

XXII.

DE B. VIRGINE MARIA.

I.

Η ΚΕΧΑΡΙΤΩΜΕΝΗ.

α'. Ὁ πρὸ ἑωσφόρου ἐκ Πατρὸς
ἀμήτωρ γεννηθεὶς,
ἐπὶ τῆς γῆς ἀπάτωρ
ἐσαρκώθη σήμερον ἐκ σοῦ·
ὅθεν ἀστὴρ εὐαγγελίζεται Μάγοις,
ἄγγελοι δὲ μετὰ ποιμένων ὑμνοῦσι
τὸν ἄχραντον τόκον σου,
ἡ κεχαριτωμένη.

β'. Τὸν ἀγεώργητον βότρυν
βλαστήσασα ἡ ἄμπελος,
ὡς ἐπὶ κλάδων, ἀγκάλαις
ἐβάσταζεν καὶ ἔλεγεν·
Σὺ καρπός μου, σὺ ζωή μου,
ἀφ' οὗπερ ἔγνων
ὅτι καὶ ὃ ἤμην εἰμί.
Σύ μου Θεὸς,
τὴν σφραγῖδα τῆς παρθενείας μου
ὁρῶσα ἀκατάλυτον,
κηρύττω σε ἄτροπον
Λόγον σάρκα γενόμενον.
Οὐκ οἶδα σπορὰν,
οἶδά με λυτὴν τῆς φθορᾶς·
ἁγνὴ γάρ εἰμι,
σοῦ προελθόντος ἐξ ἐμοῦ·

1. Qui ante luciferum a Patre sine matre genitus est, sine patre hodie ex te caro factus est; unde stella nuntium bonum dat Magis; angeli vero cum pastoribus canunt tuum partum illibatum, o gratia plena.

2. Racemum sine agricola ortum cum vitis germinasset, manibus veluti palmitibus, ferebat eum et aiebat: « Tu fructus meus, tu « vita mea, a quo scio esse me quod eram. « Tu Deus meus, cum videam sigillum meæ « virginitatis non solutum, prædico te, im- « mutabile Verbum, etsi caro factum. Non « novi semen, me video immunem a puer- « perii sordibus; casta enim sum, te ex me

XXII. I. Τὴν κεχαριτωμένην ut ora omnium, sic melodorum agmina perpetuo plausu salutarunt. Hic vero amœnum drama incipiebat, in quo post hymnum Virginis Jesulum salutantis, post Evæ tripudia expergefactæ, Adamus, opinor, fortasse et Isaias, Jacob, David, Joseph consurgere poterant. Pertinet enim poema ad dominicam post natalia Christi, B. Virgini et ss. Josepho, Jacobo et Davidi ascriptam, ut fert taurin. f. 50: Κυριακῇ μετὰ τὰ χριστούγεννα εἰς τοὺς κατὰ σάρκα συγγενεῖς τοῦ Χριστοῦ Δαυὶδ, Ἰωσὴφ καὶ Ἰακώβ. Tum additur κονδάκιον τῶν ἐπιλοχείων τῇ ἐπαύριον τῶν χριστουγέννων. Sed ubi cætera, post tam pauca : Ὁ ΤΟΥ ταπεινοῦ... αἶνος? Quidni Romani? Eo molestius vix incepta laus truncatur, quod unica est sive prooemii, sive hirmi melodia, neque alio quod sciam exemplo innotuit.

1. In taurin. ἦχος πλδ', αὐτόμελον. Statim agnoscantur αἱ ἀγγελικαί, ut apud Roman. XXXIX, 15.

2. Meditari ne pigeat novam allegoricæ vitis θεωρίαν, ab arcanis, opinor, symbolicæ philosophiæ canonibus repetundam. — ἀφ' οὗ ἔγνων T.

ὡς γὰρ εὗρες, ἔλιπες
μήτραν ἐμὴν,
φυλάξας σώαν αὐτήν·
διὰ τοῦτο συγχορεύει
πᾶσα κτίσις βοῶσά μοι·
Ἡ κεχαριτωμένη.

γʹ. Οὐκ ἀθετῶ σου τὴν χάριν
ἧς ἔσχον πεῖραν, δέσποτα·
οὐκ ἀμαυρῶ τὴν ἀξίαν
ἧς ἔτυχον τεκοῦσά σε·
τοῦ γὰρ κόσμου βασιλεύω·
ἐπειδὴ κράτος
τό σου ἐβάστασα γαστρὶ,
πάντων κρατῶ·
ἀνενέωσας τὴν πτωχείαν μου,
τῇ συγκαταβάσει σου
σαυτὸν ἐταπείνωσας,
καὶ τὸ γένος ὕψωσας·
εὐφράνθητέ μοι
ἅμα ἡ γῆ καὶ οὐρανοὶ,
ὅτι ποιητὴν
ὑμῶν βαστάζω ἐν γαστρί.
Γηγενεῖς, ἀπόθεσθε
τὰ λυπηρὰ,
θεώμενοι τὴν χαρὰν,
ἣν ἐβλάστησα ἐκ κόλπων
ἀμιάντων, καὶ ἤκουσα
ἡ κεχαριτωμένη.

δʹ. Ὑμνολογούσης δὲ τότε
Μαρίας ὃν ἐγέννησεν,
κολακευούσης δὲ βρέφος
ὃ μόνον ἀπεκύησεν,
ἤκουσεν ἡ ἐν ὀδύναις
τεκοῦσα τέκνα,
καὶ γηθομένη τῷ Ἀδὰμ
Εὔα βοᾷ·
Τίς ἐν τοῖς ὠσί μου νῦν ἤχησεν
ἐκεῖνο ὃ ἤλπιζον,
Παρθένον μὲν τίκτουσαν
τῆς κατάρας τὴν λύτρωσιν;
ἧς μόνη φωνὴ
ἔλυσέν με τῶν δυσχερῶν,
καὶ ταύτης γονὴ
ἔδησεν τὸν τρώσαντά με·
αὐτὴ ἣν προέγραψεν
ὁ τοῦ Ἀμώς·
ἡ ῥάβδος τοῦ Ἰεσσαί,
ἡ βλαστήσασά μοι κλάδον,
οὗ φαγοῦσα ἀνθήσομαι,
ἡ κεχαριτωμένη.

« procedente. Qualem enim invenisti, li« quisti uterum meum, integrum custodiens « eum : ideo collætatur omnis creatura « clamans mihi : O gratia plena.

3. « Haud irritam facio tuam gratiam, « quam expertus sum; haud obscuro quam « adepta sum dignitatem, dum te peperi. « Mundi namque regina sum; quando utero « gestavi dominatum tuum, omnibus im« pero. Recreasti inopiam meam, hucusque « delapsus, humiliasti te, sed meum genus « sublimasti. Exhilaremini mihi, tellus et « cœli, quia in ventre meo vestrum aucto« rem tuli. Mortales, deponite luctum, in« tuentes hoc gaudium quod germinare feci « ex intemerato sinu, ego quæ audio gra« tia plena. »

4. Hymno quum Maria salutasset eum quem genuit, blande adulata puellum, quem solum gestavit, Eva quæ in doloribus filios peperit, audivit, et lætabunda clamat Adamo : « Quæ vox auribus meis nunc illud « ipsum insonuit quod augurabar, Virgi« nem, maledicti terminum? sola est cujus « vox me ab ærumnis solvit, cujus fetus con« strinxit vulnerantem me; ipsa est quam « prænuntiavit filius Amos, virga Jessei, « quæ mihi fruticavit ramulum, quo gu« stato, efflorebo, o plena gratia. »

— δρῶσα cum elisione, ne metrum lædatur. — οἶδά σε T, perversissime mutata vocula. — ἔλειπας T.

3. εὐφράνθηται T. — ὅτι τὸν ποιητὴν T.

4. f. ἤλπιζον; παρθένος μὲν τίκτουσα. — γηθόμενος T inepte.

II.

DE BEATA VIRGINE ASSUMPTA.

α'. Ἀφ' οὗ μετέστης τῶν ἐκ γῆς,
πλέον ἐπέστης τοῖς ἐν γῇ,
ἄχραντε Θεοτόκε·
μέρος γὰρ εἶχέ σε κόσμου,
ζώσης σου σαρκί·
πλέον δὲ κόσμος ἄρτι
ἔχει σε καταφυγὴν,
τὴν ἐν μητράσι Παρθένον.

β'. Ὡς πολυτίμητον
θησαύρισμα ζωῆς,
καὶ μετὰ κο[ίμησιν]
ἐν ζῶσί σε, ἁγνὴ, μακαρίζομεν,

1. Ex quo migravisti e terra, terrigenis præsentior adfuisti, illibata Dei genitrix. Ut enim orbis te sui partem habuit, dum in carne vivebas, sic et amplius nunc præsidium mundus te possidet, Virginem inter matres.

2. Ut longe pretiosum vitæ thesaurum, te inter vivos, sic etiam post tuam *dormitionem*, o casta, celebramus, *in te* confidentes, o Deipara; quam enim inhabitans Verbum sanctificavit, mundo *eam dedit* propitiam, Virginem inter matres.

XXII. II. Desperatum si quid est, inter tot alia ex nostris nullo medicamine sananda, ἀνίατον duxi, quod nunc profero, quum excisis scelesteque laceratis membranis, pars fere media exciderit, neque spes alterius codicis ulla affulgeat. Nec placuit opus, quod arduum, sed quia eximium est. Nec mihi calcar id solum addidit, quod facile movet in admirationem, nobilissimum de Virgine assumpta argumentum. At præstans per se opus est: amœnum exordium; triplex procemium, ut vetustissima solent; ephymnion breve, a stropha, ut ab arcu sagitta, ejaculatum; metrum alacre, succisum et amplum; dictio nitida, æquore pellucidior; homerica phrasis, sed sobria, acuminum parca, quæ vel Romano nimium placent; series totius poematis tam apte connexa, ut id ipsum quod a prima fronte renidet, adhuc in coronide floreat; tanta demum melodi modestia, ut ne quidem de se uti peccatore, quidquam, sive in exordio, sive in clausula, proponat, præter omnium a Romano constantem consuetudinem: nisi quod, ut jam lector diligens adverterit, in acrostichide, post arcanas litteras A. Ω. T. humillime additur τοῦ ἁμαρτωλοῦ τὸ ποίημα. Quid ergo?

An hic latet nomen? sed omnium, maxime monachorum, promiscuum agnomen est *peccator*. An cogitandum de Georgio Hamartolo, cujus insigne chronicon nuper cl. Ed. de Muralt edidit (Petropoli, 1859)? an de Studita, qui hujusmodi obscura vocabula affectat? Immo vero alia hæc vena prorsus est quam Theodori et post eum cujuscumque serioris. Vix altius quam a tota Romani schola, originem non repetundam haberem, ut ascendam usque ad priscos illos Anthimum, Timoclem, Anatolium, quorum frustra vel minima in his poematibus vestigia hactenus exquisivi.

Nunc vero de reductis vulneribus pauca. Non arte, nec dato consilio, sed casu contigit, ut quum diu medelam qualemcumque luxatis locis alligassem, vir quidam peritus, quem sæpe memini, iisdem lacunis proprio marte suppleret. Collatis deinde studiis, eadem fere ultro citroque ita conspiraverunt, ut, nimia formidine deposita, totum opus in lucem redintegratum proponere magis ac magis auderem. Sed quo lector melius de fausta infaustave temeritate pronunciet, sub oculis habebit, ut spero, ad calcem voluminis folius unius discerpti imaginem ab ipsa heliaca luce φωτογραφικῶς, ut aiunt, expressam. Extat porro canticum in corsin. f. 143-146, post simile de quo infra, Cosmæ canticum, ad XV diem augusti, 2° loco, cum hac epigraphe: ἕτερον κονδάκιον τῆς κοιμήσεως, ἦχ. δ', φέρον ἀκροστιχίδα· Τοῦ ἁμαρτωλοῦ τὸ ποίημα.

1. Vetusta, ut dixi, solent esse ac cæteris insigniora, quæ tribus ornantur procemiis, tum maxime si αὐτόμελα sint. — Facile quis malit ζῶσάν σε, f. et intellexerit: « pars mundi (Judæa) te habuit vivam, nunc mundus, etc. » Cui faveret ἅπας δὲ κόσμος.

2. In lacuna secunda primum volui λόγοις σου,

οἱ πεποιθότες [ἐπὶ σοὶ], Θεοτόκε·
ἣν γὰρ ὁ Λόγος οἰκήσας καθηγίασεν,
ἔδ[ωκε τῷ] κόσμῳ σωτηρίαν,
τὴν ἐν μητράσι Παρθένον.

γʹ. Τίμιος ἐναντίον σου γέγονεν
ὁ θάνατος τῆς ἀσπόρως τεκούσης σε,
Χριστὲ ὁ Θεὸς,
ὑπὸ ἀγγέλων εὐφημουμένη,
ὑπὸ ἀποστόλων κηδευομένη·
αὐτὸς γὰρ, ἀγαθὲ,
ἐμφανῶς ἐδόξασας
τὴν ἐν μητράσι Παρθένον.

δʹ. Τῇ Μαριὰμ ἄγγελος ἄλλως
ἐπέστη πάλιν,
οὐκ εἰς πόλιν Ναζαρὲτ, ὥσπερ τὸ πρώην,
ἀλλ' ἔνθα τὰ ἴδια
ἐκέκτητο ὁ Ζεβεδαίου·
σαφῶς γὰρ τὸ κατ' ἐκεῖνον σύγγραμμα
δείκνυσιν ὅτι
ὁ Λόγος, [ὃς] σὰρξ ὑπάρχει,
ὅτε τὸ πάθος
ὑπέμεινεν ἑκουσίως,
ἰδὼν ἐκεῖ τὴν μητέρα
ἑστῶσαν πρὸς τὸ ξύλον,
καὶ τὸν μαθητὴν
ὃν ἠγάπα πλησίον,
τῇ τεκούσῃ μέν· Ὦ γύναι,
ἰδ[οὺ], φησὶν, ὁ υἱός σου·
τῷ μαθητῇ δὲ καὶ φίλῳ
εἶπεν· Ἰδοὺ ἡ μήτηρ σου·
δεῖξον εἰς αὐτὴν
τὰ πρὸς γονέα,
οἰκείτω παρὰ σοὶ,
Θεοτόκος σὺν Θεολόγῳ,
ἀνδρὶ παρθένῳ
ἡ ἐν μητράσι Παρθένος.

εʹ. Ὁ δὲ σταλεὶς ἄγγελος τότε
ἐλθὼν τὸ τάχος,
καὶ εἰς δόμον εἰσελθὼν τοῦ Ἰωάννου,
εὑρίσκει τὴν ἄμωμον
τὰ σύντροφα ἔργα τελοῦσαν,
φωναῖς ᾆσμα, καὶ χερσὶν ὑφάσματα·
πρόσωπον βλέπει
μεθύον τῇ ἐγκρατείᾳ,

3. Pretiosa in conspectu tuo, Christe Deus, facta est mors ejus, quæ te sine semine peperit, quam angeli fauste salutaverunt, cui parentarunt apostoli. Tu ipse enim, o bone, splendide gloriosam fecisti Virginem inter matres.

4. Iterum Mariæ alium ferens nuntium angelus astitit, non jam ut antea in civitate Nazareth, sed ubi sua possedit Zebedæi filius. Aperte enim scripta secundum eum docent : Postquam Verbum, caro factum, sponte pati sustinuit, cum illic cerneret matrem stantem juxta lignum, et discipulum quem diligebat proximum, matri quidem suæ : « O mulier, inquit, ecce filius tuus! » Discipulo autem et amico dixit : « Ecce mater tua! Illi ostende filii officia; juxta te inhabitet, Deipara cum Deiloquo, cum viro virgine Virgo inter matres. »

5. Missus autem angelus, tum cito adveniens, ingressusque domum Joannis, invenit immaculatam consueta opera exsequentem, voce canticum, manibus textilia. Vultum intuetur abstinentia renidentem, quo vita angelica terreno etiam in corpore perspicue comperitur. Ait ergo ad pulcher-

respectu ad Luc. I, 48 et trop. 12, 3, et favente more melodorum.

3. Τίμιος. Ps. CXV, 15. Cf. trop. id. 12. — ἀγαθὲ sic absolute nullibi Romanus habet, raro cæteri, sed cf. anep. V, 8; VII, 2, quæ ejusdem melodi esse queunt. — Expectaveris εὐφημουμένης, κηδευομένης.

4. ἄλλως sic C, nec temere pro ἄλλος, ut idem Gabriel sit, altera vice, et inchoandæ et coronandæ maternitatis divinæ nuntius. — ἴδια. Joan. XIX, 25-27. — ἑκουσίως veteris scholæ tessera est, sicuti et concinna pagellæ sacræ recitatio, et venustissimum ephymnion. — προσγενέα uno verbo f. cod. et eodem sensu, ea quæ ad parentem spectant, pietatemque filii decent.

5. φωναῖς ᾆσμα κ. χ. ὑφάσματα. Quid pulchrius, vel in Odyssea? παγκάλλῳ C. — ὑπάρχειν C. — ἔχεις C. — οἷαν sic C, nec mutabis in οἵαν, si

ἄσαρκον βίον
ἐν σώματι καὶ γεώδει
τρανῶς ἀπηκριβωμένον.
Φησὶν οὖν τῇ παγκάλῳ·
Ὦ γύναι σεμνή,
οὐκ ἐκ τύχης, οὐ μάτην
ἐπελέχθης ἐκ μυρίων
πρὸς τὸ τεκεῖν σου τὸν πλάστην·
ἀλλὰ τοῖς ἔργοις μηνύεις
τὸ ἀσφαλὲς τῆς κρίσεως,
οἷα περὶ σὲ
βλέπειν ὑπάρχει·
ὅθεν, [ὦ] Μαριάμ,
σέβας ἔχει εἰς σὲ ὁρῶντα,
ἐκπλήττομαί σε, ἡ ἐν μ. Π.

ς'. [Ὑ]πὸ διττοῦ φόβου κρατοῦμαι
νυνὶ, Παρθένε,
καί μοι διχόνο[ια] ὑπέστη εἰκότως·
εἰ γάρ σε τεθνήξεσθαι,
τοιαύτην ὑπάρ[χου]σαν, εἴπω,
θαυμάζω εἰ μὴ ψευδὲς λαλήσαιμι·
φόβος [δὲ ἄλλος]
ἀνθέλκει με πρὸς τὸν λόγον·
ἂν γὰρ ἀπέλθω
τὸ [τάγμα οὐ]κ ἐκτελέσας,
διὸ ἐστάλην ἐνθάδε,
τὸν πέμψαντα λυπήσω·
ἀνάγκη οὐκοῦν
[τὸ] σφοδρότερον ὥσ[περ]
σπουδαιότερόν με κρῖναι
τῆς περὶ σὲ εὐλαβείας·
τὸ γὰρ μὴ εἴκειν τοῦ πλάστου
ἀπανταχοῦ τοῖς νεύμασι,
λίαν χαλεπὸν
φύσεσι πάσαις·
ἄκουσον [οὖν] εὐθὺς
ἅπερ φάναι σοι ἐκελεύσθην,
καὶ πάντα σύνες,
ἡ ἐν μητράσι Παρθένος.

ζ'. Ἀναληφθεὶς ἤδη, ὡς οἶσθα,
Χριστὸς γεόθεν,
ἄνω κάθηται, νῦν καὶ εἰς τοὺς αἰῶνας,
γενέτου ἐν δεξιᾷ·
αὐτὸς πρὸ τοῦ θρόνου με στῆναι
κελεύσας, τοιούτοις λόγοις ἔφησεν·
Ἄπιθι κάτω,
καὶ φάνηθι τῇ Παρθένῳ,
ἧς προειλόμην
υἱὸς εἶναι [ἑκουσίως],
καὶ λέξον τῇ ἀμιάντῳ·
Ὁ πάλαι ἐνδημήσας
πρὸς σὲ βουληθεὶς,
ἐκδημῆσαί σε θέλει
πρὸς αὐτόν, ἵνα [σκεπάζῃς

rimam: « O mulier augusta, non fortuito, « nec frustra ex decem millibus electa fuisti, « quæ creatorem tuum ederes. Verum et « operibus significas, quam tutus ille de- « lectus fuerit, sicut nunc in te cernere est, « unde, o Maria, reverentiam habes te su- « spicientis, obstupesco de te, o Virgo inter « matres. »

6. « Duplex nunc timor tenet me, Virgo, « neque mihi immerito *ambigendum:* si « enim te, cum tanta *sis*, morituram dico, « vereor ne quid mendacii eloquar. Haud « modica *autem alia* formido in hunc sermo- « nem me trahit. Si enim abiero, *quin præ-* « *ceptum* illud cujus gratia legatus sum, ex- « sequar, mittentem me offendam. Necesse « ergo est id eligere quod gravius est, *quum* « *id* magis urgeat quam mea in te pietas. « Haud enim obedire in quocumque loco « nutibus creatoris, nimis arduum est qui- « busvis respirantibus. Audi *ergo* mox quod « tibi fari jubeor, et cuncta excipe, tu in « matribus Virgo. »

7. « Assumptus jam, ut nosti, Christus e « terra sursum, sedet nunc et in sæcula Pa- « tris ad dexteram. Ipse me throno coram

respicis ad ἔργοις. — Placeret τὴν ἐν μ. Παρθένον, causa scilicet admirationis declarata.

6. Mel. pro rhythmo εὐθὺς οὖν ἄκουσον.

7. ἄπειθι C. — γενέσθαι υἱὸς εἶναι sic C. Sed γι-

εἰς τὸ] λοιπὸν τοὺς τοιούτους·
ταύτην γὰρ ἐπαγγε[λίαν
τοῖς μα]θηταῖς παρέσχετο·
ὅταν ὑψωθῶ,
λέγων, ἑλ[κύσω
αὐτοὺς] πρὸς ἐμαυτὸν,
ἵνα βλέπωσι τὴν χαράν μου,
[ταῖς ἱκεσίαις]
τῆς ἐν μητράσι Παρθένου.

η'. Μετ' οὐ πολλὰς ταύτας ἡμέρας, παγκο-
τὸ πέρας ὄψ[ει (σμία,
πάντων τῶν μου] πρὸς σὲ λόγων,
οὐ νόσος δι[αφθερεῖ
ζωὴν], οὐ λύπη, οὐκ ὀδύνη·
ἀλλ' ὥσπερ πᾶσι, [καὶ σοὶ ἡ κοίμησις]·
τοῦτό σοι ἔσται
τοῦ τέλους ἡ παρουσία,
[αὕτη ἡ παῦσις
τῶν] θλίψεων τῶν ἀπείρων·
ἡ πεῖρα ἀ[φοβωτάτη
ἐσχάτων] ἀθλημάτων·
ἐκρίθης μοιχὰς
ἐκ[συκοφαντῶν φθόνου],
ὡς ὁ νόμος Μωϋσέως
βούλεται ἀπο[κτείνειν σε·
τόπος] οὐκ ἦν σοι τεκούσῃ.
Ποῦ τὸ παιδί[ον δὲ πόῤῥω
βαστάζεις εὐ]θὺς
φόβῳ Ἡρώδου;
ἀλλά μοι οὐκ [ἂν
ἔξεστιν εἰπεῖν] ἡγουμένῳ
τὰς σὰς βασάνους
τῆς ἐν μητράσι Παρθένου.

θ'. Ἀνελλιπῶς ἤδη τὸ ἔργον
τετέλεσταί μ[οι,
διὸ ἐγὼ πρὸς] σὲ νῦν ἐξαπεστάλην·
ἀλλ' ἄρτι μὲν ἄ[πειμι
κατοικεῖν εἰς] ὅλους αἰῶνας,

« sistere jubens, in hæc verba locutus est : « Ito deorsum, et conspicuum te fac Virgini, cujus elegi *lubens* filius fieri, ac dicito illibatæ : « Qui olim voluit ad te migrare, te apud ipsum nunc hospitari vult, « ut deinceps istos *tuearis:* hanc enim *promissionem discipulis* adhibuit, dicens : « Cum exaltatus fuero, *traham eos* ad meipsum, ut meam videant gloriam, *precibus* Virginis inter matres. »

8. « Haud multos post hos dies, exitum « *videbis omnium rerum quas ego* tibi nuntio, mundi regina. Vitam *non minuet* « morbus, nec luctus, neque dolor. Sed « sicut omnibus, *sopor tibi erit;* hic tibi terminus, *hæc cessatio* immensarum ærumnarum; hæc probatio *minime formidanda* « *ultimorum* certaminum. Adultera judicata « es *ab invidia calumniantium*, ac si lex « Moysis juberet interficere *te. Locus* non « erat tibi parturienti. Tum quonam *debuisti* « *procul et subito auferre puerum*, metu Herodis? At mihi *vox deficeret* recogitanti « tuos cruciatus, o inter mulieres Virgo. »

9. « Jam ex integro opus perfectum mihi « est, *pro quo* ad te nunc *ego* missus sum. « Superest mihi ut *revertar mansurus, per* « cuncta sæcula, apud universos socios angelos. » *Surgit Maria,* mentis gaudio exuberans, *manusque attollit sursum*, et loquitur in hunc modum : « Nescio, o Domine, *quibus* « *te canticis canam et* laudibus. Dicendo non « sum quæ tuis digna sint donis, famulæ « tuæ collatis præ omnibus cæteris hominibus. Quid tibi, salvator mi, offeram? quid « in te primum mirabor? quid alterum? quid

νέσθαι tribus supponitur punctis, quasi expungendum. — ἑλκύσω. Joan. XII, 32, ex quo πάντα vel πάντας πρ. ἐ placeret, si per rhythmum licuisset. — Vix non malim χαράν μου καὶ τῆς τεκούσης.

8. οὐ κινδύνος C, læso acc. Solent librarii ultimam in οὐκ litteram jungere cum seq. vocali, inde multus error. — f. ἄρτι τελεῖται ἐσχ. ἀθλημάτων. — Mox quædam respicit apocrypha, in quibus purissima Virgo refertur juxta legem probata fuisse ob adulterii suspicionem, sicque declarantur sequentia satis obscura. — φόβου C. — ἡγουμένου C.

9. μαρία ut mox ἁγιωτάτη contrahitur. — ὧνπερ παρέσχες C. — τί τὸ τελ. C.

μεθ' ὅλων τῶν συναγγέλων. [Ἵσταται
Μα]ρία, τὴν φρένα
χαρᾶς πλησθεῖσα, [τὰς χεῖρας
αἴρει εἰς ὕ]ψος,
καὶ λέγει οὕτως· Οὐκ οἶδα,
Δέσποτα, πόσ[οις σε ὕμνοις
δοξάζειν καὶ] ἐπαίνοις,
οὐκ ἔχω εἰπεῖν
ἐπαξίως τῶν δώρων
ὧν παρέσχες μοι τῇ δούλῃ
ὑπὲρ τοὺς ὅλους ἀνθρώπους.
Τί σοι, σωτήρ μου, προσάξω;
τί σου θαυμάσω πρότερον;
τί τὸ μεταξύ;
τί τελευταῖον;
Ἐξ ὅλων μοι ἀρκεῖ,
ὅτι σου τοῦ ποιήσαντός με
ὑπάρχω μήτηρ,
ἡ ἐν μητράσι Παρθένος.

ι'. Ῥήμασιν οὖν ὅτε τοιούτοις
Χριστὸν αἰνοῦσα
ἔληξε τῶν τῆς εὐχῆς, ἡ ἁγιωτάτη
εὐθὺς μεταπέμπεται
τοὺς φίλους καὶ τοὺς ἐν τῷ γένει,
πιστοὺς ὄντας, καὶ φησὶ πρὸς ἅπαντας·
Ἄνδρες, γυναῖκες,
ἐν γάμῳ καὶ παρθενίᾳ,
γέροντες, νέοι,
θεράποντες τοῦ υἱοῦ μου,
ἀκούσατε [τῶν μου λόγων],
καὶ γνῶτε τίνος χάριν
νυνὶ ὑπ' ἐμοῦ
με[ταπέμπεσθε] ὧδε·
τὸ γὰρ πέρας ἐφεστήκει
τῆς ἐν βίῳ [παρουσίας,
καὶ] δι' ἀγγέλου ἐπέγνων
πότε καὶ πῶς ἐκβήσομαι
[ἀπὸ τῆς] σκηνῆς,
ἣν νῦν ὁρᾶτε·
ὡς φίλοις οὖν ὑμῖν
[τὰ ἀγγέλ]ου ὡς διαθήκας
ἐκφαίνω ἄρτι
ἡ ἐν μητράσι Παρθένος.

ια'. [Ταύτας οὖν οὐ πολλ]ὰς ἡμέρας,
ἐνέδωκέ μοι
ἐν τῷ σκήνει [τούτῳ μου ἔτι ἐμ]μεῖναι·
αὐτοὶ δὲ προσμείνατε,
καὶ πεῖ[ραν λόγων πάντων] γνῶτε,
αὐτόπται καὶ ὑπηρέται γίν[εσθε,
εἴπατε ἃ ἔφη]
Χριστὸς περὶ τὴν μητέρα.
Ὅταν δὲ λίπω

« ultimum? Omnino mihi satis sit illud, « quod mater creatoris mei ego sim, Virgo « inter matres. »

10. His ergo verbis quum sanctissima Christum celebravisset, peractis precibus, statim accersit amicos et propinquos, quotquot fideles, et omnibus ait : « Viri, mulie« res, tam conjuges quam virgines, senes, « juvenes, famuli filii mei, audite *mea verba*, « et agnoscite cujus rei gratia nunc juxta « me omnes huc *convocemini;* finis enim ad« est mei in hac vita *incolatus. Id quippe* « ab angelo didici, quando et quomodo re« cedam *ab hoc* tabernaculo, quod cernitis « nunc; vobis igitur ut amicis, *angeli verba* « tamquam testamenta statim aperio, ego « Virgo inter matres. »

11. « *Paucos igitur hos* dies, mihi da« tum est in hoc tabernaculo *adhuc perma« nere :* vos vero perseverate, et scitote « *eventu comperta fore omnia verba;* testes « ab oculis famulique *estote; narrate quæ « dixit* Christus de matre sua. Quando vero « reliquero *vos, vobiscum permaneo*, nemo « me lugeat nimis, *nemo vestrum mœreat.* « Mors enim sanctorum Domini *pretiosa co« ram* terrigenis conspicitur. Verum in *psal« mis et canticis* exultantes spiritu, edite

10. f. ἀκουσ. ἀκριβῶς μου. — νῦν ὑπ' ἐμοῦ C.

11. Multa infra apud Cosmam similia, sed in hæc valedicentis Virginis verba συντακτήρια tot lacunas incidisse dirum est. — τίμιον. Iterum ps. CXV, 15, ut in trop. 3. — ψαλμοῖς. Cf. Ephes. V, 19. — ἐξόδου. Tot lacunis supplere cum ar-

[ὑμᾶς, σὺν ὑμῖν ὑπ]άρχω,
μηδείς με ἄγαν πενθήσῃ,
[μηδεὶς ὑμῶν λυπή]σῃ·
ὁ θάνατος γὰρ
τῶν ὁσίων Κυρίου
[τίμιόν τι ἐναντί]ον
τῶν ἐπιγείων ὁρᾶται·
ἀλλ' ἐν ψαλ[μοῖς καὶ ὕμνοις]
ἀγαλλιῶντες πνεύματι,
στείλατε σεμνῶς
[εὐχὰς ἐξόδου,
ὡς φίλ]οις τοῖς ὑμῶν,
καὶ τῷ ἔθει τῆς ἐκ[κλησίας
κηδεύ]σατέ με,
τὴν ἐν μητράσι Παρθένον.

ιβ'. [Ὦ μου υἱοῦ σύμβ]ουλοι φίλοι,
ἐγὼ μὲν ἔγνων
ὅτι αἱ γενε[αὶ πᾶσαι μα]καρίαν
ἀεί με λογίσονται·
ὑπνώσατε [ἐπιθαῤῥοῦντες
ἐλ]πίδι τῆς ἀθανάτου χάριτος·
σπεύσα[τε πάντες
ἐμ]οὶ ἐπακολουθῆσαι.
Γένος γινώσκω,
τοὺς τρόπους μοι συνημμένους·
εἰ φύσει μοι κοινωνεῖτε,
συνάφθητε καὶ πράξει·
κἀγὼ γὰρ σαφῶς
ἐκ τοῦ τέκνου μαθοῦσα,
τῶν αὐτῷ ὑπακουόντων
τὴν ἀγχιστείαν ἐροῦμαι·
ἐὰν τοιοῦτοι φανῆτε
οἷος αὐτὸς βεβούληται,
τότε ἀδελφοὺς
ὄψομαι πάντας,
ὅταν ἐξ οὐρανοῦ
ἔλθῃ κρῖναι τὴν οἰκουμένην.
Τοιαῦτα ἔφη
ἡ ἐν μητράσι Παρθένος.

ιγ'. Λέγουσαν δὲ ταῦτα ὁρῶντες
οἱ συνηγμένοι,
ἅπαντες κατηφεῖς καὶ δακρυῤῥοοῦντες
αὐτόθι ἐκάθηντο·
καὶ δὴ μεταξὺ Ἰωάννης,
ὁ μέγας ἐν ἀποστόλοις, ἔρχεται·
θάμβους δὲ πλήρης
ὑπῆρχε, κατανοήσας
τοὺς ἠθροισμένους,
καὶ ἤρετο τὴν αἰτίαν.
Μαρία δὲ πρὸς ἐκεῖνον·

« cum decore *supremas preces sicut pro amicis* vestris, et juxta *Ecclesiæ* ritum, *sepelite* me, inter matres Virginem. »

12. « *O nati mei famuli* dilecti, ego quidem novi quod generationes *omnes beatam* me semper æstimabunt, requiescite, *firmiter confidentes in spe* immortalis gratiæ; *studete omnes me* sequi : generis haud ignara, novi mores meæ conditionis. Si naturæ meæ participes, estote mecum et gestis unanimes. Ego enim ut a filio didici manifeste, quanta sequentes eum hæreditas maneat, eloquar. Si tales vos ostenditis, quales ipse voluit, tum fratres vos omnes videbo, quando ipse de cœlo veniet orbem judicaturus. » Hæc dixit Virgo inter matres.

13. Sic locutam dum considerant qui convenerunt, cuncti vultu demisso, fusisque lacrymis, illic consederunt. Interea Joannes, inter apostolos magnus, ingreditur. Stupore correptus erat totus, agnoscens huc convocatos, et cur venissent anquirebat; ad quem Maria : « Noli turbari, inquit; verum « edoceare tu quoque cum illis, me cito « transferendam esse ex hoc pulvereo domicilio, ac propterea quos vides, apud me « collegi. Tu vero cito vade ad cæteros, et

duum sit, fit respectus ad preces in obitu solitas, quæ vocantur ἐξοδιαστικά.

12. γενεαί. Iterum Luc. I, 48. — σπεύσατε, παῖδες, in tr. 18.

13. Ὁ Ἰωάνν. C. Nisi ὁ tollatur, Ἰωάννης erit trisyllab. Quamvis melodus fere totus pendeat a circumlata Mileti Laodiceni historia, hic plura de suo aut ex alio fonte addit. — πρὸς αὐτὴν C.

Μηδὲν ταράττου, ἔφη·
διδάχθητι δὲ
καὶ αὐτὸς μετὰ τούτων,
ὅτι τάχιστα μεταίρω
ἐκ τῆς πηλίνης οἰκείας,
καὶ διὰ τοῦτο οὓς βλέπεις,
πρὸς ἑαυτὴν συνήγαγον·
τρέχε δὲ καὶ σὺ
πρὸς τοὺς ἑτέρους,
καὶ δεῦρο σὺν αὐτοῖς,
ὅπως πάντες ἀποδημοῦσαν
ἀσπάσησθέ με,
τὴν ἐν μητράσι Παρθένον.
ιδ'. Ὁ δὲ πολὺς ἐν θεολόγοις
ἀκούσας ταῦτα,
τύπτει στῆθος ταῖς χερσὶ, λέγει δα-(κρύων·
Προβλέπων σε, ἄχραντε,
τὸν σὸν υἱὸν βλέπειν ἐδόκουν,
καὶ λύπην μοι διαστὰς οὐ λέλοιπεν·
ἂν δὲ ἀπέλθῃς
καὶ σύ με ἐγκαταλείπῃς,
τῇ κεφαλῇ μου
τίς δώσει πηγὰς δακρύων;
διδάσκοντα γὰρ οὐκέτι
τὰ δέοντά με ἕξω·
οὐκέτι σὺν σοὶ
αὐλιζόμενος χαίρω,
οὐ παράδειγμα τοιοῦτον
καλλιεργίας εὑρήσω.
Τί μοι ἀπάρτι βιῶσαι;
ποῦ τό· Ἰδοὺ ἡ μήτηρ σου;
Δείλαιος ἐγὼ
χρόνον τὸν ὅλον
ἔσομαι τῆς ζωῆς,
καὶ ὁ φθόνος γελάσει με χαίρων,
ἀφίστασαί μοι
ἡ ἐν μητράσι Παρθένος.
ιε'. Ὑπὸ σφοδρᾶς τῆς ἀθυμίας
εἰπεῖν τοιαῦτα
βιασθεὶς ὁ θεολόγος τῇ Μαρίᾳ,
μηνύσων ἀπέρχεται
τὴν κοίμησιν ταύτην τοῖς ἄλλοις,
ὡς ἂν τάχος πρὸς αὐτὴν συνδράμοιεν·
καὶ εἰσελάσας
εἰς δόμον τὸν Ἰακώβου,
ὃς καὶ ἐκυβέρνα
ὁσίως τὴν ἐκκλησίαν
τῆς πόλεως τῆς ἁγίας,
δηλοῖ διὸ ἀπῆλθεν·
Ὁ δὲ παρευθὺ

« adeste hic cum illis, ut proficiscentem « me omnes salutent inter matres Virgi- « nem. »

14. Ex theologis summus ille vir, hæc ubi audiit, pectus percutiens manibus, flens dixit: « Prospiciens te, illibata, tuum videre « filium videbar, nec me, cum recessit, in « luctu reliquit. Tu vero si abieris, meque « tu dimiseris, quis capiti meo dabit fon- « tes lacrymarum ? Qui me enim doceat « quæ oportet, non habebo amplius, neque « ultra tecum in eadem aula lætabor. Jam « simile nobilis operis exemplum haud in- « veniam. Quorsum ego solitarius vivam ? « Ubi vox : Ecce mater tua ! Miser ego ma- « nebo per totum vitæ spatium, meque de- « ridebunt invidi, læti procul a me abivisse « Virginem inter matres. »

15. Animo vehementer commoto, hæc ubi dicere ad Mariam coactus theologus fuit, recedit nuntiaturus cæteris ultimum hujus soporem, ut ad eam cito concurrant: ingressusque in domum Jacobi, a quo et sancte regebatur sacræ urbis ecclesia, exponit cur venerit. Hic vero statim Petrum commonefacit cæterosque apostolos, quotquot ibidem commorabantur: « Adeste, inquit, sol- « vamus honores corpori in quo divina na- « tura recepta est, et electæ mulieri inter « millia, ut innupta pareret ante ipsam ge-

14. δακρύων iterum ἀσυνδέτως. — δακρύων. Jerem. IX, 7. — καὶ ὁ φθόν. nisi elidatur, v. abundat, aut omisso με χαίρων, legendum : γελάσει ὅτι ἀφίστασαί μοι.

15. ὃς καὶ ἐκυβ. C, altera versione. — ἐξηλεγμένην C.

μεταστέλλεται Πέτρον,
καὶ τοὺς ἄλλους ἀποστόλους,
ὅσοι αὐτόθι κατῴκουν·
Δεῦτε, τιμήσωμεν, λέγων,
θείας δοχεῖον φύσεως,
καὶ τὴν ἐκ πολλῶν
ἀπειρογάμως
τεκεῖν τὸν πρὸ αὐτῆς
γεννηθέντα ἐξειλεγμένην.
Ἀξία δόξης
ἡ ἐν μητράσι Παρθένος!

ιϛ'. Τῶν δὲ ῥητῶν τοῦ Ἰακώβου
ἀκούσας Πέτρος,
λέγει τῷ ἱερεῖ καὶ συναποστόλῳ·
Καλῶς, ἀδελφόθεε,
ἀεί τε καὶ νῦν ἐκδιδάσκεις·
γενέσθω ἅπερ ὀρθῶς διέγνωκας.
Ἔρχονται πάντες
σπουδαίως πρὸς τὴν Μαρίαν,
οὓς ἡ Παρθένος
πρεπόντως ἀσπασαμένη,
προτρέψασα δὲ καθίσαι·
Ἠκούσθη πάντων, ἔφη,
τὸ δόξαν Θεῷ
εἰς ἐμὲ γεννηθῆναι·
τῷ υἱῷ γὰρ ἐγὼ εἶπον
τῷ τῆς βροντῆς, ἵνα εἴπῃ·
κἀμοὶ ἐφόδια δότε,
ἃ καὶ ποθῶ καὶ ἔχετε·
εὔξασθε μητρὶ
τοῦ διδασκάλου,
τοῦ διδάξαντος ὑμᾶς,
ἁλιεῖς τῶν τῆς γῆς ἰχθύων·
καὶ σώζεσθέ μοι,
τῇ ἐν μητράσι Παρθένῳ.

ιζ'. Ὁ δὲ σοφὸς τῶν ἀποστόλων
χορὸς αὐτίκα
λέγει πρὸς τὴν Μαριάμ· Παρθενομῆτορ,
ἡμῶν ὑπερεύχεσθαι
τὴν σὴν ψυχὴν δέον, καθότι
εἰς ἄκρον ἔδραμες τελειότητος,
καὶ τῆς παρ' ἄλλων
οὐ δεῖσαι λοιπὸν ἐννοίας.
Τότε Μαρία,
βλεπόντων τῶν ἠθροισμένων,
μνημείῳ παρακειμένῳ
τὸ δέμας ἀνακλίνει·
ἐκτείνασα δὲ
καὶ τοὺς πόδας εὐθέως,
ἐπ' ἀλλήλαις τῇ κοιλίᾳ
χεῖρας τιθεῖ τὰς ὁσίας,
ἄνω τὰ ὄμματα πέμπει,
μετὰ σιγῆς προσεύχεται,
δίδωσι ψυχὴν

« nitum. Gloria digna est Virgo inter ma« tres. »

16. Cum Jacobi verba Petrus audiit, pontifici et apostolo ait : « Optime, Dei frater, ut « semper, sic nunc doces ; fiat quod recte di« judicasti. » Omnes procedere festinant ad Mariam, quos reverenter Virgo salutavit, et invitans ut sederent : « Ab omnibus auditum « est, inquit, quod in me fieri Deo placuit. « Ut hoc enim dicat, ego verba feci filio « tonitru. Jam mihi ultima date viatica, « quæ opto et penes vos sunt. Suffragamini « matri hujus magistri, qui doctrina sua « piscatores vos fecit piscium orbis, et va« lete mihi inter matres Virgini. »

17. At sapiens apostolorum chorus continuo ait ad Mariam : « Virgo mater, pro « nobis oret anima tua oportet, ut quæ in « fastigium properavisti perfectionis, ne« que prorsus indiges aliena sollicitudine. » Tum Maria, dum intuentur qui convenerunt, in monumento juxta posito corpus reclinat; extendensque statim pedes, ambas manus venerabiles decussatas in sinu ponit, sursum mittit oculos, in silentio precatur, animam illi dat a quo recepit, nullaque

16. ἐκδιδάσκει C. — Μαριὰμ C. — πάντων ὡς sat confuse C, et cætera minus liquent : ἠκούσθη πάντως (sic) ἔφη τῷ δόξαν Θεῷ C, quod diu torsit. — τοῦ ante διδάξ. abundat, sed syntaxi requiritur.

17. ὢ παρθενομ. C. Hæc unica strophe sat erit ut melodus nulli impar censeatur. — οὐ δεῖσαι

τῷ δεδωκότι,
χειρὸς δὲ μηδαμῶς
ἁψαμένης, καλύπτει βλέμμα,
καὶ πτύσσει στόμα,
ἡ ἐν μητράσι Παρθένος.

ιη'. Πρὸ τοῦ δὲ τὴν πάναγνον σάρκα
δοθῆναι τύμβῳ,
οἱ Ἑβραίων ἱερεῖς καὶ Φαρισαῖοι,
μαθόντες τὰ δρώμενα,
ὀτρύνουσι τὴν νεολαίαν
εἰς θόρυβον, ἐκ μανίας λέγοντες·
Σπεύσατε, παῖδες,
ὑβρίζεται [γὰρ] ὁ νόμος·
τάφος τὸ σῶμα
μὴ δέξηται τῆς Μαρίας·
τὸν πλάνον γὰρ ἐκ πορνείας
συνέλαβεν ἐκεῖνον·
καὶ φαῦλοι αὐτοῦ
μαθηταὶ μηχανῶνται
ἀπειράνδρου τῇ βεβήλῳ
περιποιεῖν ὑπολήψεις.
Μὴ οὖν ἡμῶν ἀμελούντων,
κατ' [αὐτῶν] γνώμην πράξωσι·
λύσατε αὐτῶν
τὴν συμμορίαν·
θανοῦνται καὶ αὐτοὶ,
πρὶν [ἢ] δείξουσι κόσμον ὅλον
τιμᾶν μοιχάδα
τὴν ἐν μητράσι Παρθένον.

ιθ'. Ὁ δὲ θρασὺς καὶ στασιώδης
ἀκούσας ὄχλος
μετὰ ξύλων καὶ ξιφῶν τρέχει καὶ λίθων·
ὁρῶσι δὲ πόρρω[θεν]
ἀγοραίαν ἤδη τὴν κλίνην,
ἐν ᾗ σῶμα τὸ σεμνὸν κατέκειτο.
Εἷς δὲ τοῦ πλήθους,
[τοὺς] ὅλους θυμῷ νικήσας,
ὅλων προθέει,
καὶ ἅπτεται τοῦ φορείου,
μικροῦ δὲ ἔμελλε τοῦτο
εἰς χθόνα περιτρέπειν,
ἐὰν μὴ Χριστὸς
τὴν ἀκόλαστον τόλμαν
παραδόξως τῇ κολάσει
ἔσβεσε τοῦ νεανίου·
τὰς ἁψαμένας γὰρ χεῖρας
τοῦ καλλιφάρου σκίμποδος
τέμνει παρευθὺ

manu premente, claudit pupillas, et labia jungit, Virgo inter matres.

18. Verum priusquam tumulo sanctissima caro committeretur, Hebræorum sacerdotes et Pharisei, quæ peracta sint edocti, pubem plebis instigant in tumultum, cum furore aientes : « Festinate, pueri, lex *enim* vitu- « peratur; neutiquam sepulcrum recipiat « Mariæ corpus. Nam meretricio conceptu « habuit istum erroneum, cujus fallaces dis- « cipuli enituntur virginitatis fabulam de « impura muliere circumspargere. Minime « ergo socordia nostra id *pro suo* libitu fa- « ciant. Dissipate eorum factionem. Mo- « riantur et ipsi, prius*quam* cultum totius « orbis concilient erga adulteram, inter « matres Virginem. »

19. Ferox vero et seditiosa plebecula, his auditis, cum lignis et gladiis et lapidibus ruit. *Longe* autem prospiciunt jam lecticam in foro vectam, in qua augustum corpus requiescit. Unus ex turba cunctos impetu superans, præ omnibus currit, tangitque feretrum, parum autem abfuit quin illud in humum dejiceret, nisi Christus intolerabilem nebulonis petulantiam stupenda pœna extinxisset : excindit enim illico ab extremis partibus manus nobilissimo lecto impactas;

adde similibus in glossario nostro colligendis. — ἐπ' ἀλλήλοις C. — τίθει γεῖρας C, contra accent. τιθεῖς habet etiam Pindarus.

18. νεολέαν C. — κατὰ γνώμην C. — ἢ post πρὶν C om. — μοιχαλλίδα C, bisque v. est tetrasyllab. in tr. 21, et 23, ubi semper obvia emendatio est.

19. πόρρω ἀγοραῖον C, læso rhythmo. f. mel. ἐν ἀγορᾷ, — ἀκόλαστον... κολάσει, hoc ludo noster

ἀπὸ τῶν ἄκρων·
φόβος δὲ τοὺς λοιποὺς
τῆς ἀτόπου ὁρμῆς ἐπέσχε,
τιμῶν δικαίως
τὴν ἐν μητράσι Παρθένον.
κ'. Ἰδὼν Χριστοῦ πεῖραν, καὶ ὄψει
μαθὼν τὸ κράτος,
ὁ χειρῶν διατεμνόμενος [τὰ ἄκρα],
καὶ πένθει τρυχόμενος
εἰς γῆν πρὸ ποδῶν τῶν ὁσίων
κατέῤῥιπτε μαθητῶν, καὶ ἔλεγεν·
Ἥμαρτον, δοῦλοι
δεσπότου ὑπεραγάθου,
ἔγνων τὸ πταῖσμα·
ὑμεῖς ἐλεήσατέ με.
Ὁ Πέτρος δὲ πρὸς ἐκεῖνον·
Ἐὰν πιστεύῃς, ἔφη,
τῷ ταύτης υἱῷ
καὶ ἡμῶν διδασκάλῳ,
τῶν μελῶν σου τὴν ὑγείαν
[ὡς] δεῖγμα πίστεως ὄψει.
Τότε βοήσας ἐκεῖνος
ἔφη· Πιστεύω, κύριε,
ὅτι τοῦ Θεοῦ
τῶν Ἰουδαίων
υἱὸς ὁ Ἰησοῦς,
καὶ δι' ἄκραν φιλανθρωπίαν,
υἱὸς ὑπάρχει
τῆς ἐν μητράσι Παρθένου.
κα'. Ἦν οὖν ὁρᾶν θαύματος θαῦμα
μεγίστου μεῖζον,
συνημμένον· καὶ γὰρ τοῖς κλινοφοροῦσι
ταφῆναι προσέταξε,
καὶ λέγει ὁ Πέτρος τῷ νέῳ·
Ἐλθὼν δίδου ἀποδείξεις πίστεως,
ἅψαι τοῖς ἄκροις,
οἷς ἔχεις, ὧν ἀφῃρέθης·
ἅπερ, ὡς βλέπεις,
ἐκκρέμανται τοῦ δεμνίου,
καθάπερ ἥλοις ὀξέσιν
αὐτόθι πεπαρμένα.
Ὁ δὲ παρευθὺ
τὸ ἐπίταγμα Πέτρου
ἐπὶ πάντων ἐκτελέσας,
ὅπερ ἐζήτησεν, εὗρεν·
ἦν οὖν ὡς ἦν πρὸ τοῦ πάθους,
μᾶλλον δὲ ὑγιέστερος·
ῥώννυται καὶ γὰρ

terrorque cæteram amentem turbam invadit, justam ob vindictam Virginis inter matres.

20. Qui Christum expertus, oculisque percipiens virtutem illius a quo *extremis* truncatur manibus, ejulans lamentatur, humique cadens ad pedes venerabilium discipulorum, volvebatur et aiebat: « Peccavi, « servi magistri omnium optimi, agnosco « culpam; vos miseremini mei. » Ad quem Petrus: « Si credideris, ait, in hujusce fi« lium, nostrumque magistrum, membro« rum sanationem in argumentum fidei « videbis. » Ad hæc ille clamans: « Credo, « inquit, Domine, Jesum esse filium Dei « Judæorum, et per summam suam clemen« tiam factum esse natum Virginis inter « matres. »

21. Cernere erat igitur prodigium summo miraculo majus et subitaneum. Imperavit enim Petrus his qui ducebant feretrum ad sepulturam, et dixit adolescenti: « Acce« dens, præbe testimonia fidei, tange muti« lis tuis manibus extrema tibi ablata, quæ « uti vides, e loculo pendent, acutis quasi « clavis illic affixa. » Qui subito Petri mandato coram omnibus obediens, quod quærebat, invenit. Erat enim, ut prius fuit ante vulnera, immo vegetior. Confirmatur enim corpore et spiritu, baptismate suscepto,

raro utitur, qui Romano solemnis est. — καλλιφόρῳ C.

20. ἴδεν C. — ὁ τὰς χεῖρας χειρῶν διατεμνόμενος καὶ C, manifesto scripturæ tumultu.

21. μέγιστον μεῖζον C. — συνημμένον, *consequenter actum*. f. συνημμένως καὶ γὰρ... « *Simul* imperavit Petrus... et dixit. »

σῶμα καὶ πνεῦμα,
τὸ φώτισμα λαβὼν,
κράζων τε ἀκλονήτῳ πίστει·
[Ὦ] Θεοῦ μήτηρ,
ἡ ἐν μητράσι Παρθένος.

κβ'. Μνήματι δὲ δόντες τὸ σῶμα
τὸ θεοδόχον,
οἱ προπέμψαντες ἀνέστρεφον εἰς οἴκους·
ὁ μέντοι Ἰάκωβος
τοῖς ἄλλοις ὁμοῦ ἀποστόλοις
εἰς δόμον τὸν Ἰωάννου ἔρχεται,
ἄρτου ἐκεῖσε
γευσάμενος μετ' ἐκείνων·
ἔνθα ὁρῶσι
καθήμενον ἐν τῷ μέσῳ
Χριστὸν, καὶ οὕτως εἰπόντα·
Τὴν σάρκα τῆς Παρθένου,
ἐξ ἧς ἀληθῶς
θέλων σὰρξ ἐγενόμην,
ἐξαιρέτως, ἐπαξίως
βούλομαι δώροις τιμῆσαι·
εἰ γὰρ Μωσέως [προσώπου]
τὸ ἀφανὲς τετίμηται,
καὶ ἡ κιβωτὸς
τῆς διαθήκης,
πῶς ἔσται ὁ ναὸς
πρόχειρος, ὁ ἐκείνων μείζων;
Ἄδηλος ἔστω
τῆς ἐν μητράσι Παρθένου.

κγ'. Ἅπερ ὑμῖν ἄρτι κελεύω,
γενέσθω δῆλα
καὶ τοῖς ἄλλοις μεθ' ὧν σῶμα τὸ Μαρίας
καλῶς ἐκηδεύσατε,
ὡς ἂν διδαχθῶσι κἀκεῖνοι,
καὶ ἄλλους ταῦτα σαφῶς διδάξωσι.
Λόγοις τοιούτοις
συνῆψε Χριστὸς τὸ ἔργον·
καί που Μαρίας
οὐκ ἔστι τῆς Θεοτόκου
ὀστοῦν ἢ σάρκα ἰδέσθαι,
κενὸν δὲ καὶ τὸ σῆμα
ὁρᾶται, ἐν ᾧ
ἡ σεπτὴ κατετέθη,
ὡς δηλοῦσιν οἱ τὸν τόπον
ἱστορηκότες ἐκεῖνον.
Ἀλλ' εἰ καὶ κόσμου μετέστης,
ὅλος σε κόσμος κέκτηται,
ἄρδην πανταχοῦ

cum fide immota clamans : « O Dei genitrix, « Virgo inter matres. »

22. Tum postquam monumento crediderunt corpus, Dei receptaculum, pompæ ministri ad domos reversi sunt. Interim Jacobus cum cæteris apostolis in Joannis ædes se recepit, ibique cum illis panem gustavit. Quo in loco, contemplantur medium Christum, sic loquentem : « Virginis carnem, ex « qua vera caro lubens factus sum, volo « exquisitis, condignisque muneribus honorare. Si enim *vultus* Moysis perstringenti « decore honestatus est, et arca testamenti, « quomodo vulgare foret templum hisce « multo majus? Invisibile esto corpus Vir« ginis inter matres. »

23. « Quæ vobis modo præcipio, fiant « etiam manifesta cæteris, quibuscum Ma« riæ corpus rite sepelivistis, ut quæ didice« runt, alios aperte edoceant. » His sermonibus Christus factum adjunxit. Nusquam enim Mariæ Deiparæ ossa carnemve cernere contigit. Vacuus autem videtur loculus in quo augusta illa deposita est, ut significant qui hujus loci texuere historiam. — Agedum, quantumvis e mundo translata sis,

22. ἄρτους C; pro ἄρτων malui ἄρτου, de pane eucharistico id aptius intellecturus. — En suavissima ab incunabulis Græcorum invecta consuetudo, quoties fit christianæ familiæ convivium, panem reservandi quasi Virgini consecratum, quæ quidem eulogia domestica etiam nunc et optime Παναγία vocitatur. — προσώπου. Cf. Exod. XXXIV, 29, 30, 37. Malit aliquis legere τὸ σῶμα, respectu ad Deuteron. XXXIV, 7, et em. τῷ ἀφανεῖ.

23. ἀλλ' εἰ καί. Solita et grata melodorum clausula, qua noster in prooemium eleganter recidit.

ἐπιφοιτῶσαν,
καὶ τόπος νῦν οὐδεὶς
σῆς ἀμέτοχος προστασίας,
[ἡ] πιστῶν δόξα,
ἡ ἐν μητράσι Παρθένος.

totus te possidet orbis, te celebri ubique tutela propitiam, neque locus ullus est tui præsidii expers, o fidelium gloria, o Virgo inter matres.

EXCURSUS

IN COSMÆ DE ASSUMPTA VIRGINE CANTICUM.

Quod typis quidem et paraveram et dederam, quod deinde expunctis plagulis, duxeram supprimendum, nunc postliminii quodam jure, saltem obiter et partim restituo, quoddam de assumpta Virgine poema, magno Cosmæ insignitum nomine. Ego enim qui nova promiserim, negligere cogor quod jam semel in Anthologio romano prodiit, quamvis liber ab Urbe vix exierit, in quo jacet incognitum opus, mendis scatens, quæ levi brachio sustulissem, ope duorum classicorum codd. taurin. f. 130 et corsin. f. 140. Quanti æstimanda sit opera, et veteres docent, siquidem, quum nostra fere omnia scriptorum silentio obstinato obruantur, hoc tandem et egregie memorant litteræ, quæ sive Michaelis Glycæ, sive Joannis Zonaræ nomine circumferuntur; et recentiores confirmant multis cum laudibus, quibus non pepercerunt cl. vv. Aloysius Vaccari et Jos. Cozza, in opere inscripto, *De corporea Deiparæ Assumpt.* Rom. 1869. Quid ego censeam, fortasse ausim paulo infra disputare. Sed agedum, si tanti valet qualecumque Cosmæ testimonium in quadam raritate veterum certorumque hac de re monumentorum, quanti feceris nostrum Hamartolum, duobus fortasse sæculis Cosma antiquiorem, et cur me pigeret utrumque sub uno obtutu brevique in compendio proponere?

Prooemium superiori exordio simile, inter hirmos adeo frequentatur, ut totum hic legere juverit, quod altius repetendum esse, facile quis autumaverit.

Τὴν ἐν πρεσβείαις
ἀκοίμητον Θεοτόκον
καὶ προστασίαις
ἀμετάθετον ἐλπίδα
τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν·
ὡς γὰρ ζωῆς μητέρα
πρὸς τὴν ζωὴν μετέστησεν,
ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Inde poema in duas divisum esse partes palam est, quarum prior in laudes, posterior in obitum Virginis dicatur. Sic autem melodus texit encomia, ut sensim et apte lætas ad exequias pergat. Sed prius in tr. 2 divinum de more afflatum exposcit, receptumque ponit hirmum, eumdem scilicet ac τράνωσον, toni II, sed leviter mutatum, ut infra animadvertetur, eoque magis id notatu dignum videtur, quod tonus alius esset, nempe sextus, si omnibus libris editis fides datur, quibus obstat inscriptio corsin. f. 140: κονδάκιον εἰς τὴν κοίμησιν τῆς ἁγίας Θεοτόκου, ἦχ. β', φέρον ἀκροστιχίδα· Τοῦ ταπεινοῦ Κοσμᾶ ὕμνος. Incipit:

Τείχισόν μου τὰς φρένας, Χριστέ μου,
τὸ γὰρ τεῖχος τοῦ κόσμου
ἀνυμνῆσαι τολμῶ.....

Virginem ergo celebraturus a trop. 3 ad 8, melodus primum stupet obiisse matrem τοῦ πάντας ζωογονοῦντος, idque inter summa Dei prodigia reputat (tr. 3). — Carne quidem Virgo merito transit in paradisum (tr. 4):

Ἡ οὐρανοῦ
πλατυτέραν σκηνῆς κτησαμένη νηδὺν,
ὡς οὖσα οἶκος καὶ θρόνος
καὶ χωρίον Χριστοῦ πολυχώρητον...

Salutatur Gethsemani, horto deliciarum similis, a quo Christus sacrum matris corpus extra sordes transtulit (tr. 5):

Καὶ ἐξῆς σῶμα τὸ ἅγιον
τῆς μητρὸς μετατέθεικε δίχα φθορᾶς.

Tantum usque ad mortis vestigia, πρὸς ἴχνος θανάτου ἐπιδιέβη successit Virgo mater, ut verus naturæ nostræ terminus Christus videretur, qui transtulit illam (tr. 6):

Ἐπεὶ κειμένην συνήρπασε
τὴν ἁγνὴν ἀπομήκοθεν δίχα φθορᾶς...

Maria ergo, tempora prætergrediens, cum temporum Domino hospitatur, quam decuit ab ultimo eximi contagio, quum vas illud vitæ inæstimabile Deus prius exquisite efformaverit (tr. 7):

Διότι ἔδει τὸ σκεῦος
τῆς ζωῆς τῆς κοινῆς τὸ ἀτίμητον
ῥεύσεως ὕβριν μὴ δέξασθαι,
ὁ Θεὸς προανέπλασε κατ' ἐκλογήν...

Quando autem somni sub specie transiit, prodigium illud additum est, sub nube vectos esse discipulos a longinqua dispersione (tr. 8).

Nunc nobilissima funera incipiunt (tr. 9), et ambo melodi proximi sunt; sed quanto præstantior Hamartolus!

Ἴδον αὐτὴν οἱ δέκα καὶ δύο
προσκυνήσαντες ἅμα
τῇ πρεπούσῃ τιμῇ,
ὡς οὖσαν καὶ ὑπέρτιμον·
ἡ δὲ, ὅταν ἴδῃ τοὺς ἀποστόλους,
ὑπεμνήσθη εὐθέως τοῦ διδασκάλου,
καὶ μητρικῶς
ταραχθεῖσα μικρὸν
ἀπὸ σπλάγχνων ψυχῆς,
ἐν πλείστοις δάκρυσι βρέχει
ὀφθαλμοὺς Μαριὰμ καὶ ἀνέκραζε·
Χαίρετε, τέκνα τοῦ τέκνου μου
καὶ υἱοὶ οὓς ἐν Πνεύματι υἱοθετεῖ...

Tr. 10. « Lætor, inquit, et festino, ut mater cum nato consociari, ut famula commorari cum Domino... »

Tr. 11. « Nolite flere, cito enim vos debetis ad nos reverti... »

Tr. 12. « Sepelite me: mihi videor quasi filii palmis honestari, per vestras manus, vices magistri gerentium (τοποποιοὺς διδασκάλου ὁρῶ), qui vos fratres cognominavit... »

Tr. 13. « Morti meæ supervivam, mundoque relicto, mundanos non deseram: matrem enim Dominus audit, ut promisit et præcepit:

Ἐλεεῖ γὰρ ἀεὶ, ὡς φιλάνθρωπος,
ἅπαντας σώζει· ἀκούει γὰρ
τῆς μητρὸς, καθ' ὑπέσχετο, δι' ἐντολῆς... »

Tr. 14. Prolixo functa sermone, Virgo emisit spiritum, quem angeli recipiunt, ut quæ fuit

ὡς θεῖον πνευστικὸν καταγώγιον,
οὗτινος ἔχειν τὴν ὄσφρησιν
καὶ τοῦ τὰ νῦν εὐωδέστατα πνέοντος...

Tr. 15. Sacrum vero corpus apostoli proni salutant, humectant fletibus, et osculis venerantur.

Tr. 16. Christum melodus ipsum videt geminare matri oscula, cujus inter ubera lactans puellus gestiens et osculabundus alebatur.

Tr. 17. Tollentes igitur corpus apostoli humeris gestant, voce et pompa concelebrantes eam, quæ ut universorum causa bonorum data est inhabitantibus orbem.

Tr. 18. Multus fit undequaque fidelium populorum concursus.

Tr. 19. Unus tantum stultus Hebræus, manuum abscissione ob petulantiam corripitur, donec in melius convertatur.

Tr. 20. Omnes quidem eam oculis vident in sepulcro conditam, tum arcano modo assumptam, monumentoque vacuo, raptam fuisse comperiunt.

Tr. 21. Inde iterum effusæ ad Virginem laudes et vota:

Ὅπλον στεῤῥὸν, βεβαία ἰσχύς τε,
προστασία καὶ φύλαξ,
καὶ ἐλπὶς ἀκλινὴς,
καὶ τεῖχος ἀκατάλυτον,
ἐν πίστει τὸν κόσμον διατηροῦσα,
καὶ ἐν νίκαις τὸ κράτος τῆς βασιλείας...

Tr. 22. Ultimum se humilemque ac pronum melodus sistit, veniam exposcentem:

Νοῦς γὰρ πτωχὸς
οὐ πλουτεῖ θησαυρὸν ἐγκωμίων σεπτῶν·
σὺ οὖν μοι ἀντὶ πενίας
λογισμῶν καὶ ψυχῆς τὰ ἐλέη σου
παράσχου· σὲ γὰρ ἀντίληψιν
ὁ Θεὸς ἐδωρήσατο πάσῃ πνοῇ, ὁ μήτραν...

Sic ille. Nunc ut datam fidem absolvam, candide fatear, vix dignum opus esse quod principi melodorum assignetur. Silentio plura prætermisi, quæ vel ubi theologica sententia valet, rerum contortam et ambiguam seriem produnt. Mitto modulum incomptum, amplos, impeditosque στίχους, ita ex alio classico consarcinatum, ut priscis versiculis una aut altera syllaba importune accedat. Mitto frigidam ταυτοέπειαν, sæpe congestam, qualem habet Gethsemani vastitas per totum trop. 5 amplificata, et quale exordium trop. 19!

Μάταιος δὲ Ἑβραίων τις τότε
(ματαιότης οἱ οὗτοι

τῶν ματαιοτήτων),
ὃς ὕβρεις τε καὶ σκάνδαλα...

Sed inepta et barbara aut nova quædam sunt, a quibus abhorret Cosmas, tersus, limatusque poeta, quæ vix triplici codice emendantur, ut tr. 3: Ὁ Θεὸς ἐνεργεῖ τε καὶ δείκνυσιν,... tr. 5 τιμητικῶς προσφόρως... τὸ χωρίον ἐκεῖνο μακαρίσωμεν, λαοὶ,.. tr. 6 τελείας φύσεως ὅρους.., tr. 7 ζωῆς κοινῆς τὸ ἀκοίνητον vel τὸ ἀκοίμητον,... tr. 9 καθαρῶς θεϊκῶς... tr. 11, προσαναμιμνήσκω μὴ θρηνῆσαι, στενάξαι ἢ ὀλολύξαι,... tr. 12 τοποποιοὺς, ne notetur ταφιαζομένη in T,... tr. 13 κόσμον ἀφιῶ vel ἀφίω sic tres codd. pro ἀφίημι. tr. 16 ἀβλέπτῳ τῷ θεωρήματι, ut in tr. 14 κυρίου ἀορασίᾳ, tum mox φιλήμασι γλυκείοις πληρῶσαι ταύτην ἧς τοὺς μαστοὺς καὶ τοῖς κόλποις vel in edit. rom. cum codd. fort. pro τοῖς μ. etc. tr. 18 τὰ χρῶτα θεοπνευστίας, plurali absoluto ex tribus codd. Et alia bene multa minus peritum arguunt opificem, aut poetam qui melodiam id genus parum curavit, an fortasse ut alia coleret exquisitius?

III.

DE VESTE B. VIRGINIS DEIPARÆ,

DEPOSITA IN BLACHERNIS.

αʹ. Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, * θεοχαρίτωτε ἁγνὴ, ἐδωρήσω, * τὴν ἱερὰν ἐσθῆτά σου, μεθ' ἧς τὸ καθαρὸν * σῶμά σου ἐσκέπασας, * σκέπη πάντων ἀνθρώπων, * ἧσπερ τὴν κατάθεσιν * ἑορτάζομεν πόθῳ, * καὶ ἐκβοῶντες κράζομεν πιστῶς· * Χαῖρε, Παρθένε, * χριστιανῶν καύχημα.

βʹ. Τὴν καθαρὰν καὶ ἀληθῆ * σκήνην τοῦ Θεοῦ Λόγου, * τὴν ἔμψυχον νεφέλην, * καὶ στάμνον τὴν τοῦ μάννα, * τὴν Θεοτόκον Μαριὰμ * πάντες οἱ σωθέντες * διὰ τοῦ τόκου αὐτῆς * ἐν πίστει μακαρίσωμεν, * καὶ τὴν σεπτὴν ἐσθῆτα προσπτυξώμεθα, * ἥπερ τὸν δεσπότην * περισχοῦσα ὥσπερ βρέφος * ἐβάσταζε, * φορέσαντα σάρκα, * δι' ἧσπερ τῶν βροτῶν * ἡ φύσις ἐπήρθη * πρὸς μετάρ-

1. Immortalitatis vestem cunctis fidelibus dedisti, o casta Deo gratissima, hoc sacrum vestimentum quo purum texisti corpus, tu omnium protectio hominum, cujus depositionem cum amore celebramus, in fide clamantes: « Salve, Virgo, Christia« norum superba lætitia. »

2. Mundum illud verumque Dei Verbi tabernaculum, spiritualem nubem, mannæque urceum, Deiparam Mariam beatam in fide dicamus, o quicumque sumus in ejusdem partu salvi, vestemque sacram veneremur, qua circumdata tulit infantem Dominum, illa carne indutum quæ mortalium naturam erexit ad superiorem vitam cœlique regnum: unde cum gaudio magna voce cla-

III. Altera mensis julii die celebratur apud Græcos depositio sacræ vestis B. Virginis in Blachernis: quam vetus sit hoc cemelium, testatur hymni Acathisti quem supra retulimus, historia viris eruditis satis probata, in qua legitur profligatos fuisse Avaros, dum urbem CP. obsiderent, solis sacris imaginibus per muros et compita a Sergio patriarcha circumlatis; qui inter hæc, inquiunt, venerandam vestem Deiparæ proferens, mœnia obibat: Προσέτι δὲ καὶ τὴν τιμίαν ἐσθῆτα τῆς Θεομήτορος ὑποφερόμενος διὰ τῶν τειχῶν περιήρχετο. *Patrol. gr.* t. XCII, col. 1349 C. Pronum est opinari ad hæc respici, in primis in tr. 4 hujus veteris poematis, quod extat in taurin. f. 125.

1. πρὸς τό· Ὁ ὑψωθείς. Duo priora trop. edd. servant menæa veneta. His vero anthol. rom. prætulit oden his tropariis conflatam 1. τὰ καταθέσια. 2. Ὡράθη. 3. Δορυφοροῦσι. 4. Ἡλιακὰς, in quæ derivarunt plura e nostris, sed nihil ad historica respicit. — τὸ ἱερὸν σῶμα ven. — σκέπη θεία ib. — τὸ καύχημα ib. contra rhythmum.

2. πτυξώμ. T. — ὡς βρ. T, edd. — οὗπερ τὸν T. — δθ. γεγ. κραυγάζει T, γεγηθότες κραυγάζομεν edd. quæ obstant hirmo τῇ γαλιλ.

σιον ζωὴν * καὶ βασιλείαν· * ὅθεν γεγηθὼς * κραυγάζω μεγαλοφώνως· * Χαῖρε, Παρθένε, * χριστιανῶν καύχημα.

mo : « Salve, Virgo, Christianorum ovans « lætitia. »

γ'. Ὁ ἐν τῷ ὄρει τῷ Σινᾶ * λαλήσας θεῖος Λόγος, * καὶ δείξας ἐν τῇ βάτῳ * Μωσῇ τῷ νομοθέτῃ * τῷ τῆς θεότητος πυρὶ * φύσιν τῶν ἀνθρώπων * ὁμιλοῦσαν ἐξ ἁγνῆς * Παρθένου καὶ θεόπαιδος, * δι' ἧς ἐφανερώθη καὶ ἔσωσεν * διὰ παθημάτων * καὶ ἐγέρσεως ἀῤῥήτου, * ἐδόξασεν μετέπειτα πάλιν * μητέρα τὴν αὐτοῦ, * καὶ σκέπην ἀρίστην * τὴν ἐσθῆτα ἑαυτῆς * κόσμῳ χαρίζει * κατὰ τῶν ἐχθρῶν * τοῖς πίστει ἀναβοῶσιν· * Χαῖρε, Παρθένε, * χριστιανῶν καύχημα.

3. Qui in monte Sina locutus est Dei Filius, et Moysi legislatori ostendit in rubo humanam naturam cum igne deitatis conjunctam, ope Virginis Deiparæ, per quam se manifestavit, salutemque dedit patiendo et ineffabiliter resurgendo, gloria post hæc matrem suam cumulavit, dum mundo confert optimam in ejus veste tutelam adversus hostes, fidelibus clamantibus : « Salve, Virgo, Christianorum gloriosa lætitia. »

δ'. Ὑπὸ τοῦ πάντων ποιητοῦ * καὶ πλάστου καὶ δεσπότου * δεδόξασαι, Μαρία, * πανάχραντε Παρθένε, * ὡς μήτηρ οὖσα ἀληθής· * ὅθεν καὶ τῇ πόλει * φύλαξ ὤφθης κραταιὰ * καὶ σκέπη καὶ προπύργιον, * καὶ πρὸς τοὺς πολεμίους ἀήττητος, * οἷα στρατηγέτις * καταβάλλουσα ἀόπλως * τὰς φάλαγγας * τῶν ὑπεναντίων, * οἰκτείρουσα φαιδρῶς * καὶ σκέπουσα πάντα * τὸν λαόν σου τὸν πιστὸν, * διὰ ἐσθῆτος * τῆς ἀληθινῆς, * τὸν πίστει σοι ἐκβοῶντα· * Χαῖρε, Παρθένε, * χριστιανῶν καύχημα.

4. Ab omnium conditore, opifice et Domino, gloria ornaris, o Maria, illibatissima Virgo, utpote vera ejus mater. Unde et urbis custos visa fuisti potens, præsidiumque et propugnaculum adversus hostes invictum : si quidem dux sine armis phalanges prosternis coram oppositas, tu insigniter clemens, tegensque populum tuum fidelem per hanc veram vestem tuam, dum ad te in fide clamat : « Salve, Virgo, Christianorum superbia. »

3. ὄρει Σινᾶ T. — προσομιλοῦσαν T. — De θεόπαις cf. Roman. XXIX, 40 ; Jos. II, 4. — δι' οὗ ἐφαν. T. — f. κόσμῳ δωρεῖται.
4. τοῖς πίστει ἐκβοῶσιν T.

IV.

DE ZONA B. VIRGINIS DEIPARÆ,

DEPOSITA IN CHALCOPRATEIS.

α'. Τὴν θεοδόχον * γαστέρα σου, Θεοτόκε, * περιλαβοῦσα * ἡ ζώνη σου ἡ τιμία, * κράτος τῇ πόλει σου ἀπροσμάχητον, * καὶ θησαυρὸς

1. Uterum in quo Deus receptus est quum veneranda zona tua, o Deipara, cinxerit, invictum robur est civitati tuæ ejusque the-

IV. Ut auctorem hujus ac præcedentis poematis nemo non quæret in clero Constantinopolitano, sic libenter utrumque tribuam S. Josepho hymnographo, Scevophylaci, seu sacrorum κειμηλίων patriarchalis ecclesiæ custodi, cui proinde peculiari ex titulo tam B. V. vestis quam zona commissa est. Posterius hoc opus extat in taurin. f. 148, ad diem augusti XXXI.

1. πρὸς τό· Τὴν ἐν πρεσβείαις, v. p. 527, dein πρὸς τό· Τράνωσον. — περιβαλοῦσα T solito lapsu. — καὶ τεχοῦσα T. Sæpe ultimus v. est hendecasyll.

ὑπάρχει * τῶν ἀγαθῶν ἀνέκλειπτος, * ἡ μόνη τεκοῦσα ἀειπάρθενος.

β'. Τίς γηγενῶν τὰ σὰ μεγαλεῖα * διηγήσεται λόγος; * ποία γλῶττα βροτῶν; * νοῦς γὰρ οὐδὲ ὁ οὐράνιος· * ἀλλ' ἡ τεκοῦσα τῆς συμπαθείας * τὸ ἀμέτρητον πέλαγος, Θεοτόκε, * δέξαι καὶ νῦν * ἐξ ἀκάρπων χειλέων τὰ ᾄσματα, * καὶ δίδου θείαν μοι χάριν * εὐφημῆσαι τὴν ζώνην σου, δέσποινα, * δι' ἧς ὁ κόσμος ἀγάλλεται * σὺν ἀγγέλοις ὑμνῶν σου τὰ θαύματα, * ἡ μόνη τεκοῦσα ἀειπάρθενος.

γ'. Πάντα τὰ σὰ παράδοξα ὄντως, * ἡ μετάστασις ξένη, * καὶ ὁ τόκος φρικτός· * ἡ ζώνη δὲ ἡ φερέζωος * ὑπεναντίας δυνάμεις πάσας * ἀοράτως τροποῦται, ἣν σὺν ἐσθῆτι, * ὑπεραγνή, * φυλακτήριον ἔθου τῇ πόλει σου, * θησαύρισμα δὲ θεῖον, * ὥσπερ τείχη ἡμᾶς περιβάλλοντα, * φρουροῦντα, περιζωννύοντα, * ἰαμάτων πηγὰς ἀναβλύζοντα, * ἡ μόνη...

δ'. Νέμεις ἡμῖν καθάπερ ἐκ κρήνης * τῆς ἁγίας σοροῦ σου * ἰαμάτων πηγὰς * καὶ τρόπαια τοῖς ὑμνοῦσί σε· * σὲ γὰρ ἐτύπου ἡ θεία πάλαι * κιβωτὸς τιμωροῦσα τοὺς ἐναντίους, * καὶ τῷ λαῷ * τοῦ Θεοῦ χορηγοῦσα θαύματα· * ὅθεν σε νῦν ἐξαιτοῦμεν * περιζῶσαι ἡμᾶς ἐν τῇ ζώνῃ σου * ἰσχὺν καὶ κράτος ἀήττητον * κατ' ἐχθρῶν ἀπειθούντων τῷ κράτει σου, * ἡ μόνη...

saurus bonorum inexhaustus, o quæ sola peperisti semper virgo.

2. Magnalia tua quis terrigenarum sermo aut quæ lingua mortalium dicet? Immo ne mens quidem inter cœlestes. Sed tu quæ peperisti immensum clementiæ pelagus, o Deipara, nunc quoque da ut ex infrugiferis labiis tua cantica cieantur, divinamque mihi concede gratiam celebrandi cingulum tuum, o domina, ex quo lætatur orbis, cum angelis tua canens prodigia, o quæ sola peperisti semper virgo permanens.

3. In te omnia opinionem superant, transmigratio insolita, partusque stupendus; zona vero vitæ ferax, omnes inimicas potestates subvertit invisibili numine; quam cum tua veste, o castissima, posuisti in urbis tuæ custodiam, divinumque thesauri cumulum; ea vero nos tanquam mœnia circumdant, tuentur, accingunt, sanationumque pluunt latices, o sola semper virgo parens.

4. Nobis te celebrantibus præbes, velut ex fonte, e loculo tuo fluenta sanationum et victoriæ tropæa: te enim referebat olim divina arca, quæ hostes tremefecit, et populo Dei prodigia impertivit; unde nunc te exoramus ut nobis tuo cingulo circumcinctis virtutem des et robur invictum adversus hostes potestati tuæ infensos, o sola semper virgo parens.

2. Duo priora trop. in edd. extant. — οὐδὲ οὐράνιος edd. et T. — Θεοτόκε om. ven. pro quo anth. rom. ὡς συμπαθὴς sic. — θείαν om. T. δίδου μοι θ. εὐφ. τὴν σὴν ζων. edd.

3. φορίζωος ὑπεναντείαις sic T depravate. — τροπ. σὺν τῇ T, dissoluta serie. — f. θησ. δ' ὄντως θεῖον, ne v. deficiat.

4. f. recte suspicatur vir doctus: σειρᾶς σου, quum ἡ σειρὰ vel τὸ σειρὸν de veste leviore adhibeatur. Post nostra de feretro Virginis poemata, nihil ineptius quam σορὸς *loculus*, nisi tantum de theca intelligatur. — pro θαύματα f. νικήματα, exulante syllaba. — ἰσχὺν duplici accus. ut in ps. XVII, 35.

V.

PARACLETICON ÆGROTANTIUM.

α'. Ἡ ἐν ἀνάγκαις
σωσίψυχος κυβερνῆτις,
καὶ ἐν κινδύνοις
ἀκαταίσχυντος προστάτις,
μόνη μητρόθεε καὶ ἀμόλυντε,
τῇ προσευχῇ μου νεῦσον
ὀδυνηρῶς βοῶντί σοι· [σον.
Τὴν λύπην τῆς ψυχῆς μου διασκέδα-

β'. Τί δοθείη,
καὶ τί προστεθείη
ἐν τῷ μέλλειν αἰτεῖσθαι
ἐν καρδίας κλαυθμῷ
τὴν λύσιν τῶν πταισμάτων μου;
ψυχὴν γὰρ ἠχρείωσα πλημμελείαις,
καὶ τὴν σάρκα ἐμόλυνα ἁμαρτίαις,
τὰ πονηρὰ
ὡς οὐδεὶς γηγενῶν πεπραχὼς ὁ θρασύς,
ὅθεν στενάζων κραυγάζω·
Θεοτόκε ἁγνή, μὴ παρίδῃς με,
ἀλλὰ τοῦ σῶσαί με τάχυνον,
καὶ πολλῶν ἀπαλλάττουσα ἁμαρτιῶν,
τὴν λύπην τῆς ψυχῆς μου διασκέδασον.

1. Tu in angustiis
propitia animarum gubernatrix,
tu quoque in periculis
inconfusa tutela,
sola Dei mater et immaculata,
orationi meæ faveas,
dum flebili voce clamo tibi :
« Luctum animæ meæ dissipa. »

2. Quid dabitur
aut quid apponetur,
quando exorare,
in cordis singultu, debebo
veniam peccatorum meorum?
Nam vitiis animam inquinavi,
carnemque fœdavi peccatis,
cum nefaria
plus quam omnis terrigena audax
unde ingemiscens clamo : [commisi,
« Deipara casta, ne me despicias,
« sed accelera ut salves me,
« meque a multis removens peccatis,
« luctum animæ meæ dissipa. »

γ'. Ὄρος Θεοῦ * τὸ τετυρωμένον * τῇ παμφαεῖ ἁγνείᾳ, * ὡς κηρύττει Δαυίδ, * καὶ μήτηρ τοῦ Κυρίου μου, * ἐλέησον, οἴκτειρον, ἴασαί με, * καὶ ἐκ πάσης ἀνάγκης ἀπάλλαξόν με· * σὲ γὰρ θερμὴν * προστασίαν εἰδὼς ὁ τα-

3. Mons Dei coagulate, in quo ubique puritas splendet, ut canit David, tu mater Domini mei, miserere, parce, medere mihi, et ab omni necessitate erue me; te enim animosum esse præsidium videns, infelix

V. Palam fit statim ab initio Theodorum adesse. Adest enim semel et iterum in his novis σωσίψυ-χος, μητρόθεε, et frustra se in acrostichide abdidit sub humillimo, ut solet, involucro τοῦ ἐλεεινοῦ. Præterea solemnem quidem adhibet hirmum Τράνωσον, sed suo temperatum modulo, fere ut in cantico Cosmæ superius adscripto. In corsin. f. 151-153 epigraphe est : Κονδάκιον παρακλητικὸν τῆς παναγίας Θεοτόκου, ψαλλόμενον εἰς νοσοῦντας, φέρον ἀκροστιχίδα· Τοῦ ἐλεεινοῦ, ἦχ. β, πρὸς τό· Τὴν ἐν πρεσβείαις. Cf. p. 527 iterumque vide falsum esse tonum VI, alias impositum. Taurin. duo tantum priora trop. habet. *Paracletica* dici solent flebilia ad Virginem carmine.

1. προστάτης T. — post λύπην om. τῆς T.

2. τί δοθείη. Tetrasyllabum retinui, pro constantia quam etiam affectat pseudo-Cosmas; codex tamen C : Τί μοι δοθείη καὶ τί, nota phrasis biblica. — ἐν καρδίαις C. — κλ. τὴν λύπην T, qui mox om. γάρ. — ἠχρείωσα. Cf. ps. XIII, 3. — στενάζων ὅθεν T. — ἀπάλλαξον T.

3. τετ. παμφ. παναγία T. Cf. ps. LXVII, 16. — οἴκτ. με καὶ σῶσον T. — εἰδ. ὁ τάλας ἐγὼ T. — ἐπιτεύξομαι T. ἱλασμὸν ἐπιτεύξωμαι C.

λαίπωρος, * ἐγώ σου ἐπιδέομαι, * ὅπως διὰ σοῦ ἱλασμοῦ τεύξομαι. * Νεῦσον, ἁγνή, τῇ δεήσει μου, * καὶ χαρᾶς ἐμπιπλῶσα με τῆς παρὰ σοῦ, * τὴν λύπην...

δ'. Ὕψωσόν με * τὸν ταπεινωθέντα, * ἡ τὴν φύσιν πεσοῦσαν * τῷ δελέατι πρὶν * τοῦ ξύλου ἀνορθώσασα· * τερπνῆς γαρ ἐστέρημαι ἐργασίας, * ἀρετῶν δὲ γεγύμνωμαι καὶ τοῦ πλούτου, * ὁμοιωθεὶς * τῷ ἀσώτῳ υἱῷ δι' ἔνδειαν φρενῶν· * σὺ οὖν μοι δώρησαι χάριν, * φωτισμὸν, ἱλασμὸν, ἀγαλλίασιν, * ἔπιδε κάκωσιν δούλου σου, * καὶ ἀεὶ λυτρουμένη με τῶν πειρασμῶν, * τὴν λύπην...

ε'. Ἔγειρόν με * τὸν καταπεσόντα, * ἡ τὴν Εὔαν πεσοῦσαν * τῆς γεύσεως ἀρᾷ * σαφῶς ζωοποιήσασα· * βυθῷ γὰρ συνέχομαι ἁμαρτίας, * καὶ πελάγει τιτρώσκομαι ἀσελγείας, * ὑπεραρθεὶς * τῇ κακίᾳ, ὡς πρὶν ὁ Σοδόμων λαός· * σὲ γὰρ ἐπίσταμαι μόνην * κραταιὰν πρὸς Θεὸν ἀντιλήπτριαν, * δέχου, ἁγνή, τὰς δεήσεις μου, καὶ ἀεὶ * τὴν λύπην...

ϛ'. Λάμπρυνόν με * τὸν ἐσκοτισμένον, * ἡ τὸν ζόφον τῆς πλάνης * ἐκδιώξασα πρὶν * τῇ θεϊκῇ κυήσει σου· * φωτὸς γὰρ ἀπέσβεσα ἐλλάμψεις, * μὴ ὑφάνας χιτῶνα κατορθωμάτων, * ὅλος αἰσχρὸς, * ἀειδὴς, ζοφερὸς καὶ δυσώδης ὀφθεὶς * ἐκ παραλόγου ῥοπῆς μου * καὶ αἰσχρᾶς ἀληθῶς παροινίας μου· * ἴδε τὴν θλίψιν μου, δέσποινα, * καὶ σαρκός μου καθαιροῦσα τὰς ἡδονάς, * τὴν λύπην...

ζ'. Ἔκτεινόν μοι * χεῖρα βοηθείας, ἡ τὰ ἔθνη ἐκ ζάλης * τοῦ δολίου ἐχθροῦ * εἰς τέλος διασώζουσα· * παθῶν γὰρ βυθίζομαι τρικυμίαις, * ἡδονῶν δὲ ταράττομαι καταιγίδι· * δίδου ἰσχὺν * ἀποδρᾶσαι ἐχθροῦ τὰς βεβήλους πάγας, * ἐκ τῶν ἀρκύων με τούτου * λυτρουμένη ἀεὶ ταῖς πρεσβείαις σου· *

ego te deprecor, ut per te propitiationem inveniam; annue, casta, precibus meis, et implens me lætitia quæ ex te oritur, luctum animæ meæ dissipa.

4. Exalta me humiliatum, tu quæ lapsam naturam antiqua ligni illecebra erexisti; suavi enim horti cultura privatus sum, virtutibusque nudatus et opibus, similis factus filio prodigo penuria consilii. Tu ergo da mihi gratiam, lumen, veniam, lætitiam; considera infelicitatem famuli tui, meque semper liberans a discriminibus, luctum animæ meæ dissipa.

5. Excita me collapsum, tu quæ Evam, prostratam esca illa maledicta, vitæ palam restituisti. Abysso enim involvor iniquitatis, et pelago pessumdor nequitiæ, jactatus nefando Sodomitarum scelere. Te solam enim novi potentem apud Deum advocatam. Excipe, o casta, preces meas, et semper luctum...

6. Illustra me tenebris obsitum, tu quæ caliginem erroris olim dissipasti divino tuo partu; etenim lucis radios extinxi, nec texui chlamydem bonorum operum, totus qui videor pudefactus, ingratus, obscurus et fœtidus, ex insano impetu et prorsus fœda mea petulantia; vide contritionem meam, Domine, et carnis meæ emundans libidines, luctum animæ meæ dissipa.

7. Extende mihi manum auxiliatricem, tu quæ gentes ex procella perfidi hostis in finem usque salvas. Etenim mergor decumanis passionum fluctibus, voluptatumque conturbor tempestate; da robur, ut ex hostis cassibus impuris evadam, e cujus me retibus expedito semper tuis precibus: vide

4. ἡ τὴν, sic melodus constanti suavitate, post primum distichum, periodum elegiacam usque in finem producit, more Theodori sua facile vestigia relegentis, quem satis notat sola vox ἀσώτῳ. Clausula item similia eleganter reducit.

5. τῇ τῆς γεύσ. C et f. retinendum ex canone XV. — Expectaveris vel καὶ τῷ βέλει τιτρ. vel πελάγει βυθίζομαι.

6. θείᾳ κυήσ. C. — τὰς ἐλλ. C. — ὑφάνας pro ὑφήνας, ut Roman. XXIV, 27.

7. De aor. ἀποδρᾶσαι pro Atticorum ἀποδρᾶναι docte disputat Lobeck in Phryn. p. 737.

ἴδε τὴν κάκωσιν, δέσποινα, * καὶ ταχὺ κατευνάσασα τοὺς πειρασμοὺς, * τὴν λύπην...

η'. Εὐφρανόν με * τὸν λελυπημένον, * ἡ τῷ κόσμῳ τὴν θείαν * παρασχοῦσα χαρὰν, * ἐχθροὶ γάρ μὲ ἐκθλίβουσιν, * ἐκ γλώσσης δολίας, ἁγνὴ, μὲ ῥῦσαι, * καὶ ἐκ συκοφαντίας ἀφάρπασόν με· * ἐν συστροφῇ * πονηρευομένων μὴ ἐάσῃς θανεῖν, * ἆρόν με ψεύδους ἐκ λάκκου * καὶ καταλαλιᾶς, ταῖς πρεσβείαις σου, * δέχου ἱκέτου παράκλησιν, * τὴν λύπην...

θ'. Ἴθυνόν μου * τὸν νοῦν καὶ τοὺς τρόπους, * ἡ τὸν Λόγον ἀσπόρως * τετοκυῖα Χριστὸν * ἀνθρώπων εἰς τὴν θέωσιν, * κατεύθυνον τὰ διαβήματά μου * καὶ κυβέρνησον ἔμπροσθεν τὴν ζωήν μου· * ἐκ φυλακῆς, * αἰκισμῶν καὶ δεσμῶν, ἀπειλῆς καὶ ὀργῆς * τάχιον ῥῦσαί με, ὅπως * ἐγκαυχῶμαι ἐν σοὶ τῇ προστάτῃ μου * παῦσον καρδίας τὸν τάραχον, * καὶ χαρᾶς ἐμπιπλῶσά με τῆς παρὰ σοῦ, * τὴν λύπην...

ι'. Νέκρωσόν μου * τῆς σαρκὸς τὰ πάθη, * ἡ τὸν ὄφιν διόλου * πολεμοῦντα ἡμᾶς * δυνάμει θανατώσασα· * ἐν ὥρᾳ εὐχῆς μου εἰσάκουσόν μου, * καὶ ἐν ἡμέρᾳ ἀνάγκης βοήθησόν μοι, * ἀπὸ ἀνδρὸς * πονηροῦ, σκολιοῦ ῥυομένη ἀεὶ, * πάντοτε τεῖχος γενοῦ μοι, * ἐν καιρῷ πειρασμοῦ προστατεύουσα, * σοῦ γὰρ τῇ σκέπῃ κατέφυγον, * καὶ θαῤῥῶν τῇ δυνάμει σου ἀναβοῶ· * τὴν λύπην...

ια'. Ὄμβρισόν μοι * ὑγείας τὴν δρόσον, * ἡ πληροῦσα τὰ πάντα * τοῦ ἀστέκτου φωτὸς * καὶ δόξης τῆς ἀμείνω σου, * ὅτι ἠσθένησεν ἡ ἰσχύς μου * καὶ προσώζεσαν μώλωπες τῆς ψυχῆς μου, * τοῦ ἀσθενοῦς * καὶ ἀεὶ ἐμπαθοῦς μὴ παρίδῃς φωνάς, * δεῦρο ἐξ ὕψους

calamitatem, o domina, et cito tentationum sedans procellam, luctum animæ meæ d...

8. Lætifica me mœrore confectum, tu quæ mundo præbuisti deificam lætitiam; hostes enim me contribulant; a lingua dolosa, o casta, libera me, et ab hypocrisi eripe, in vortigine improborum ne sinas me occidi, tolle me precibus tuis e lacu mendacii et maledicentiæ, accipe supplicis tui invocationem, luctum...

9. Dirige in me et mentem et mores, tu quæ Verbum sine semine peperisti Christum, ut homines dii fierent, rectos fac gressus meos, et guberna deinceps vitam meam; ex carcere, verberibus et vinculis, minisque et iracundia cito erue me, et gloriabor in te, præsidio meo. Fac quiescere cordis mei tumultus, et cumulans me gaudio quod ex te oritur, luctum animæ dissipa.

10. Mortifica carnis meæ affectus, tu quæ serpentem, perpetuo nos bello vexantem, potestate tua interemisti; in hora precum mearum exaudi me, et in die necessitatis succurre mihi, me ab homine malo, tortuoso semper eximens; semper esto mihi, sicut murus, in tempore discriminis auxiliatrix : sub tuam enim tutelam confugio, et confidens in virtute tua clamo : Luctum...

11. Fac pluere mihi rorem sanitatis, tu quæ cuncta inundasti immenso lumine et tua meliore gloria, quoniam infirmata est virtus mea, et putruerunt cicatrices animæ meæ; voces meas, qui debilis sum et semper doleo, ne spernas; cito, ab alto pro-

9. τὴν ante θέωσιν add. — ἔμπροσθεν *deinceps*, ut supra in epigraphe Photii ad Marcellum. Cf. Lob. l. l. p. 11. — Notatu optimum quis non duxerit rarum illud τῇ προστάτῃ pro fem. προστάτιδι? Sane ἡ προφήτης non solum usurpant Byzantini, inter quos Zonaras in proœm. ad canones Anastasimos ἡ προφήτης Ἄννα, præuntibus LXX in Nehem. VI, 14, sed et classici, ut docuit Lob. ad Sophocl. *Ajac.* p. 275, 443; quibus et nostrum nunc adde Theodorum, qui rerum suarum tragœdiam hic videtur oculis proposuisse.

10. δυνάμει σου C.

11. Ὄμβρ. με C, f. ὄμβρησόν μοι. — An τῆς ἀμώμου σου? Etenim ἀμείνω melodo obrepsit pro genit. ἀμείνονος, dum solum acc. ἀμείνονα in ἀμείνω resolvitur. — Ad vers. 6 hiat aliquid. f. ἠσθενώθη

φοιτῶσα, * τὴν πολλήν συνοχήν μου ἐλάφρυνον, * στάξον μοι ἔλαιον ἰάσεως, * καὶ ζωὴν δωρουμένη μοι τὴν παρὰ σοῦ, * τὴν λύπην...

ιβ'. Ὑγιῆ με * τὸν νοσοῦντα δεῖξον, * τῇ οἰκείᾳ παλάμῃ * παροχεύουσα νῦν * τὰ ῥεῖθρα τὰ τῶν ἰάσεων, * ἐκ κλίνης ὀδύνης ἀνάστησόν με * καὶ σθενοῦσα τὰς βάσεις μου καὶ τὰ σφυρὰ, * κατὰ ψυχὴν * εὐρωστεῖν με ἀεὶ καταξίωσον· * μόνη γὰρ πέλεις ἀκέστωρ * τῶν ψυχῆς ὀδυνῶν καὶ τοῦ σώματος, * δέχου οἰκέτου παράκλησιν * ἐκτενῶς ἀνακράζοντος μετὰ κλαυθμοῦ, * τὴν λύπην...

perans, multas meas angustias subleva, infunde mihi oleum sanationis, et dans mihi vitam quæ a te procedit, luctum animæ meæ dissipa.

12. Sanum me fac ægrotantem; propria nunc manu tua subministra fluenta sanationum, ex lecto angoris suscita me, firmansque bases et crura mea, in animo dignare robustum me semper dimittere, sola enim es medica dolorum animæ et corporis : accipe supplicis tui carmen paracleticum, enixe cum singultu clamitantis : « Luctum animæ meæ dissolve. »

πᾶσα ἰσχύς μου. — ἔλεον ἰάσεως C, ubi nota συναλοιφήν.

12. In hoc solo tropario fit respectus ad ægrotos, cætera tantum animæ considerant infirmitates, ac nisi fallor, sancti melodi inter Iconomachos dura certamina.

VI.

ΕΤΕΡΟΝ ΠΑΡΑΚΛΗΤΙΚΟΝ.

α'. Προστασία
τῶν χριστιανῶν ἀκαταίσχυντε,
μεσιτεία
πρὸς τὸν ποιητὴν ἀμετάθητε,
μὴ παρίδης
ἁμαρτωλῶν δεήσεων φωνάς·
ἀλλὰ πρόφθασον, ὡς ἀγαθὴ,
εἰς τὴν βοήθειαν
τῶν πιστῶς κραυγαζόντων σοι·
Τάχυνον εἰς πρεσβείαν,
καὶ σπεῦσον εἰς σωτηρίαν,
ἡ προστατεύουσα ἀεὶ,
Θεοτόκε, τῶν τιμώντων σε,

β'. Τάχυνον εἰς πρεσβείαν,

1. Christianorum tutela inconfusa, mediatrix apud creatorem indeclinabilis, ne despicias peccatorum supplices voces, sed propera, ut bona et prompta, in auxilium fidelium ad te clamantium : accelera in præsidium, et festina ad salvandum, tu semper protegens, o Deipara, te recolentes.

2. Accelera in auxilium, et festina ad salvandum, tu perpetua protectio, Dei genitrix, te recolentium. Extende manus tuas,

VI. Nollem ego contendere multum, si quis opinetur antiquum esse hoc alterum paracleticon, et fortasse Romano vetustius, cui rarissimi hirmi τάχυνον exemplar præstiterit, quale fuse persequitur prolixus de tribus pueris hymnus, supra relatus p. 185. Utrumque opus insuper hoc habet singulare, quod proœmium et ephymnion ampliora solito sunt, ἐφύμνιον vero totum quantum ab initio et in fine 2 trop. repetitur, ut exordium sit ejusdem et coronis. Vix incœpta voce ταπεινοῦ, inferendum innumera excidisse; quæ supersunt, id solatii præbent quod eadem in duobus classicis codd. fere servantur, in corsin. f. 153, in taurin. f. 139 cujus copiosæ varietates aliud sunt de vetustate et gravitate operis argumentum. Etiam dictio in multis est nova simul et archaïca.

1. αὐτόμελον est proœmium. — in fine εἰς ἱκεσίαν T, in quo exciderunt duo ultimi versiculi. — Tonus est VI sive πλβ'.

2. τῶν αἰτούντων σε T. — ὡς βρέφος ἐνηγκ., διὰ ἔλεος ἀμέτρητον, μὴ κατορφανίσῃς ἡμ. ἀεὶ T. rectius

καὶ σπεῦσον εἰς σωτηρίαν,
ἡ προστατεύουσα ἀεὶ,
Θεοτόκε, τῶν τιμώντων σε·
ἔκτεινόν σου παλάμας,
ἐν αἷς ὁ πάντων δεσπότης
ἀτρέπτως ἐνηγκαλίσθη,
διὰ πλῆθος ἀγαθότητος·
μὴ κατορφανεύσῃς
ἡμᾶς τῆς ἱκεσίας σου·
μηδὲ ἐρήμους ἐάσῃς
τῆς πολλῆς παρουσίας σου·
οἰκτείρησον ἡμᾶς,
καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν,
εὐσπλαγχνίας ὑπάρχουσα πηγή·
σὲ γὰρ προστασίαν κεκτήμεθα,
πανάχραντε, οἱ ῥυσθέντες
τῆς ἀρχαίας κακώσεως·
ἀλλ' ὡς ἔχουσα σπλάγχνα οἰκτιρμῶν,
τάχυνον...

γ'. Ὄμμασιν εὐσπλαγχνίας,
πανάσπιλε, καθορῶσα
τῶν σῶν προσφύγων καὶ δούλων
τὴν εἰς ἄκρον καταπόνησιν,
πᾶσιν ἐν δεινοτάτοις
συμπτώμασι συσχεθέντας
καὶ θλίψεσι καὶ ἀνάγκαις,
μὴ παρίδῃς, ἀλλ' ἐλέησον
τοὺς ταπεινωθέντας
ἡμᾶς, ταῖς ἱκεσίαις σου,
δέσποινα, πρὸς τὸν Κύριον·
ὅσα θέλεις γὰρ δύνασαι·
ἐλέησον ἡμᾶς,
ἐλέησον, δεόμεθα,
εὐθηνίαν ὡς βρύουσα σπλάγχνων
τοὺς ἐξαιτουμένους τὴν σὴν θερμὴν
ἀντίληψιν, καὶ καλοῦντας
ἐν ἀνάγκῃ παρεῖναί σου
τὴν βοήθειαν τοῖς ὡς κράζουσι·
Τάχυνον...

δ'. Ὕψος ταπεινωθέντων,
ἀνόρθωσις τῶν πιπτόντων,
παράκλησις, τῶν ἐν λύπαις,
καὶ καμνόντων ἐξανάστασις,
κράτυνόν σου τῆς θείας
πρὸς τὸν υἱὸν παῤῥησίας
τὸ μῆκος, τῆς ἱκεσίας
ἧς τὸ κράτος πανευπρόσδεκτον·
μὴ ἀποσκεπάσῃς ἡμᾶς

in quibus omnium Dominus nihil mutatus requievit, pro ampla benignitate; ne nos orbos facias tuarum precum, neque desertos fac tua plurima præsentia. Miserere nostri, et parce animabus nostris, tu fons misericordiæ; te enim possidemus adjutricem, tota immaculata, nos a vetere calamitate redempti. Agedum, uti habens viscera misericordiæ, accelera...

3. Clementiæ cum oculis, o illibata, intuens tuorum famulorum et profugorum summam lassitudinem, in quibuscumque asperrimis lapsibus implicitos, in angustiis, in necessitatibus, ne despicias; sed miserere nostri male vexatorum, tuis usa suffragiis apud Dominum, o regina; quæcumque vis enim, potes; miserere nostri, miserere, deprecamur, tu quæ ubertatem benignitatis effundis in exorantes tuam strenuam tutelam, et invocantes in angustia, ut tuum sit auxilium præsens clamantibus : Accelera...

ζ'. Ὅλως οὐκ ἴσχυσαν ἀπαλῦναι * λογισμοῦ τὸ ἀνδρεῖον * καὶ γενναῖον τοῦ σοῦ * ἱερομάρτυρος, Κύριε· * ὁ αἱμοβόρος καὶ δολιόφρων, * ὁ τοῦ σκότους υἱὸς καὶ τῆς ἀπωλείας, * Λουκιανὸς, * ὁ ἀνήμερος θὴρ καὶ ἀπάνθρωπος, * προστάττει λίθοις βληθῆναι * τὸ πανίερον σῶμα τοῦ μάκαρος· * ὁ δ' ἐνισχύετο ὑπὸ σοῦ, * καὶ ἐβόα σοι ἄπαυστον τὴν ᾠδήν· * Ὁ μόνος γινώσκων τὰ ἐγκάρδια

η'. Μέγας Χριστοῦ ὁ ἱεροκῆρυξ * Ἀνανίας ἐδείχθη, * καὶ ἐξάκουστος νῦν * τῇ ὑφηλίῳ ἐγένετο· * ὅστις γὰρ νῦν πειρασμοῖς ἐμπίπτει * καὶ ἀλγήμασι νόσου θανατηφόρου, * μόνον θερμῶς * εἰ προσψαύσῃ αὐτῷ καθαρότητι, * εὐθὺς λυτροῦται τοῦ πάθους, * ἐῤῥωμένος τε ἄπεισιν οἴκαδε· * τοία γὰρ χάρις δεδώρηται * ἐκ Θεοῦ τῷ ἁγίῳ διὰ παντός· * ὁ θαύμασι λαμπρύνας ἑσπέρια.

θ'. Υ... ι'. Σ... ια'. Τ... ιβ'. Ἵλεως ἔσο μοι, πανοικτίρμων, * ἐν ἡμέρᾳ τῆς δίκης, * ὅταν μέλλῃς, Χριστὲ, * ἐτάζειν τὰ πεπραγμένα μου· * ῥῦσαι κολάσεως ἀνηκέστου * καὶ βρυγμοῦ τῶν ὀδόντων καὶ τῆς γεέννης, * τοῦ σοῦ λιταῖς * ἀποστόλου καὶ ἱεροκήρυκος· *

adesto, vir famosissime; expeditas fac angustias, omnesque redime a calamitatibus, portentosa fax Occidentalium.

6. Violentum robur frange filiorum Agar, tu solus potens, precibus sacri tui martyris, o dominator : populus enim tuus omnes sumus, operaque tua, tuaque in virtute gloriamur, o Verbum! Contere ergo arma, hastam, galeam, omnemque mucronem; in corda eorum suus recidat gladius, suaque sibi tela recurrant. Plebs tua sumus, et surculi ovesque ovilis tui, o qui solus novisti intima cordium.

7. Omnino non valuerunt dissolvere robusta et nervosa sacri martyris tui argumenta, o Domine. Cruoris ille vorax, et noctis et orci perfida soboles, Lucianus, fera pessima et truculenta, jubet saxis obrui sanctissimum beati corpus; verum ille in te invaluit, tibique indefessum canticum intonuit : « Tu solus novisti intima præcordiorum. »

8. Magnus et sacer Christi præco palam fuit Ananias, nuncque per ora hominum sub sole increbuit. Quicumque enim in discrimina ruit aut in angores morbi lethalis, eum si tetigerit tantum cum amore puro, statim ægritudine solvitur, incolumisque domum recedit : tantam siquidem Deus gratiam semper sancto dedit; stupendum est vespertinæ plagæ lumen.

9... 12. Propitius esto mihi, o misericordia ditissime, in die judicii, quando venturus es, Christe, ut mea gesta scruteris: eripe me ab intolerabili supplicio, a stridore dentium et gehenna, per preces apostoli et sacri tui præconis : eum enim ut

6. Rupta series videtur, sed de more Eliæ, opinor, neque admiratio sequentibus deest. — καὶ κρ. C. — εἰς καρδ. C. Cf. ps. XXXVI, 15. — ἡμεῖς γὰρ λαός σου κεκλήμεθα sic C. Ephymnia semel et iterum variantur, ex quadam fortasse hymnodi licentia, cf. p. 170.

7. προστάττη C. — f. σοῦ μάκαρος.

8. ἐμπέσει duo codd. pro ἐμπέσῃ. — τοιαύτη γὰρ C. Inde tria tr. excidisse videntur.

12. Ἵλεως acrostichidem f. ab aure claudit. — Poeticum ἔσο tam rarum in melodis quam frequens apud Nazianzen. — f. πεπρ. μοι. — αὐτὸν γὰρ μεσίτ. C. — προσεῤῥίφην, ex ps. XXI, 11 : ἐπὶ σε ἐπεῤῥίφην ἐκ μήτρας.

αὐτὸν μεσίτην ἱκνοῦμαι, * εὐσπλαγχνίαν τὴν σὴν ἐξαιτήσασθαι· * εἰς σὲ γὰρ ἤλπισα, Ἰησοῦ, * καὶ ἐν σοὶ προσερρίφην ἐκ μου μητρός, * ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

advocatum imploro supplex, tuam deprecaturum clementiam. In te namque speravi, o Jesu, in te me projeci ex utero matris, tu qui solus novisti intima cordium.

II.

α'... β'... γ'. Σὺ τοῦ πάνθηρος ἀκέστωρ * τοῦ ψυχάρπαγος ἐγένου, * Ἀνανία μέγιστε, * τοῦ Βενιαμὶν, τοῦ φωτίσαντος * κόρας τῶν ἐν ψυχῇ πηρῶν, * πολύολβε, κοσμοεμπόρευτε· * αὐτὸς τὰς ἡμῶν * τοῦ νοῦ λεπίδας ἀπόξεσον, * τοῦ βλέπειν τρανῶς * τὰ θεῖα κάλλη· ἀξίωσον * καὶ Παύλου ποίησον μιμητὰς * τῷ ναῷ σου ψάλλοντας· * διὸ ὑπὲρ ἡμῶν...

δ'. Μέγα κλέος ἐκληρώσω * ἐν τῇ δύσει καὶ ἑῴᾳ, * Ἀνανία πρόκριτε, * τῶν θεραπευτῶν κοσμολάλητε· * ἐν σοὶ γὰρ πάντες ἀσθενεῖς * ῥωννύμενοι πανηγυρίζουσιν· * αὐτὸς τῶν παθῶν * ἀλεξιτήριον πέφυκας, * φρενήρεις ποιῶν * τοὺς παραιτήσαντας οἴκαδε, * καὶ σοὶ προσφεύγοντες, τερατουργὲ, * θιάσῳ σοι ἐπᾴδομεν· * διὸ ὑπὲρ ἡμῶν...

1. 2. 3. Tu domitor fuisti belluæ animas rapientis, maxime Anania, illius Benjamitæ qui illuminavit pupillas cæcorum ex mente, ditissime orbis mercator. Tu quoque a mente nostra excute squammas, ut clare videamus divina decora. Dignator insuper Pauli facere nos imitatores, qui in tuo templo psallimus: ideo...

4. Magnam acquisivisti famam in Occidente et in Oriente, Anania præstantissime, inter famulantes Deo famigerate: per te namque omnes imbecilles in sanitatem restituti panegyrin agunt; tu passionum medicus fuisti qui hos mente compotes facis domi te invocantes, atque ad te confugientes miraculorum opifex, tibi in læto cœtu hymnum canimus: ideo...

II. Ab hoc frustulo incipit nova series cantuum, cui eadem erit acrostichis ᾆσμα, plus minus integra, iterumque redibit Theodorus Studita, quem statim excient nova verba: ψυχάρπαξ, κοσμοεμπόρευτος, κοσμολάλητος. Extat in corsin. f. 2.
3. Hirmus est τὸν φωστῆρα. Præcedentis troparii finis est in lacero codice: ψυχῆς φωταύγειαν οἱ πηρόμενοι, (l. πηρούμενοι) Χριστῷ γὰρ πρεσβεύει... — f. leg. ἐν τῷ ναῷ σου ψ.
4. γὰρ ἅπαντες C. — τοὺς παρετίζοντας... προσφεύγοντας sic perspicue C. — θειασῶς σοι sic id. Θίασος dictio Nonni solemnis est, melodis rarissima.

XXXVII.

DE S. IGNATIO MARTYRE.

I.

α'. Τὰ θερμότατα
τῆς θεϊκῆς σου τόλμης ἆθλα
πυρπολούμενος

1. Flagrantissima
divinæ tuæ audaciæ prælia
tu igne succensus

XXXVII. I. Extat in corsin. f. 33, inscriptum: Μηνὶ δεκ. κ'. τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου κονδ. ἦχ. α' φέρον ἀκροστιχίδα· ᾎσμα.
1. πρὸς τό· Τὰ θεόβρυτα, vid. p. 346. — v. 9-11 alias

ἐκ τῆς Θεοῦ ἀγάπης φέρων,
τὴν ἀθεΐαν
ἀπετέφρωσας,
Ἰγνάτιε· θηρσὶ μὲν πλακεὶς,
ἀποχωρεῖς ἐκ κόσμου·
Χριστοῦ δὲ τυχὼν,
τοῦ σοῦ ἔρωτος, χαίρεις,
ἱεράρχα, ὁ ἀποστολικώτατος·
ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν
ἀδιαλείπτως ἱκέτευε.

β'. Αἶνόν σοι ἅπαντες
ᾄδομεν τῷ θεοφόρῳ,
ὡς διαδόχῳ ἀληθῶς
τῶν ἀποστόλων·
Ἰγνάτιε σοφὲ,
σκεῦος ἐκλογῆς Θεοῦ ἱερώτατον,
θεότολμε ἀθλητὰ,
ῥεῖθρον θεολογίας ἀέννaον·
σὺ ἐβύθισας αἱρετικῶν
τοὺς θῆρας, καὶ ἀνέβλυσας ἡμῖν
ποταμοὺς δογμάτων
ὀρθοδόξων κόσμον ἄρδοντας·
διὸ βοῶμέν σοι ᾀσματικῶς·
Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ,
ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν
ἀδιαλείπτως ἱκέτευε.

in superna charitate sustinens,
impietatem
in cinerem redegisti,
Ignati; dum belluis concuteris,
recedis quidem e mundo,
sed Christo, amore tuo
fruens, lætaris,
o pontifex apostolis quam proxime:
Dominum, age, pro nobis
perpetuo exora.

2. Canticum tibi Theophoro
omnes personamus,
ut qui vestigia premis
apostolorum,
o sapiens Ignati,
vas divinæ electionis sacerrimum,
in Deo fortis athleta,
theologiæ torrens inexhauste;
tu demersisti hæreticas
belluas, et irrigasti nos
dogmatum fluminibus,
quæ recta fide orbem imbuunt;
ideo tibi tono cantuum clamamus:
« Noli oblivisci plebis tuæ,
« sed pro nobis Dominum
« indesinenter exora. »

γ'. Σὲ ἠγκαλίσατο * Κύριος παιδίον ὄντα, * ἡνίκα μέσον ἔλαβεν * τῶν ἀποστόλων, * προβλέπων ὡς Θεὸς * τούτοις τὸν ἐφάμιλλον δρόμον θέειν σε· * σεπτή σου ἡ κορυφὴ, * ὅτι θείας παλάμης ἠξίωται· * ἀπεντεῦθεν γὰρ σὺ γνωρισθεὶς, * τελείως ἀφιερώθης αὐτῷ * τῆς Ἀντιοχέων * προεδρεύσασθαι τῆς πόλεως· * διὸ βοῶμέν σοι, ἱερουργὲ, * μὴ...

δ'. Μέγας ἀνέτειλας * ἥλιος ταῖς ἐκκλησίαις, * ὥσπερ ἀκτῖνας [τηλαυγεῖς] * ἐπιστολάς

3. Te ulnis amplexus est Dominus adhuc puellum, quando medium te apostolis posuit, prospiciens uti Deus, fore ut cursum similem illis conficeres. Sacer tuus est vertex, qui manu Domini tangi meruit: unde jam tu designatus, perfecte ab eo consecratus es, ut urbi Antiochenorum præesses: ideo clamamus tibi, pontifex: Noli...

4. Sol ingens ecclesiis ortus es, quibus ut radios misisti undequaque tuas epistolas,

in duos dividitur vel dodecasyll. est. Crescunt etiam aut aliter dividuntur duo seqq. — ἔρωτος. Suavis est Ignatii vox: ὁ ἐμὸς ἔρως ἐσταύρωται. Ad Roman. 7. — ἀποστολικώτατος, uti mox θεότολμε, sapit Theodori lexicum.

2. πρὸς τό· Τέρπεται. Vid. p. 346, sine ulla varietate.

3. προβλέπω C. — id. om. σὺ et mox τῆς juxta πόλεως. — Ἀντιοχαίων C. Hic et infra innuitur quod tradunt, Ignatium fuisse puerum quem Christus in exemplum apostolis proposuit.

4. Post ἀκτῖνας excidit trisyllab. — τὰς ἐπιστ. C. — ὑπάρχων C.

σου * ἐκπέμπων πανταχοῦ, * ζόφον ἐκδιωκούσας τῶν αἱρέσεων * καὶ λαμπούσας τὸ σεπτὸν * φέγγος τῆς εὐσεβείας, Ἰγνάτιε· * ὡς ἀπόστολος γὰρ καὶ αὐτὸς * ὁ μέγας κῆρυξ ὑπάρχεις, λαμπρῶς * τοῦ Εὐαγγελίου * καταγγέλλων τὸ μυστήριον, * διὸ... μὴ...

ε'. Ἄνθρακα ἄϋλον * κτώμενος Θεοῦ ἀγάπης * ἐνεπυρίσθης τοῦ πιεῖν * τὸ μαρτυρίου * ποτήριον, σοφὲ, * ὅθεν πρὸς τὴν ἄθλησιν ἐπειγόμενος * ἐκραύγαζες τοῖς λαοῖς· * Μή τις σφαγιασθῆναι κωλύσῃ με * ὑπὲρ Χριστοῦ ὄντως τοῦ δι' ἐμὲ * θανόντος· ἐν προθυμίᾳ κἀγὼ * μέλλω ἀποθνήσκειν, * πίστιν φέρων τοῦ δεσπότου μου. * Διὸ βοῶμέν σοι ᾀσματικῶς· * Μὴ ἐπιλάθῃ...

omnibus procul luculentas, quibus caligo dissipatur hæreticorum, splendet vero sacrum religionis jubar, o Ignati. Ut apostolus enim, tu quoque magnus præco es, splendide nuntians Evangelii mysterium, ideo tibi canticum...

5. Arcanum divini amoris carbonem nactus, inflammatus es ad bibendum martyrii calicem, o sapiens; unde ad certamen properans, clamabas ad populos: « Nemo me « mactari prohibeat pro Christo, vere ob « me occiso. Prompto animo ego quoque « debeo mori, mecum gerens Domini mei « fidem. » Ideo tibi canticum personamus: « Noli esse plebis tuæ immemor, sed ora « Dominum... »

II.

α'. Ἐξ ἑῴας σήμερον * ἐξανατείλας * καὶ τὴν κτίσιν ἅπασαν * καταλαμπρύνας διδαχαῖς, * τῷ μαρτυρίῳ κεκόσμηται * ὁ θεοφόρος * καὶ θεῖος Ἰγνάτιος.

β'. Ἱερεμίαν ὁ Θεὸς * ἐκ μήτρας ἁγιάσας, * καὶ πρὸ τοῦ γεννηθῆναι * γινώσκων ὡς προγνώστης, * δοχεῖον ἔσεσθαι αὐτὸν * Πνεύματος ἁγίου, * ἐμπιπλᾷ τοῦτον εὐθὺς * ἐκ νεαρᾶς βιώσεως, * καὶ προφήτην τε τοῦτον καὶ κήρυκα * πᾶσιν ἀποστέλλει, * προαγγέλλειν τὴν ἁγίαν * ἐπὶ τῆς γῆς * αὐτοῦ παρουσίαν· * τεχθεὶς οὖν ὁ αὐτὸς * Θεὸς ἐκ Παρθένου, * πρὸς τὸ κήρυγμα ἐλθὼν, * εὗρεν ἐκ βρέφους * ἄξιον αὐτοῦ * τῆς χάριτος ὑποφήτην, * τὸν θεοφόρον * καὶ θεῖον Ἰγνάτιον.

γ'. Γεγεννημένος ἐκ Πατρὸς * πρὸ πάντων τῶν αἰώνων, * ὡς οἶδεν ὁ γεννήσας, * καὶ πάλιν ἐκ Παρθένου, * φῶς μέγα ἔλαμψας

1. Ab aurora qui ortus est, omnemque creatum orbem doctrina illustravit, hodie martyrio exornatus est Theophorus, divinusque Ignatius.

2. Deus ille qui Jeremiam ab utero sanctum fecit, cujus ante ortum, utpote præscius, novit futurum esse Spiritus sancti vas, eum statim imbuit a teneris, omnibusque prophetam misit et præconem, a quo sanctus in terram adventus suus nuntiaretur. Natus ergo Deus ille ex Virgine, profectusque ad prædicandum, ab infantia dignum invenit gratiæ suæ interpretem, Theophorum divinumque Ignatium.

3. Tu ex Patre genitus ante sæcula, sicut novit generator, ac rursus ex Virgine, magnum uti lumen novissimorum temporum

II. Emicat inter hujus carminis ruinas summi architecti mens, Romani scilicet ingenium, cujus etiam plurima jam audita verba, iterum et mirum in modum resonant. In unico taurin. f. 74 extant omnia, quæ supersunt, priora vero, et quod rarum est, sine ulla fere varietate, veneta menæa et anthologium romanum retinuerunt.

1. Ibid. πρὸς τό· Ἐπεφάνης σήμερον, v. p. 16.

2. πρὸς τό· Τῇ Γαλιλαίᾳ, v. p. 16, 77. — προφήτην τοῦτον T. — τοῦ προαγγέλλειν T.

3. φῶς μέγα, ut Roman. cant. III, tr. 2, p. 16. Huc etiam adhibe celebrem Ignatii locum, sive hymnum circa tria κραυγῆς μυστήρια in epist. ad Ephes. 19: ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν κ. τ. ἑ. — χωρὶς

ἡμῖν * χρόνων ἐπεσχόντων, * σαρκωθεὶς δὲ ἐξ αὐτῆς * καὶ καθ' ἡμᾶς γενόμενος· * χωρεῖς μὲν, πάσῃ οἰκουμένῃ * σωτηρίαν χορηγήσας * καὶ ἄφεσιν * τῶν ἁμαρτημάτων· * εἰς τοῦτο γὰρ αὐτὸς * ἐλήλυθας, Λόγε· * ἐμαθήτευσας αὐτὸς * τοὺς ἀποστόλους * καὶ τὸν μετ' αὐτοὺς * γενόμενον κήρυκά σου, * τὸν θεοφόρον....

δ'. Νόμῳ πειθόμενοι τῷ σῷ, * Χριστὲ, οἱ μαθηταί σου, * καὶ τοῖς ἐξ ἐθνῶν πᾶσι * κηρύττοντες τὸν λόγον * τῆς θείας σου ἐλεύσεως, * πάσαις ἐκκλησίαις * προχειρίζονται πιστοὺς * ποιμένας τε καὶ κήρυκας, * μεθ' ὧν Ἀντιοχείᾳ προβάλλονται· * ὃν χειροθετήσας * ἀπὸ βρέφους καὶ φωτίσας * ὡς ἄμωμον, * αὐτὸς προορίσας· * εἰς τοῦτο δὲ αὐτὸν * πιστῶς προαχθέντα, * καὶ τὸ ποίμνιον τὸ σὸν * ἐγχειρισθέντα, * μάρτυρα τῆς σῆς * ἀνέδειξας βασιλείας, * τὸν θεοφόρον * καὶ θεῖον Ἰγνάτιον.

nobis illuxisti, ex eadem caro factus et similis nobis; exivisti foras, universo orbi salutem dispensans et veniam peccatorum: propterea namque venisti, o Verbum, edocuisti tu ipse apostolos et post ipsos hunc fecisti præconem, Theophorum divinumque Ignatium.

4. Lege tua, o Christe, persuasi discipuli tui, interque gentes cunctis verbum renuntiantes sacri adventus tui, pro omnibus ecclesiis consecrarunt fideles pastores et concionatores : ex quibus Antiochiæ præfecerunt hunc a teneris sub manu tua positum, utque innocentem illuminatum atque a te ipso prædestinatum; cui fideliter promoto commissum est ovile tuum, eumque fecisti testem imperii tui, Theophorum atque divinum Ignatium.

μὲν T, ubi verbum expectatur. — πᾶσι ἐν οἰκουμ. T. — μαθητεύσας αὐτὸν καὶ ἀποστόλοις καὶ τὸν T, contra metrum et seriem.

4. τοὺς ἐξ ἐθνῶν πάντας T. — θείας τῆς ἐλ. σου T. — πάσης ἐκκλησίας T. — ἐν Ἀντιοχ. T. — ὅνπερ χειρ. T. — προορίσας ob rhythmum retinetur, ut cætera participia pro verbo definito, more Josephi in primis.

XXXVIII.

DE SS. CONONE ET ARISTEA MM.

α'. Τὸν ἐν ἀσκήσει * θερμότατον Ἀριστέα, * καὶ ἐν ἀγῶσι * στερρότατον ἀθλοφόρον * Κόνωνα ἅπαντες εὐφημήσωμεν, * ὅτι αὐτὸν ὁ κτίστης * ὡς ἀγαθὸς ἐδόξασεν, * ὁ μόνος ὑπάρχων παντοδύναμος.

β'. Ἀνευφημεῖν μέλλων, ὁ Θεός μου, * τὸν πιστόν σου οἰκέτην, * ἱκετεύω τὴν σὴν * ἀμέτρητον ἀγαθότητα, * δοῦναί μοι λογον εὐρύθμως φράσαι * τὴν αὐτοῦ πολιτείαν καὶ

1. In ascetica vita zelosissimum Aristeam, et in agonibus firmissimum athletam Cononem omnes celebremus; eos namque creator optimus gloriosos fecit, qui solus est omnipotens.

2. Celebraturus, o Deus meus, tuum fidelem famulum, imploro tuam immensam bonitatem, ut des mihi pulchro rhythmo dicere ejus conversationem et fortitudinem,

XXXVIII. In cod. corsin. f. 132 inscribitur : Μηνὶ ἰουλ. δ' κονδ. εἰς τοὺς ἁγίους μαρτ. τοῦ Χριστοῦ Κόνωνα· καὶ τὸν υἱὸν αὐτοῦ. Procul dubio iidem sunt quos ad diem maii XXIX martyrol. rom. memorat, illustrant vero Bolland. t. VII maii p. 4; habentur martyres Trajano coæquales, et acta fere proconsularia. Filii nomen nunc primum innotescit.

1. Juxta modulum τὴν ἐν πρεσβείαις vid. p. 527.

2. πρὸς τό· Τράνωσον. — ἐξαιτοῦσι C.

ἀριστεῖαν, * πῶς τὸν ἐχθρὸν * τὸν δεινὸν ἕως τέλους ἐνίκησε, * καὶ πάλιν εἴληφε χάριν * παρὰ σοῦ τεραστείων ὁ ἔνδοξος· * πᾶσι παρέχεις ἀφθόνως γὰρ * τοῖς πιστῶς αἰτοῦσί σε, δημιουργὲ, * ὁ μόνος...

γ'. Μέγας ἡμῖν ἐδείχθης, θεόφρον, * ἐκ μητρικῶν γὰρ, Κόνων, * ἀγκαλῶν τὸν Χριστὸν * ἐζήτησας, ὦ θερμότατε, * αὐτοῦ ἐργαζόμενος θελήσεις· * διὸ καὶ ἠξιώθης τερατουργῆσαι, * ὡς καὶ αὐτὸς * ἐν τοῖς θείοις εὐαγγελίοις βοᾷ· * Ὁ ἔχων πίστιν βεβαίαν, * ὃ ἐὰν ἐκζητήσῃ γενήσεται· * ὃ καὶ ποιῶν ἐξετέλεσας * θαυμαστὰ, ἐκβοῶν αὐτῷ· Δόξα σοι, * ὁ μόνος...

δ'. Ἅπαντες μὲν τῇ πλάνῃ οἱ πλάνοι * ὑπέκυπτον, εἰδώλοις, * ὡς θεοῖς, τὰς σπονδὰς * προσάγοντες οἱ πανδείλαιοι· * σὺ δὲ, σοφώτατε καὶ γενναῖε, * τῷ Χριστῷ σὺν τῷ θείῳ θαῤῥῶν υἱῷ σου, * ὡς εὐσεβὴς * καὶ σοφὸς, τοὺς ναοὺς εἰδώλων αὐτῶν * κατέστρεψας, καὶ τὸ θεῖον * τοῦ Χριστοῦ διὰ σοῦ ἐδοξάζετο, * Κόνων πανόλβιε· Ὁ Θεὸς, * ἐκβοῶν, πάντων ἀνθρώπων, δόξα σοι, * ὁ μόνος...

quomodo hostem sævum ad incitas evicit, ac rursus accepit a te insignis ille gratiam prodigiorum; omnibus enim das affatim te fideliter invocantibus, o creator, qui solus...

3. Magnus nobis fuisti, vir Dei Conon, qui maternis ex ulnis Christum quærebas, o fervidissime, ejus peragens voluntates; unde dignus fuisti miracula patrare, ut ipse clamat in sacris Evangeliis : Qui firmam fidem habet, quod quæret, fiet; sicque agens stupenda fecisti, clamans illi : Gloria tibi, qui solus...

4. Omnes quidem errore capti procumbebant, idolis, ut diis, libamina turpissime offerentes; tu vero, sapientissime et generose, divo cum filio tuo in Christo confidens, uti pius et providus, templa idolorum subvertisti, Christique per te divinitas gloriosa fiebat, ad quem, Conon felicissime, semper clamabas : O Deus omnium, gloria tibi, qui solus...

3. ὦ add. ad θερμ. — τὰς θελ. C. — ἔχων. f. Matth. XXI, 22.
4. διὰ σοῦ τοῦ Χρ. C ambigue. — παν. ῷ ὁ Θεὸς ἐκβοῶν πάντων δόξα sic C confuse et claudo metro. f. ῷ ἀεὶ ἐβόας· ὁ Θεὸς minus impedite. De vita ascetica in ævo prisco Bolland. agunt l. l.

XXXIX.

DE SS. CLEMENTE ET AGATHANGELO MM.

α'. Φυτὸν εὐθαλὲς * ἐξέφυς τῇ πατρίδι σου, * ὡραῖον καρπὸν * βλαστήσας ἐν τοῖς πέρασιν, * ἐν τοῖς χρόνοις τῶν ἄθλων σου, * καθεκάστην τεμνόμενος, ὅσιε, * διὰ τοῦτο καὶ ἔβλυσας * εὐφραίνοντα οἶνον ταῖς ψυχαῖς ἡμῶν.

1. Vegetus patriæ tuæ surculus ortus es, amœnum ferens fructum per totum qua patet orbis, in certaminum tuorum diebus, quotidie amputatus, o innocens, ideoque effudisti vinum lætificans animas nostras.

XXXIX. Extat in taurin. f. 71 ad diem XXIII jan. in qua Græci recolunt duos martyres, S. Clementem Ancyranum, sub Diocletiano passum, cum Agathangelo, gente Romano, de quo melodus silet, nisi in amissis tacita suppleverit. — Prima verba ipsum referunt Theodorum I, 3, eaque fort. emendare sic jubent : εὐθαλὲς φυτὸν ὡραῖον... σὺ ἀνέτειλας. Cf. p. 337.

1. πρὸς τό· Τὰ ἄνω ζητῶν ton. II. — v. 5, 6 una syllaba, ut sæpe, variantur. — χρόνοις. Per octo et viginti annos fama est supplicia Clementis martyris immani sævitia perduravisse.

β'. Ἀσματικῶς ὑμνῆσαί σε ἄρτι * βουληθεὶς, ἱεράρχα, * πρακτικῶς οὐδαμῶς * ἰσχύω λόγον προσοῖσαί σοι· * ἐν γὰρ τῷ βίῳ συμπεφυρμένος * καὶ τοῖς πάθεσι πέλω ἠμαυρωμένος· * σὺ οὖν ἰσχὺν * καταπέμψας, τὴν γλῶττάν μου τράνωσον * ὑμνῆσαί σου τοὺς ἀγῶνας * τοὺς πολλοὺς καὶ χρονίους, πολύαθλε, * ὡς κλῆμα γὰρ ἐκτεμνόμενος, * τῇ τομῇ τῶν βασάνων ἀνέβλυσας * εὐφραίνοντα...

2. Cantibus te prosequi cupiens, o pontifex, nullatenus valeo ad rem tibi proferre sermonem, vita namque pollutus sum, passionibusque omnino obscuratus : tu ergo mittens mihi robur, linguam explica meam, ut tua prælia multa et diuturna canam, fecunde athleta; sicut palmes enim excisus, sectione suppliciorum effudisti vinum lætificans animas...

γ'. Σὺ βότρυς πᾶσι πρόκεισαι θεῖος, * ἐξ ἀμπέλου Κυρίου * ἀποστάζων ἡμῖν * τὸ γλεῦκος τῶν ἰαμάτων σου, * καὶ διὰ τοῦτο ἐληλυθότες * εὐφραινόμεθα πάντες ἐπὶ τῇ μνήμῃ * τῆς θαυμαστῆς * καὶ ἁγίας σου, μάρτυς, ἀθλήσεως, * τὴν μέθην τῶν παθημάτων * ἀποῤῥίπτοντες πόῤῥω, ὡς βλάπτουσαν, * καὶ τοὺς ἐπαίνους σου πλέκοντες, * οὕσπερ δέξαι, καὶ βλῦσον, πολύαθλε, * εὐφραίνοντα...

3. Tu cunctis divinus racemus exhiberis, qui de vinea Domini stillas nobis mustum sanationum tuarum; ideoque convenientes exhilaramur in memoria stupendi tui et sacri certaminis, o martyr, ebrietatem passionum procul uti noxiam amandantes, tuaque nectentes encomia, quæ et accipias, o ferax certaminum, et effundas vinum lætificans animas...

δ'. Μετ' εὐσεβείας ἐκ παιδιόθεν * διαπρέπων ἐν βίῳ * ἐκ μητρὸς εὐσεβοῦς, * μητρὶ ἑτέρᾳ κατήντησας, * χάριτι λαμπούσῃ καὶ σοφίᾳ, * φερωνύμως τὴν κλῆσιν σου μετεχούσῃ, * ἣ ὡς υἱὸν * θρεψαμένη, Χριστῷ σε προσήγαγεν, * ὡς θῦμα ἀβραμιαῖον, * τῷ πυρὶ τῶν βασάνων ὀπτώμενον, * σταυροῦ τὸ ξύλον βαστάζοντα * ἐπὶ ὤμων, καὶ βρύοντα ἅπασιν * εὐφραίνοντα οἶνον ταῖς ψυχαῖς ἡμῶν.

4. Pietate ab infantia dum præstares, favente pia matre, obviam alteri matri occurristi, quæ gratia splendens et sapientia, hoc nomen tibi præ se gerebat expressum, quæ te ut filium enutriens, Christo obtulit, ut hostiam, qualem dedit Abraham, suppliciorum rogo adustum, crucis lignum in humeris ferentem, et omnibus effundentem vinum lætificans animas nostras.

2. πρὸς τό· Τράνωσον.

3. τὴν μέθην, iterum ut Theodorus in cant. III, 3.

4. Martyris pia mater Sophia re et nomine erat. Clemens a teneris Deo consecratus, dicitur ab anno ætatis duodecimo vitam egisse solitariam, annos vero viginti natus dignus fuisse inventus qui Ancyranam regeret ecclesiam. — λάμπουσι.. κλῆσιν μετέχουσι.. βαστάζοντι.. βρύοντι, perpetua est codicis depravatio. — ἐπὶ ὤμων, id quoque Theodoro solemne est. — κλῆσιν. f. *sortem tuam*.

XL.

DE S. SABA.

α'. Ἐρασθεὶς ἐκ παιδόθεν * τῆς εὐσεβείας, * ἀνδρικῶς τοὺς ἀγῶνας * καθυπεδύσω, * τῆς

1. A teneris accensus religionis amore, viriliter certamina sustinuisti, dum tempe-

XL. Sat amplum poema geminum est cum altero de S. Euthymio p. 338, ac nisi melodus fuerit unus ex Sabaitis magnæ Lauræ, inter quos hymni nostri floruere, Studita erit, et fortasse ipse Theodorus. Cantus extat in corsin. f. 21, inscriptus: Μηνὶ δεκεμβρίῳ ε', τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα κονδ. ἦχ. β', πρὸς τό· Τῷ Θεῷ ἀπὸ μήτρας.

1. παράδεισον. Alludit ad hortum in quo puer

ἐγκρατείας * φυτεύσας παράδεισον, * καὶ γεωργήσας * τὴν πρᾶξιν ἀθάνατον, * θαυματουργὲ πάτερ ἡμῶν· * διὸ ὑπὲρ ἡμῶν * δυσώπει τὸν Κύριον.

β'. Ἆσμα φῶμεν κατὰ χρέως, * οἱ λαοὶ, τῷ θείῳ Σάβᾳ, * καὶ γὰρ δρόμον ἤνυσε * τὸν ἀσκητικὸν ὁ θεόσοφος, * κράτος γέγονε μοναστῶν, * ταῖς ἀρεταῖς ἀπαστραπτόμενος, * τὴν ὑπ' οὐρανὸν * κατεφώτισε τοῖς θαύμασιν, * ταῖς θείαις μοναῖς * κατεκόσμησε τὴν ἔρημον, * πατὴρ πατέρων γενάμενος, * φυλάττει τοὺς ᾄδοντας· * διὸ...

γ'. Στεῤῥοψύχως παιδιόθεν * ὁ σοφὸς τὸν σταυρὸν αἴρει, * τῷ πόθῳ βαλλόμενος * τοῦ Ἰησοῦ, κόσμον πέφευγεν, * ἦλθεν, εὕρηκεν τὸ τερπνὸν * κοινόβιον τῆς ἀσκήσεως· * ἐν τούτῳ γυμνὸς * τῆς ὑπάρξεως εἰσβέβηκεν, * εὐθὺς ἐκμαθὼν * τὸ ψαλτήριον εὐνούστατα, * κανόνα πάντα μοναχικὸν, * βοῶν πρὸς τὸν ἡγούμενον· * Χριστὸν ὑπὲρ ἡμῶν...

δ'. Μειρακίσκος ἔτι πέλων, * ἔργα γῆς ὁ θεῖος Σάβας, * πλοῦτον καὶ εὐγένειαν, * καὶ τὸ τρυφερὸν μὴ σκοπούμενος· * δεῦτε, μάθωμεν ἐξ αὐτοῦ, * ἀδελφοὶ, τὸ ταπεινόψυχον, * ἡλίκον αὐτοῦ * τὸ ἐγκρατείας κατόρθωμα, * οὐχ εἵλετο ὡς παῖς * μηλοβρωτῆσαι, κἂν ἥψατο, * ὡσαύτως μάθωμεν τὸ προσεχὲς, * κραυγάζοντες, ἐπᾴδοντες· * διὸ ὑπὲρ...

ε'. Ἀνδρειόπαις νεανίας * ἀληθῶς σὺ ἀπεδείχθης * ἐν τοῖς συμφοιτηταῖς σου, * προύχων ἅπαντας τοὺς ἑξήκοντα * ἄλλαις πράξεσι, μεῖζον δὲ * ὑπακοῇ καὶ ταπεινότητι· * εἰς πῦρ εἰσελθὼν * ἀκατάφλεκτος διέμεινας, * ὡς δρόσον Χριστοῦ * ἐν τῇ ψυχῇ σου δεξάμενος· * τὸ θαῦμα βλέποντες, οἱ ἀδελφοὶ * ἐκραύγαζον ἐπᾴδοντες· * Χριστὸν ὑπὲρ...

ϛ'. Ἐκτελέσας τὸν κανόνα * εὐμαρῶς τοῦ

rantiæ coleres paradisum, agricola immortalis vitæ; noster prodigiose pater: ideo pro nobis exora Dominum.

2. Meritum dicamus, populi, canticum divino Sabæ: cursum enim confecit asceticum vir Dei sapiens, robur monachorum factus est, virtutibus fulgurans, orbem sub sole totum illuminavit prodigiis, sacris cellis solitudinem decoravit, pater patrum effectus, tuetur canentes: ideo pro nobis exora Dominum.

3. Mente robustus a puero, crucem tollit sapiens, amore Jesu motus, mundum effugit, abivit, invenit dulce cœnobium ascetarum; illuc omni substantia nudus intravit, statim discens psalterium rectissime intellectum, totum monasticæ regulæ pensum, clamans hegumeno: Christum pro nobis exora...

4. Junior adhuc, divus Sabas despicit terræ negotia, opes, stemmata, deliciasque. Adeste, discamus ab eo, fratres, quid sit humilis mens, quantum fuerit in eo temperantiæ exemplum: puer licet, poma non gustavit, etiamsi tangeret; sic et discamus quid nobis prosit, clamantes, canentes: Ideo...

5. Tu virilis puer vere, o adolescens, patuisti inter sodales, superasti omnes numero sexaginta variis actibus, magis vero obedientia et humilitate. In ignem missus, mansisti incombustus, quasi rorem Christi in mente adeptus. Prodigii testes, clamabant fratres cum hymnis: Christum pro nobis exora...

6. Integerrime functus regula cœnobi-

Sabas pomum sibi obvium pede calcavit, quod recurrit in tr. 4. — Ut supra ad Orestem et cum codd. meis pergo legere Σάβας, ubi menæa solent habere Σάββας.

2. πρὸς τό· Τὸν φωστῆρα. Hirmi sunt Theodoro solemnes. — οἱ add. ante λαοί.

3. στεῤῥοψύχως, more Theodori. — πέφευγεν, ἦλθεν, εὕρηκεν fere ut Theodorus in cant. XII, 5.

4. ἔργα γῆν, clara et lubrica cod. decipula, ex qua ægre expedior. — ὡς abundat pro metro. — En nova Theodori inventio in μηλοβροτῆσαι, sic cod. et subobscurus locus est. — καὶ κρ. καὶ ἐπ. C.

5. Ἀνδρειόπαις. Vox est S. Euthymii de Saba adhuc adolescentulo: παιδαριογέρων. — οὐ πάντας C.

κοινοβίου, * ἐπὶ μείζους ἄνεισι * δόξας ἀρετῶν ὁ θεόληπτος, * πόθον δέχεται ἐκ Θεοῦ * ἡσυχίαν κατασπάσασθαι, * ἀπαίρει λοιπὸν * ἐν ὀπτασίᾳ ὁ δίκαιος * λατρεύειν Θεῷ * ἐν τῇ ἐρήμῳ, ὡς γέγραπται, * λαβὼν ἐφόδιον τὴν εὐχὴν * ποιμένος, πρὸς ὃν ἔκραξεν· * Πρεσβεύων ἀπαύστως...

ζ'. Ἰδὼν χαίρει ὃν ἐπόθει * ἐκζητῶν ὁ θεῖος Σάβας, * τὸν κλεινὸν Εὐθύμιον, * καὶ σὺν δάκρυσι καθικέτευε· * Πρόβατον δέξαι, ὦ ποιμήν, * καὶ σῶσόν μέ σοι θεόπεμπτον. * Πρὸς ὃν ὁ σοφὸς * ἀπεκρίνατο Εὐθύμιος· * Οὐκ ἔστι καλὸν * ἐν τῇ Λαύρᾳ σε οἰκίζεσθαι· * ἀλλ' ἴθι, ζῆσον κοινωνικῶς, * καὶ ψάλλε τῷ ποιμένι σου· * Διὸ ὑπὲρ ἡμῶν...

η'. Συνεισῆλθεν ὁ γενναῖος, * κατέδυ ἐν ὑπηκόοις, * τὸν σοφὸν Θεόκτιστον * ἔχων ἔφορον, ὡς παράγγελον, * πράττων ἄριστα ἐν αὐτῷ * καὶ μέγιστα κατορθώματα, * πρὸ πάντων φοιτῶν * ἐν ἐκκλησίᾳ, καὶ ἔμπαλιν * κτηνίτης λαϊκῶν, * κατεδέξατο ἄτιμον, * κομίζων ξύλα, ὑδροφορῶν, * τῷ ποιμένι ἐκραύγαζεν· * Διὸ ὑπέρ...

θ'. Ὑπὲρ πάντων τῷ Κυρίῳ * λιπαρῶν μὴ διαλείπῃς, * τοῦ ἱεράρχου ἡμῶν, * τῶν ἐκκλησιῶν καὶ τοῦ ἄνακτος, * ὑπὲρ τούτου σου τοῦ μικροῦ * ποιμνίου, Σάβα πανόλβιε, * τοῦ εἰρηνικῶς * τὴν ζωὴν ἡμῶν τελέσαντας, * χωρῆσαι καλῶς * ἐκ τῶν ἐνθένδε πρὸς Κύριον, * κἀμοῦ μνημόνευε τοῦ πτωχοῦ * ἐπαινέτου σου ἐπᾴδοντος· * Διὸ ὑπὲρ ἡμῶν * δυσώπει τὸν Κύριον.

tica, ad majora decora virtutum ascendit Dei electus, a quo studium recepit amplectendi solitudinis quietem; quin et ex visione eligit Deo servire in deserto, ut scriptum est, in viaticum sumens pastoris benedictionem, cui clamavit : Sine fine supplex esto...

7. Quem quærens optabat, lætatur divinus Sabas vidisse se nobilem Euthymium, et cum lacrymis votisque supplicabatur : « Ovem accipe, pastor, et salva me tibi a « Deo missum. » Cui sapiens Euthymius respondit : « Non expedit in eremitarum « laura te inhabitare. Sed vade, vitam « vive communem, et psalle pastori tuo : « Ideo... »

8. Huc se recepit strenuus vir; dimisit se inter auditores, sapientem Theoctistum antistitem habens, ut similem angelis, et sub ipso agens optima et maxima opera, in primis ecclesiam frequentans, bajulumque se præbens laicorum, ignobilia suscepit, vehens ligna, aquam hauriens, et pastori clamans : Ideo...

9. Ne desinas deprecari Deum pro omnibus nobis, pro nostro hierarcha, pro ecclesiis, pro imperatore, pro tuo pusillo grege, Saba beatissime, da nobis in pace vitam degere, exinde autem transire ad Dominum, ac memento mei quoque inopis tui laudatoris, canentis : Ideo Christum pro nobis exora.

6. τοῦ ποιμένος C.

7. Λαύρᾳ. Etiam S. Sabæ monasterium Laura præ cæteris dictum est.

8. καὶ κατέδυ C. -- καὶ ὑδροφ. C.

9. ἡμῶν cod. deest. — ἐκτελέσαντας C. — f. σου ᾄδοντος.

XLI.

DE S. THEODORO MILITE. M.

I.

α'. Πίστιν Χριστοῦ
ὡσεὶ θώρακα λαβὼν
ἐν καρδίᾳ σου,
τὰς ἐναντίας δυνάμεις
κατεπάτησας, πολύαθλε,
καὶ στέφει οὐρανίῳ
ἐστέφθης αἰωνίως,
ὡς ἀήττητος.

β'. Ὁ ἐν θρόνῳ φωτὸς ἐποχούμενος,
εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε,
ὅτι δώρημα μέγα δεδώρησαι,
τὸν γενναῖον ἐν ἄθλοις Θεόδωρον,
τὸν ἐν τῷ βίῳ τρισμακάριστον,
τὸν ὑπέρμαχον ὁπλίτην τῆς ἀληθείας,
εὐσεβεῖ λογισμῷ κεκτημένον Χριστὸν,
κραταιὸν νικητὴν κατὰ τοῦ δολεροῦ,
καὶ ἀήττητον.

1. Fidem Christi
ut loricam assumens
in pectore tuo,
adversas potestates
conculcasti, pugil multiplex,
et corona cœlesti
fuisti in ævum redimitus,
uti invictus.

8. O qui luminis in throno vectus es,
tibi hymnos gratos fidosque canimus;
donum enim magnum dedisti,
strenuum in præliis Theodorum,
ter in vita sua beatum,
insuperabilem veritatis militem,
Christi possessorem pia in mente,
fraudulenti hostis validum debellatorem
et heroem invictum.

γ'. Ὑπομένει χειμῶνα ὁ ὅσιος, * διωγμὸν τὸν τῆς πλάνης, ὡς γέγραπται * (Μαξιμίνου λοιμοῦ βασιλεύοντος, * πᾶσα κτίσις εἰδώλοις ἐτέρπετο)· * διὸ κρατεῖται ὁ πανεύφημος * ἀπειθῶν τοῖς προστάγμασι τοῦ τυράννου, * προσκυνῶν τε πιστῶς τῷ ἀχράντῳ Θεῷ, *

3. Sustinet vir innocens procellam ac persecutionem erroris, ut scriptum est, dum Maximini illa pestis imperaret, omnisque creatura idolis delectaretur : ideo capitur gloriosus, obedire recusans tyranni jussibus, cum fide adorans Deum intaminatum,

XLI. Post confragosum illud Studitæ de homonymo suo Theodoro canticum (p. 361) duo alia eidem martyri dicata repperimus : prius inscriptum in anagrammate ὕμνος, posterius ᾠδή; hoc nobis Sarmatæ, illud Allobroges servarunt; hi quidem in Athenæo Augustæ Taurinorum, illi autem in synodali museo Moscovitarum. Sed utrumque poema alterum ab altero tam loco quam indole distat : unum enim eam præ se fert placiditatem, qua Josephum insonuisse putares, dum in altero stridula Studitarum tuba clangere videtur. Prius extat plus minus integrum in taurinensi, corsinio et mosquensi, posterius in solo mosquensi. Colitur S. M. VIII febr. et VIII junii.

1. Inscriptio corsinii est f. 62, in die febr. XI, 2° loco: Ἕτερον κονδάκιον τοῦ αὐτοῦ (Θεοδώρου), ἦχ. πλδ'. φέρον ἀκροστιχίδα · Ὁ ὕμνος. Hoc vero procemium est αὐτόμελον, et sextum a cæteris diversum eidem veteri hirmo aptatum. — ἔνδον λαβὼν T, M. — οὐρανόθεν ἐ. αἰώνιον T.

2. πρὸς τό· Αὐτὸς μόνος, scilicet Anastasii, ut p. 44, 166, cum unica varictate in v. 7 jam notata. — ὑμνούμενος M. — δώρημα θεῖον T, M. — τοῖς ἄθλ. iid. — ὑπέρμαχον ὄντα τῆς M, omisso ὁπλίτην, dein κεκτημένος Χρ. κραταιὸς νικητής.

3. Ὑπομείνας χειμῶνας ὁ ἅγιος T, ὁ δίκαιος ἐν τοῖς

καὶ σπουδάζων παθεῖν αἰκισμοὺς χαλεποὺς, * ὡς ἀήττητος.

δʹ. Μέσον οὖν τῶν ἀνόμων ὁ ἔννομος * εἰσαχθεὶς τὰς βασάνους οὐκ ἔπτηξεν, * ἀλλ' οὐδὲ ὁ σεμνὸς παραινούμενος * κατεκάμφθη τοῦ σπεῖσαι τοῖς δαίμοσι, * διὸ καὶ ὕβρεις ἀπεφθέγξατο, * παρεστὼς ἐν τῷ βήματι τοῦ τυράννου, * ἐνισχύων τοὺς συγκρατηθέντας αὐτῷ, * καὶ βοῶν μετ' αὐτῶν ἐκτενῶς τῷ Χριστῷ, * ὡς ἀήττητος.

εʹ. Νικηθεὶς ὁ ἐτάζων προσέταξε * διωρίαν δοθῆναι τῷ μάρτυρι, * ἀπατῆσαι ζητῶν δὲ τὸν δίκαιον· * ἐπορεύθησαν θῦσαι τοῖς δαίμοσι· αὐτὸς δὲ τάχος ἐνεπύρισε * τὸν ναὸν τῆς Ἀρτέμιδος αἰφνιδίως, * καθελὼν τὰ σεβάσματα τῶν ἀσεβῶν, * κραταιούμενος πνεύματι ὁ ἀθλητὴς, * ὡς ἀήττητος.

ϛʹ. Ὅτε τῶν ἰοβόλων ἀκήκοεν, * ὑπερζέσας θυμῷ ἀνεκραύγασεν, * εἰσαχθῆναι τοὺς φίλους τοῦ μάρτυρος, * ἰδὼν τὴν τῶν εἰδώλων ἐρήμωσιν· * τῶν δὲ ἀχθέντων ἐν τῷ βήματι, * ζοφεροὺς λογισμοὺς λέλεχεν ὁ πλάνος, * πρὸς ἀδόκιμον νοῦν δελεάζων αὐτοὺς, * κραταιῶς δὲ ἀντέστησαν τῷ δικαστῇ * οἱ ἀήττητοι.

ζʹ. Σύννους ἦν τῷ θυμῷ ὁ παράνομος, * καὶ ἐτρύχετο ἐπὶ τῷ δράματι, * ὅτι πως ἡ θεὰ συναπώλετο * τοῖς ἀψύχοις εἰδώλοις αἰφνίδιον· * σαφῶς οὖν ἤχθη ὁ θεόπνευστος, * ῥωμαλέος ὑπάρχων τῇ διανοίᾳ· * ὃν ἰδὼν ὁ ἐχθρὸς ἐταράχθη * πικρῶς, ἐννοῶν ἐνισχύοντα τὸν Ἰησοῦν, * ὡς ἀήττητον.

ηʹ. Ὑμνῶ σε, ὦ περίφημε ἅγιε, * τὸν ταχὺν εἰς βοήθειαν πάντοτε, * τῇ ἐμῇ ταπεινώσει

cupidusque patiendi dura tormenta, uti invictus.

4. Medius ergo inter iniquos justus adactus, supplicia non horruit, sed neque blande monitus vir sanctus, inclinatus est ad libandum dæmonibus ; immo in eos vituperia oblocutus, stetit coram tyranni suggestu, corroborans vinculorum socios, et cum illis longum clamorem ad Christum edens invicti viri.

5. Victus judex imperavit moram dari martyri, studens illudere justum : abierunt ut dæmonibus immolarent. Ipse vero statim ignem injecit in templum Dianæ cito conflagratum, subvertens impia simulacra, divino percitus instinctu, ut athleta invictus.

6... Ut verba sagittariorum audiit, Maximinus ira accensus voce clamorosa jussit trahi socios martyris, cernens devastata esse idola. Adductis autem coram tribunali, tenebricosa verba fecit insanus, ut eos in pravum sensum alliceret, sed judici fortiter restiterunt ut pote invicti.

7. Cogitabundus animo erat iniquus, et anxius de facinore, veritus ne una cum idolis inanimis illico dea aboleretur. Et palam vir a Deo afflatus actus est, robustus in mente sua stans, quem ut vidit adversarius, turbatus est acriter, recogitans fore ut Jesus eum ut invictum corroboret.

8. Te hymnis cano, o gloriose sancte, te promptum in omni tempore patronum,

χρόνοις τῆς πλ. M. — Λικινίου λοιμοῦ C. — κρατ. ὁ πανόλβιος T. — ἀπιστῶν τοῖς M. — προσπίπτων πιστῶς τῷ ἀφθάρτῳ θ. M. — καὶ σπουδάζει M.

4. μόνον οὖν τῷ ἀνόμῳ T. — οὐκ ἐκάμφθη ποθῆσαι τὰ πρόσκαιρα T, M. — καὶ εὐχόμενος ἅμα αὐτῷ τῷ Χρ. T. — βοῶν σὺν αὐτοῖς, nec plura M.

5. τὸν ὅσιον ἐπορεύθη τοῦ θῦσαι T. — Ἀρτέμιδος, ut in sequenti quod addit etiam Ἑκάτην, ubi Theodorus subobscure μητροείδωλον cudisse videtur. — κρ. πνεύματι C.

6. Integra quidem acrostichis est, at minus plena rerum series. — λέλεχεν C iterum, quod jam superius notatur in Theod. VIII, 10; XVII, 13. — Hic T statim ab initio in alia excurrit, motis repagulis : οὐκ ἐκρύβη τὸ βρύγμα τὸ δρώμενον, καὶ θυμῷ ὑπερζέσας, ἐκέλευσεν δεσμωθέντα τὸν δίκαιον ἄγεσθαι, ἐκπληττόμενοι ἐν τῇ θεᾷ αὐτῶν, τὸ πῶς πυρίκαυστος ἐγένετο, καὶ οὐκ ἔδειξεν δύναμιν ἐνεργείας· ἀλλ' ἐφλέχθη πυρὶ, ὡσεὶ χόρτος ξηρὸς, καταργοῦντος αὐτὴν τοῦ ποθοῦντος Χριστοῦ, ὡς ἀήττ.

7. ἦν ῥαθυμῶν T. ÷ f. ῷ καὶ πῶς. — ἤχθη ὁ πανεύφημος T. — ἐννοῶν ὅτι ἐπιπέποιθεν ἐπὶ Θεὸν ὁ ἀήττ. T.

8. Mel. pro rhythmo σὲ ὑμνῶ. Ultima in T desunt. — ὦ add. ante πανευφ. et σου post. ἀντιλ.

ἐπίβλεψον· * οἶδα γάρ σε σπουδαῖον προκλήσεως· * μὴ οὖν ἀπώσῃ με, ὦ πανεύφημε, * ἀλλὰ δεῖξον ταχὺ ἐν ἐμοὶ, παμμάκαρ, * τὴν θερμὴν, δυσωπῶ, ἀντίληψίν σου, * καὶ γενοῦ τοῖς ὑμνοῦσί σε τεῖχος ἀεὶ, * ὡς ἀήττητος.

tenuitati meæ oculos dimitte. Probe enim scio te sedulum esse advocatum; preces ergo meas noli respuere, o cunctis memorande; sed cito ostende mihi, beatissime, tuam sollicitam, rogo, tutelam, et esto celebrantibus te, murus uti semper invictus.

II.

α'. Θεοδώρητος ἀληθῶς θείαν χάριν * ἐκ τοῦ σωτῆρος κατ' ἐχθρῶν, ἀθλοφόρε, * τὴν τῶν εἰδώλων ἤλεγξας ἀσθένειαν· * ὅθεν καὶ δεδώρησαι * φερωνύμως βραβεῖον * ᾧπερ κατηξίωσαι * ἐν ἐκθύσει δοθῆναι· * διὸ τιμῶμεν πίστει σε θερμῶς * ὡς ἀθλοφόρον * Κυρίου, Θεόδωρε.

1. Vere donatus a divina salvatoris gratia adversus hostes, athleta victor, confudisti idolorum imbecillitatem; unde juxta nomen tuum præmio donatus es, ideo quod dignus factus es immolari, propterea te cum fide ardente honoramus, ut victoriosum Domini pugilem, Theodore.

β'. Ὠδὴν προσάγω σοι, σοφὲ * Θεόδωρε τρισμάκαρ, * ὁπλῖτα τοῦ Κυρίου, * καὶ μύστα, καὶ θεράπον, * καὶ ἀντιλῆπτορ τῶν πιστῶν· * πρόσδεξαί με πίστει * τὴν ἑορτήν τὴν σεπτὴν * τιμῶντα καὶ δοξάζοντα· * σὺ γὰρ ἐκ τοῦ σωτῆρος χαρίσματα * θεῖα δεδεγμένος, * προεστήκεις καὶ φυλάττεις * τοὺς δούλους σου, * τούς σε εὐφημοῦντας· * διό σε ἐν ᾠδαῖς * Χριστοῦ ἐκκλησία * καὶ τιμᾷ καὶ ἀνυμνεῖ * νῦν τὴν ἀνδρείαν * τὴν ὑπὲρ αὐτοῦ, * καὶ χαίρουσά σε δοξάζει, * ὡς ἀθλοφόρον...

2. Oden tibi offero, sapiens Theodore ter beate, tu Domini miles, et minister et famulus, et fidelium patronus: accipe me cum fide solemnia tua sacra recolentem et celebrantem. Namque tu ex servatore divina nactus charismata, tueris et salvos facis servos tuos, tibi fauste plaudentes; hisce ergo odis Ecclesia Christi et te nunc suspicit, et laudat fortitudinem, quam pro illo exeruisti, ac plena gaudio te celebrat, ut victorem Domini pugilem.

γ'. Δαυὶδ ἐδείχθης, ἀθλητὰ * Θεόδωρε, γενναῖος, * δυναστῶν ἐν κακίᾳ * ἀλλοφύλων τὸ θράσος, * ὡς Γολιὰθ, καταβαλὼν, * τύραννον διώκτην, * σὺν τῇ Τριάδι, σοφὲ, * τῶν λίθων τροπωσάμενος, * ἐν ὅπλῳ πεφραγμένον πολύοχλον, * ἄοπλος καὶ μόνος * τῇ δυνάμει τοῦ Κυρίου· * τὴν γνῶσιν γὰρ * περιπεφραγμένος, * διὸ τὴν τοῦ ἐχθροῦ * παμμίαρον κάραν * ἐκτεμὼν ἐφ' ὑψηλοῦ, * τρόπαιον στήσας, * ἔχεις τὸν Χριστοῦ * λαόν σε τιμῶντα πίστει * ὡς ἀθλοφόρον...

3. David alter generosus, athleta Theodore, factus es, tu qui potentium in malitia Philistinorum stravisti ferociam; Goliath nempe, illum tyrannum persecutorem, Trinitate favente, o sapiens, lapillis munitus, subvertisti, tu adversus copiosum hostem, acie circumseptum, inermis et solus, sed pro armis munitus virtute Domini. Hac quippe scientia circumcinctus, inimici fœdissimum caput secuisti, sursum erigens tuum trophæum; unde merito Christi populus te cum fide veneratur, ut victorem...

II. Extat in solo mosquensi f. 255.

1. πρὸς τό· Ὁ ὑψωθείς. Mira satis est tota verborum structura. — Θεοδωρήτως M. — ἐν ante ἐκθ. om. M.

2. πρὸς τό· Τῇ Γαλιλαίᾳ. — ἑορτήν σου M. — προεστήκεις more seriorum. — ἡ ἐκκλ. M.

3. πεφραγμένος M. Heroicum vere troparium est atque Tyrtæanum.

δ'. Ἠλίαν ὤφθης τοῖς πιστοῖς, * Θεόδωρε, ζηλώσας * ὑπὲρ τοῦ σου δεσπότου, * ὡς ἄλλους τῆς αἰσχύνης * καὶ τῶν εἰδώλων ἱερεῖς, * τῶν προσοχθισμάτων, * καὶ τῆς Ἑκάτης ναὸν * αἰσχρὸν, τὸν τῆς Ἀρτέμιδος * πυρπολούμενος ζήλῳ κατέφλεξας, * τοὺς ἀλιτηρίους * καὶ ἐν οἴκοις ἀποστάντας * τοὺς δαίμονας * συνκαταπατήσας· * τῇ τούτων δὲ σφοδρὰ * ἐμπρήσει καρδίαι * φωτισθεῖσαι τῶν πιστῶν * ἔλαβον γνῶσιν * τὴν εἰς τὸν Κύριον * Θεὸν αὐτὸν, εἶναι δὲ σὲ * ὡς ἀθλοφόρον * Κυρίου, Θεόδωρε.

4. Eliæ imitari zelum erga Dominum tuum, o Theodore, fidelibus visus es, dum sacrificulos qui turpitudinem et exsecranda simulacra colebant, tumque Hecates tum etiam Dianæ delubra, ardore tuo succensus, combussisti, feralesque dæmones, vel in domibus latentes, conculcavisti. Quorum incendio illuminata fidelium pectora receperunt hanc persuasionem, Christum esse Deum, te vero invictum Domini pugilem, o Theodore.

4. προσοχθησμάτων. M. cf. Suidas ad h. v. — f. τὴν εἶνναι κύριον.

XLII.

DE S. VITO MARTYRE.

α'. Ὁ ποιήσας τὰ σύμπαντα * ὡς δυνατὸς, * καὶ ἰσχύσας τοὺς ἁγίους σου * ὡς ἀγαθὸς, * τοῦ νικῆσαι τὸν δράκοντα, * Χριστὲ ὁ Θεὸς, * δι' αὐτῶν ἐλέησον * τοὺς ἀνυμνοῦντάς σε, * καὶ τὴν ὀφρὺν κατάβαλε * τῶν ἀθετούντων σε, * ὁ μόνος ὑπάρχων παντοδύναμος.

1. Tu qui universa fecisti tua potestate, qui sanctos tuos confortas, pro tua bonitate, ad vincendum draconem, Christe Deus, per eos miserere celebrantium te, et supercilium dejice te contemnentium, qui solus es omnipotens.

β'. Ὕμνον ἐπάξιόν σοι προσφέρειν, * ὦ Χριστέ μου, οὐ σθένω, * ταῖς σειραῖς τῶν ἐμῶν * ἁμαρτιῶν συσφιγγόμενος· * ἀλλά μοι δίδου σοφίαν γλώττης, * ὡς σοφίας ὑπάρχων πηγὴ καὶ φάος, * ὅπως τοὺς σοὺς * ἀθλοφόρους ὑμνήσας σωθήσομαι· * αὐτὸς γὰρ εἶπας, οἰκτίρμων· * Ἐκζητεῖτε ἐν πίστει, καὶ λήψεσθε. * Διὸ ζητοῦντι δὸς, ὡς εἴρηκας, * ἀψευδὴς γὰρ ὑπάρχεις, φιλάνθρωπε, * ὁ μόνος...

2. Hymnum tibi dignum litare non valeo, Christe meus, catenis meorum peccaminum constrictus : sed da mihi linguæ sapientiam, tu qui sapientiæ fons et lux es, ut tuos ovantes athletas canens, salvus fiam. Tu enim dixisti, o misericors : Quærite in fide et invenietis. Quærenti ergo da, ut dixisti; verax enim es tu, amator hominum, solus omnipotens.

γ'. Μνήμη δικαίων μετ' ἐγκωμίων * γίνηται, ὡς ἡ Γραφὴ * ἐκδιδάσκει ἡμᾶς, *

3. Memoria justorum cum laudibus fiat, ut Scriptura nos docet, neque extinguetur

XLII. Extant qualia sunt in corsin. f. 122: Μηνὶ ἰουνίῳ ιε', κονδ. τοῦ ἁγίου μάρτυρος Βίτου, ἦχ. β', πρὸς τό· Ὁ σοφίσας. Acrost. f. erat ὁ ὕμνος.

1. Orditur a consonante tetrasticho, nisi sex potius tetrasyllabi sint, ubi olim duos versus posui citius. Cf. p. 366. Hic vero bis tollitur una syllaba pro rhythmo alacriori, tum v. 5 alias decasyll. est. — In fine concentus repetitur, ut in archetypo. Cf. supra XXXVIII.

2. ἐκζητήσετε. Matth. VII, 7. More Romani, sacris verbis sobrie et presse noster utitur.

3. μνήμη. Prov. X, 7. — ὡς ἡ Γραφὴ sic C contra

καὶ τούτων οὔπω σβεσθήσεται * μνημόσυνον, στὰν εἰς τοὺς αἰῶνας, * αἰωνίζον καὶ μένον εἰς τοὺς αἰῶνας · * ὅθεν ἡμᾶς, * ἀδελφοί, ἀνυμνεῖν τοὺς ἁγίους Χριστοῦ * μὴ παύσωμεν, ὅπως τούτων * ἱκεσίαις λαβόντες τὰ πρόσφορα * τῆς τε ψυχῆς ὁμοῦ καὶ σώματος, * ἀνακράζωμεν · Κύριε, δόξα σοι, * ὁ μόνος...

monumentum eorum, stans in sæcula, perennans et manens in ævum. Unde nos, fratres, canere Christi sanctos ne desinamus, ut per eorum preces receptis bonis animæ et corporis, clamemus : Domine, gloria tibi, qui solus...

δ'. Ναὸς ἐφάνης, ὦ μακαριστέ, * ὡς Ἠλίας ὁ μέγας, * ἐκ παιδόθεν βιῶν * ἐν ἀρεταῖς καὶ σεμνότητι, * λατρεύων τῷ κτίστῃ παρὰ κτίσιν, * καὶ μισῶν τοὺς τὰ εἴδωλα προσκυνοῦντας· * ὅθεν ἐχθρὸς * ὁ πανώλης καὶ ὄντως παγκάκιστος * ῥημάτων πείθειν πειρᾶται * κολακίαις · ἀλλ' ἔστης ἀκράδαντος, * ἀδάμας τε ὥσπερ ἀήττητος, * τῷ Χριστῷ ἐκβοῶν· Βοήθει μοι, * ὁ μόνος ὑπάρχων παντοδύναμος.

4. Templum visus es, o beate, alter velut magnus Elias; a puero florens virtutibus et innocentia, præ creatura potius adorans creatorem, odio habuisti idola colentes : unde hostis infestus et vere pessimus, te nititur suadere verborum blanditiis, quibus obstitisti firmus, adamantina cum constantia, Christo clamans : Succurre mihi, tu solus omnipotens.

accentum. — οὐ σβεσθ. C. — ἔστησας ε. α. C. — nota γρ. monosyll. — 8. ταῖς τούτων C contra metrum. — πρ. ψυχῆς τε ὁμοῦ καὶ τοῦ σώμ. C.

4. λατρεύειν.. παρὰ τὴν κτ. C. — ὁ πανόλης C. — ἐν ῥήμασι C. — κολακίας C. — ἀδάμας ὥσπερ C. Rara sunt græca monumenta martyris, inter nos maxime in Pragensi metropoli Bohemorum, celeberrimi.

XLIII.

DE S. PANCRATIO MARTYRE.

I.

α'. Τὰ ἡδύτατα * τῆς μελουργοῦς σου γλώττης ἔπη * λαμπρυνόμενος, * ἐκ θεϊκῶν βολίδων πάντας * τοὺς ἐν τῇ δύσει * κατεφώτισας, * Παγκράτιε, κηρύξας τρανῶς * τῆς Τριάδος τὴν πίστιν, * καὶ πᾶσαν ἀχλὺν * εἰδωλικὴν ἐξάρας, * τῶν οὐρανῶν * ὁ ἱεραρχικώτατε· * ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν * ἀδιαλείπτως ἱκέτευε.

1. Suavissima oris tui melliflui eloquia cum luce proferens, divinis jaculis omnes illuminasti Occiduos, o Pancrati, dum fidem Trinitatis prædicas, cunctasque tenebras idolorum extollis, tu inter superos summus hierarcha; agedum, pro nobis Dominum incessanter deprecator.

β'. Νοῦν καὶ διάνοιαν * τῆς ἐμπαθοῦς ἰλύος * ἐκ παιδόθεν ἐκάθαρας, * πρὸς ὕψος ἤρθης, * Παγκράτιε σοφέ, * θείας ἀναβά-

2. Mentem et cogitatus ex luto libidinum a pueris repurgans, ad divinæ ascensionis sublimia ferebaris, Pancrati sapiens; inde

I. XLVI. Theodorum, dubio procul, habemus, duos sibi solemnes hirmos adhibentem in laudem ejusdem Siculorum apostoli, S. Pancratii Tauromeniensis, qui colitur die IX julii. Utrumque poema extat in corsin. f. 132, 133, sub lemmate: Μηνὶ Ἰουλ. θ' κονδ. τοῦ ἁγ. Παγκρατίου ἀρχιεπισκόπου Ταυρομένου, ἦχ. α'.

1. πρὸς τό · Τὰ θεόβρυτα. Qui condidit hirmum, ut opinor, potis erat Theodorus eum identidem ad usus suos flectere. Si varietates cupis tangere, cf. archetypum f. 346. — λαμπρυνόμενα C. — Nota rarum superlat. in ἱεραρχικώτατε, ubi similia Theodorus cudere affectat. Cf. XXXVII, 1 supr.

2. πρὸς τό · Τέρπεται. Cf. ibid. p. 346-354. Me-

σεως· ὅθεν εἴληφας * Τριάδος τῆς παμφαοῦς * γνῶσιν, ὁσιομάκαρ, τὴν ἔνθεον, * δι' ἧς φωταγωγεῖς ἅπαντας, * χριστόφρον, τοὺς ἀθροισθέντας πιστῶς * ἐν τῇ πρὸς Θεόν σου * ἐκδημίᾳ καὶ βοῶντάς σοι· * Ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, * μὴ ἐπιλάθῃ....

γ'. Οἷον ἰσχύσειε * στόμα σοι ἐγκωμιάσαι * τῶν τεράτων σου τὴν πληθύν; * θαυματοκράτορ * Παγκράτιε σοφέ, * ῥῆτορ ἀψευδέστατε τῆς θεότητος, * συμμύστα τοῦ Ἰησοῦ, * ἄστρον τῆς οἰκουμένης πολύφωτον, * τῶν ἀποστόλων ὁ ὀπαδός, * μαρτύρων καὶ ἱερέων χαρά, * κλέος τῶν ὁσίων * καὶ μοναστῶν ἐγκαλλώπισμα· * διὸ βοῶμέν σοι ἐκτενῶς· * Μή...

δ'. Ὕμνοις κλεΐζοντες * σήμερον τὴν ἱεράν σου * καὶ παγκόσμιον ἑορτὴν * τῆς ἐκδημίας, * ἀκέστορ φαεινέ, * θήκην τὴν τιμίαν σου ἀσπαζόμεθα, * ἐν ᾗ τὸ μυροσταγὲς * θεῖόν τέ σου ἀπόκειται σκήνωμα, * ὦ Παγκράτιε τερατουργέ· * ἄκος οὖν οἱ ἐκ ποικίλων παθῶν * δυσαλθῶς σχεθέντες * ἀρυόμενοι βοῶσί σοι· * Ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, * μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ...

recepisti, innocens ac beate, Triadis luminosæ divinam super omnia scientiam, qua illustras, ut Christum sapiens, omnes ad te cum fide concurrentes in tuo ad Deum transitu, clamantesque tibi : Qui nos de cœlo respicis, ne obliviscaris plebis tuæ...

3. Quale os valeat laudibus æquare tuorum prodigiorum copiam? O virtutibus potens, provide Pancrati, Deïtatis orator, mendacio alienissime, in Jesu hierophanta, sidus orbi valde irradians, apostolorum sequax, martyrum et pontificum gloria, justorum decus et monachorum ornamentum; ideo clamamus tibi : Ne obliviscaris...

4. Hymnis hodie decorantes sacram et ubique fulgentem transitus tui festivitatem, insignis medice, thecam tuam salutamus, in qua corpus tuum sacrum, unguenti ferax, requiescit, o Pancrati prodigiorum opifex; unde medelam exhaurientes variis infirmitatibus desperate correpti, clamant tibi : Ne obliviscaris plebis tuæ, sed Dominum pro nobis exora...

lodus sibi constantior, nihil mutavit, nisi quod librarius alicubi fallitur in v. 10. Acrostichidem, ut alias, a primo verbo νοῦν retinuit et fortasse humiliter auxit, ut alibi τυφλόνους. — καθάρας C. — ἅπ. φωταγωγ. C. — χριστόφρων, vox nova, si quid Nostro novum.

3. τῶν τεραστίων τὴν C. — θαυματοκράτωρ adde lexicis, apud Studitas prodigiose auctis.

4. κλεΐζοντες melodis rarum. — μυροσταγές, ut alias Theodorus finxit μελοσταγεῖσι. — καὶ θεῖόν σου ἐναπόκ. C. — οὖν add. — συσχεθέντες ἀρ. καὶ βοῶντες σοι C, rupto metro. In primis ob similes in eodem loco versus Theodorus agnoscitur. Cf. v. 5 in tr. 2, 3, 4 et in seqq. v. 7 in tr. 2, 3.

II.

α'. Τῆς ἀληθείας λάμψας * τὸ φῶς ἐν τοῖς πέρασι, * τῆς τῶν εἰδώλων πλάνης * τὸν ζόφον ἐδίωξας, * Παγκράτιε ἱερομάκαρ, * τῶν Σικελῶν τὸ μέγα προσφύγιον, * πρέσβευε ὑπὲρ ἡμῶν, * τῶν ἑορταζόντων * προστάτα θερμότατε.

β'. Ἀξίους νίκης στεφάνους * τὴν θείαν

1. Tu qui veritatis effuso lumine in fines terræ, idolorum falsam caliginem dissipasti, Pancrati in Deo beate, grande Siculorum præsidium, intercede pro nobis, tu festa tua celebrantium defensor acerrimus.

2. Qui dignis victoriæ coronis sacrum

II. Cors. ἦχ. δ', πρὸς τό· Τῷ φαεινῷ. vid. p. 355. — ἐν πόθῳ πρ. C in clausula. f. acrost. erat αἶνος.

2. πρὸς τό· Τὸν θείῳ μύρῳ. Vid. p. 355, 358. Nota duos accus. cum præsto esset ἀξίοις ν. στεφάνοις.

σου στεφανώσας * κορυφὴν, ὁ δι' ἡμᾶς * καθ' ἡμᾶς πεπολιτευμένος, * Λόγος ὑπάρχων * τοῦ Πατρὸς ἀληθινὸς, * ἅγιε Παγκράτιε, * χορηγόν σε τῶν καλῶν * ἐπιστάμεθα πάντων· * διὸ δίδου μοι λόγον * ἐν ἀνοίξει τοῦ στόματος, σοφὲ, * εἰς τὸ ὑμνεῖν σε ἀξίως, * τῶν κινδυνευόντων * προστάτα θερμότατε.

γ'. Ἱεραρχίας τὸ χρίσμα * δεξάμενος ἐκ Κυρίου, * ὑπὲρ ἥλιον τὸ φῶς * ἐπαστράψας ἐν πάσῃ κτίσει, * πᾶσαν ἐνθέως * περιέλαμψας τὴν γῆν, * τίμιε Παγκράτιε, * καὶ ἐφώτισας λαοὺς * καθημένους ἐν σκότει * καὶ σκιᾷ τοῦ θανάτου, * συνεργοῦντος ἐν πᾶσί σοι Χριστοῦ, * τοῦ δι' ἡμᾶς μορφωθέντος, * τῶν κινδυνευόντων....

redemit verticem tuum, ille propter nos inter nos conversatus, cum esset verum Patris Verbum, scimus eum tibi, o sancte Pancrati, fuisse bonorum omnium largitorem. Ideo da mihi verbum, os aperienti, o sapiens, ad celebrandum te digne, tu periclitantium sospitator caldissime.

3. Pontificatus unctionem adeptus a Domino, super solem coruscans in tota creatura, omnem terram lumine adimples, venerande Pancrati, et illuminasti populos sedentes in nocte et in umbra mortis, tecum in omnibus Christo cooperante, qui nostram naturam assumpsit, o periclitantium caldissime defensor.

— ἡμ. πολιτευσάμενος C. — fort. χορηγεῖ σοι τὰ καλὰ ἐπ. πάντα Theodorus scripsit.

3. ἐν τῇ κτίσει C. — συνεργ. σοι ἐν πᾶσι τοῦ Χρ. C. Fortasse nisi Siculus sit alter iste melodus, priore paulo æquabilior, nihil obstat, modo codex rite emendetur, ac valeant criteria haud semel posita superius, quin iterum hic summus Theodorus adsit.

XLIV.

DE S. DOMETIO MARTYRE.

α'. Ὑψωθεὶς, ἱεράρχα, * τῇ ταπεινώσει, * καὶ δειχθεὶς πολεμήτωρ * τοῖς ἐναντίοις, * τῶν γὰρ δαιμόνων * κατέβαλες φάλαγγας, * καὶ τῶν ἀγγέλων * συνόμιλος γέγονας, * ὁσιομάρτυς Δομέτιε, * Χριστὸν ὑπὲρ ἡμῶν * δυσώπει, πανθαύμαστε.

β'. Ψευδοχρίστου ὢ μανίας * τοῦ Σατᾶν! πῶς τοὺς ἁγίους * πολεμεῖν οὐ παύεται, * πάντοτε αὐτὸς καθηττώμενος; * θέλων λάθρα γὰρ τοῖν ἀνδροῖν * χειρώσασθαι,

1. Elevatus, o pontifex, humilitate, factusque debellator adversariorum (nam dæmonum fugasti turbas, et cum angelis conversatus es), Dometi sacer martyr, Christum pro nobis exora, vir summe mirabilis.

2. Proh! pseudochristi Satanæ insania! quomodo sanctos non cessat impugnare, devinci non desinens! volens enim clam in hos duos viros manum injicere, ipse vulne-

XLIV. Psalmista hujus cantici, tam ignotus est quam obscurus sanctus ille Dometius, quantumvis dicatur martyr, pontifex, asceta singularis, summus thaumaturgus. Sex sunt hujus nominis martyres, in sacris Orientalium fastis breviter memorati, quorum fort. nullus sibi ea quæ hic referuntur, vindicaverit; nullus præterea recolitur in die VII maii, ubi corsinium tropologium præ se hoc elogium fert f. 110: Μηνὶ μαίῳ ζ', τοῦ ὁσίου μάρτυρος Δομετίου κονδάκιον, ἦχ. β'. Mutilum esse opus manifestum est, rupta acrostichide ψαλμὸς, et amissis ab initio plurimis tropariis, in quibus f. erant melodi nomen expressum et acta fusiora martyris.

1. In C: πρὸς τό· Τῷ Θεῷ ἀπὸ μ. Vid. p. 305. — ὁσιομάρτυς dici solet de martyre monacho aut viro sacris addicto. — Δομήτιος semel in cod. scribitur, sed Græci dicere solent Δομέτιος, Δομετιανός.

2. πρὸς τό· Τὸν φωστῆρα. Cf. p. 377. — τοῖν ἀνδροῖν tam rarum melodis duellum est, ut mu-

οὗτος τιτρώσκεται. * Διὸ καὶ βοῶν * πρὸς Δομέτιον, ἔλεγε· * Πορεύου αὐτὸς, * τούτους δὲ ἄφες συνεῖναί μοι. * Οἱ δὲ ἐκραύγαζον μετ' οἰμωγῶν * τῷ ὁσίῳ εὐνουστότατα· * Χριστὸν ὑπὲρ ἡμῶν * δυσώπει, πανθαύμασθε.

γ'. Ἀνακλίνας τὸν αὐχένα * ἑαυτοῦ τῇ γῇ, ἐβόα * ὁ ἐσθλὸς Δομέτιος * πρὸς τὸν λυτρωτήν· Δεῖξον, δέσποτα, * πτῶσιν δαίμονος τοῦ δεινοῦ * πλανήτορος, σῶτερ. Τὸ τάχιον * ἠχῆς δὲ βροντῆς * γεγονυίας, ἠλάλαξεν * ὁ δαίμων βοῶν· * Οἴ μοι! ἐντεῦθεν διώκομαι. * Διὸ γηθόμενοι οἱ πορισταὶ, * τῷ ὁσίῳ ὑπέψαλλον· * Χριστὸν...

δ'. Λυτρωθέντες τῆς ἀπάτης * τοῦ ἐχθροῦ οἱ ὁδοιπόροι, * τὸν Θεὸν ἐδόξαζον, * καὶ τὸν ἀσκητὴν ἐμακάριζον, * ὅθεν ἤρξατο νουθετεῖν * αὐτοὺς χρηστὰ ὁ πανἀοίδιμος· * Μηδὲν ἐξειπεῖν, * ἀδελφοί μου, θελήσετε * ἃ εἴδετε νῦν· * οὐ γὰρ συμφέρον ἐστὶν ὑμῖν· * ἀλλ' οὖν ἀπέλθωμεν ἐν τῇ μονῇ * τῶν ἁγίων, ἐπᾴδοντες· * Χριστὸν...

ratur. Unde vociferans ad Dometium, aiebat : « Vade tu ipse, hos vero sine mecum « consociari. » At ambo clamabant ad sanctum cum gemitibus devotissimis : « Christum pro nobis exora, vir summe mira« bilis. »

3. Collum humi submittens, clamat nobilis Dometius ad redemptorem : « Notum » fac, Domine, casum dæmonis, sævi de« ceptoris, o salvator! » Reboante subito tonitru, ejulavit clamans dæmon : « Hei mihi! Inde repellor. » Idcirco viatores cum justo psallebant : Christum...

4. Ab hostis fraude redempti peregrini, Deum glorificabant, ascetamque beatum prædicabant. Qui inde cœpit vir præstantissimus salubriter eos monere : « Nolite « quidquam, fratres mei, referre ex his « quæ vidistis. Nihil enim vobis proderit. « Sed eamus hinc in mansionem sancto« rum, canentes : Christum... »

9. ἓν δὲ θέλ. ἐν. τ. T. — οἱ ὁμόφρ. T. — ἀπολείποντες T iterum contra metrum. — Iterum ηὕραντο, de qua forma satis supra. — τοῖς add. ἅπασιν. — τεσσαράκοντα ὄντως, quo numero ut sacro uti solitum est. — ὁ add. ante εὐσεϐῶν.

12. εἴδοσαν, sic in N. T. εἴχοσαν, ἐδίδοσαν etc. ex LXX ἤλθοσαν, ἐφάγοσαν, κατελίποσαν etc. cf. Lobeck. *Phryn.* 349. — βάκλοις ex lat. aliquando βακλίοις

τὰ σώματα αὐτῶν,
καὶ τὰ λείψανα αὐτῶν
ἔῤῥιψαν ποταμῷ,
καὶ ηὗρον ταῦτα πιστοὶ,
δόξαν ἐκ τῶν οὐρανῶν
καὶ στεφάνων πληθύν.

ιγ'-κ'. Ῥ.Ω.Μ.Α.Ν.Ο.Ϋ.

combusserunt corpora, et exuvias projecerunt flumini, quas fideles reppererunt, utpote gloriam cœlitus datam et coronarum ubertatem.

et usitatius βάκτροις. — στεῤῥοὺς κλάνεσθαι T depravate. — ἐν αὐτῇ κατέκ. T. — Cf. *Prolegom.* art. II.

LIV.

DE XLII MARTYRIBUS IN AMORIO.

α'. Τοὺς νεοφανεῖς.....
β'. Τὸ τοῦ Χριστοῦ....
γ'. Ἀγαρηνῶν τὸ ἄθεον σέβας, * δεισιδαίμονα πλάνην * ἐκ ψυχῆς, ἀθληταὶ, * μισοῦντες καὶ βδελυττόμενοι, * καὶ τὴν σφραγῖδα Χριστοῦ τὴν θείαν * περιφέροντες σώαν ἐν ταῖς καρδίαις, * νῶτα ἐχθροῖς * τοῖς μισοῦσιν αὐτὸν οὐ δεδώκατε, * προθύμως μᾶλλον δὲ πάντες * δι' αὐτὸν ὡς ἀρνία σφαττόμενοι, * ἐκλάμπετε ὥσπερ ἥλιος, * τὴν ἀθάνατον δόξαν κληρούμενοι, * ὡς πύργοι καὶ φύλακες Ῥωμαίων ἀρχῆς.
δ'. Πᾶσαν βροτῶν ἐξίστησι φρένα * ἡ ὑμῶν πρὸς τὸν κτίστην * θερμοτάτη στοργὴ * εἰλικρινής τε διάθεσις · * ζῆλον γὰρ θεῖον ἀναλαβόντες, * καὶ ὡς ὄναρ καὶ σκύβαλα τὰ τοῦ κόσμου * περιφανῆ * ἡγησάμενοι πάντα, προθύμῳ ψυχῇ * βασάνους καὶ τιμωρίας, * φυλακὰς καὶ λιμοὺς καὶ τὸν θάνατον * διὰ Χριστὸν ὑπεμείνατε, * διὰ ξίφους τὰς κάρας τεμνόμενοι, * οἱ πύργοι καὶ φύλακες Ῥωμαίων ἀρχῆς.

1. *Menæor.* Martii die VI, p. 20.
2. *Ibid.*
3. Vos Agarenorum superstitiosum ritum erroremque satanicum ex animo detestati et deridentes, o athletæ, Christique divinum sigillum ferentes in pectoribus integrum, horrentibus illud hostibus terga non dedistis; immo naviter omnes, velut agni, mactati, fulgetis soli similes, hæredes facti vitæ immortalis, ut turres et custodes imperii Romanorum.

4. Omnem stupefacit mortalium cogitatum vester creatoris amor, sinceraque animi devotio; zelum enim divinum assumentes, ut somnia et stercora reputantes omnia mundi ornamenta, animosa virtute sustinuistis cruciatus et sævitias, carceres et famem et mortem pro Christo, ensibus capita plexi, o turres et custodes romani imperii.

LIV. In longo carmine mutilo si prolixa perrexit, ut solet, acrostichis τοῦ ταπεινοῦ κ. τ. ἑ., multa periere; sed vix curanda damna, cum tam mediocria supersint in eod. taurin. cod. f. 92, sub lemmate : Μαρτ. ς' τῶν ἁγίων μ' μαρτύρων τῶν νέων. Re autem vera sunt XLII martyres, qui hac VI die martii coluntur; in Amorio sæc. IX occisi.
1. 2. πρὸς τό · Τὰ ἄνω, ἦχ. β'. Dein πρὸς τό · Τράνωσον. Cf. acta SS. Bolland. Martii t. I, p. 456.
3. καὶ δεισιδ. T. — μὴ σῶσιν sic T. — μὴ δεδώκ. T. — ἐκλάμπ. μετὰ τέλους ὡς ἦλ. T. — κληρωσάμενοι T.
4. τῆς ὑμῶν... θερμοτάτης στοργῆς εἰλικρινοῦς τε διαθέσεως T, inepta et obstinata corruptela. — Etiam ephymnia mensuram excedunt : codex enim habet τῆς Ῥωμ. ἀρχ.

LV.

DE S. TERENTIO SIVE DE XLIII MART.

α'. Τῶν μαρτύρων ἡ σεπτὴ
ἐπεδήμησε μνήμη,
εὐφραίνουσα τὰ σύμπαντα,
Τερεντίου τοῦ σοφοῦ
καὶ τῶν τούτων συνάθλων.
Προθύμως οὖν συνέλθωμεν,
ἵνα λαμβάνωμεν ἰάματα·
οὗτοι χάριν γὰρ
παρὰ Θεοῦ εἰληφότες,
θεραπεύουσι
τὰς τῆς ψυχῆς ἡμῶν νόσους,
ἰσχύϊ θεότητος.

β'. Τί τοῦτο ξένον, παράδοξον;
νεκροὺς βλέπομεν,
καὶ ὡς ζῶντας κατέχομεν,
τοὺς τὸν ἑκούσιον θάνατον
αὐτοπροαιρέτως
πρὸ Χριστοῦ ὑπομείναντας·
οὗπερ καὶ τὰς ψυχὰς αὐτῶν
ἐν χερσὶν ἀποθέμενοι,
χειρῶν τοῦ δράκοντος
τὰς ψυχὰς ἡμῶν ῥύονται,
σὺν ἡμῖν τοῦτο
μεγαλοφώνως
ἀεὶ ἀναβοῶντες·
Ποῦ σου, θάνατε, τὸ κέντρον;
ποῦ σου, ᾅδη, καὶ τὸ νῖκος;
ἰδοὺ γὰρ ἐν τάφῳ
ᾄσματα τελοῦνται,
ὧν πρὶν αὐτὸς ἐδέσποζες·
νυνὶ δὲ ἀνίσχυρος
ἐδείχθης καὶ ἄπορος,
ἰσχύϊ θεότητος.

1. Alma dies martyrum contigit, qua universus orbis lætatur, memoria Terentii sapientis ejusque sociorum : alacriter ergo conveniamus, recepturi sanationes : ipsi enim gratiam a Deo nacti, medentur animæ nostræ morbis, virtute deitatis.

2. Quale novum hoc incredibile spectaculum? Mortuos videmus, quos sicut viventes possidemus : eos quippe mortem obeuntes, spontaneo in Christum obsequio, cujus in manibus animas suas dum posuerunt, ex unguibus draconis animas nostras eruunt, nobiscum in canoro jubilo et perpetuo clamantes : « Ubi, mors, stimulus « tuus? ubi, inferne, victoria tua? Ecce « enim cantica persolvuntur in eorum se« pulcro quorum prius domitor eras; nunc « vero viribus exhaustus esse confiteris et « inops, virtute deitatis. »

LV. I. Adhuc Romani gemmula superest, ni fallor, exsculpta juxta ejusdem rarissimum modulum. Ex multis solitis trop. sub acrostichide τοῦ ταπεινοῦ, vix putem excidisse multa, cum melodus non videatur in unico superstite, longum opus meditari. Coluntur SS. Terentius et socii die X aprilis, et pro numero suo aliquando dicuntur XLIII martyres.

1. Taurin. f. 103, πρὸς τό· Ὅταν ἔλθῃς ἦχ. α'. cf. p. 35. — ἵνα λάβωμεν T. — τὰς ψυχὰς ἡμῶν T.

2. Ibid. ὁ οἶκος πρὸς τό· Τὸ φοβερόν. Cf. p. 29, 36. Unicus fere is taurin. codicis locus est in quo semel οἶκος sic appellatur, de qua solemni dictione sat obscura silet perpetuo corsinius. — τοῦτο τὸ ξένον καὶ T, impedite et refragante typo. f. καὶ θαυμαστόν. — ψυχ. ὑμῶν T. — ἡμῖν τούτῳ id. — ᾅδη νῖκος T. Cf. II Cor. XII, 7. — ὡς πρὶν T. — νῦν δὲ T.

LVI.

DE SS. ABBATIBUS MARTYRIBUS.

I.

α'. Ἐκ τῆς κοσμικῆς * συγχύσεως ἐφύγετε, * καὶ πρὸς γαλήνης * μετάστασιν κατέστητε, * μαρτυρίου αἵμασι * καὶ ἀσκήσεως πόνοις στεφόμενοι· * ὅθεν καὶ ἀνεδείχθητε * μαρτύρων καὶ ὁσίων ὁμόσκηνοι.

β'. Τὰ ἐπὶ γῆς νεκρώσαντες μέλη * ζωηφόρῳ νεκρώσει, * τοῦ Χριστοῦ καὶ Θεοῦ * τὸ πάθος ἐξεικονίσασθε, * πρότερον ἐν τῇ καλῇ ἀσκήσει, * καὶ τὸ δεύτερον πάλιν ἐν τῇ ἀθλήσει· * ὅθεν αὐτὸς * καὶ διπλοῦς τοὺς στεφάνους κατέπεμψε * ταῖς ὑμῶν κάραις, πατέρες, * ἑτοιμάσας σκηνὴν ἐπουράνιον * καὶ τὸν τόπον τὸν αἰώνιον, * ἔνθα νῦν ἀγαλλόμενοι ὤφθητε * μαρτύρων καὶ ὁσίων ὁμόσκηνοι.

1. Ex mundana turba aufugistis, ac tranquillitatis in stationem appulistis, cruore martyrii et asceticis laboribus coronati; unde facti estis martyrum et justorum contubernales.

2. Terrena hæc membra interimentes vivifica morte, Christum Deumque passum imitati estis, primum in ascetica laude, iterumque in certatione; unde ipse duplices immisit coronas in capita vestra, o patres, idem qui præparavit cœleste tabernaculum et mansionem æternam, ubi nunc exultantes ostendimini martyrum contubernales.

LVI. I. Ὁμόσκηνοι sunt, ut primus habet, hi tres melodi, ac simul habitant, maxime in canticis I et II, quæ ambo pertinent ad taurin. f. 65, dum III ad corsin. f. 45, cujus poeta non solum Studita, sed vix non erit Theodorus.

1. Præter taurin. eadem refert vatic. 1510, f. 70, non vero in die XIV jan. sed in XX martii, in quo non Sinaïtæ martyres. sed Sabaïtæ abbates celebrantur. Duplex enim est horum pugilum manipulus, immo triplex: quum Sinaïtarum alii sub Diocletiano, alii sæculo V occisi dicuntur, serius autem Sabaïtæ, in tempestate Saracenorum.

1. πρὸς τό· Τὰ ἄνω ζητῶν. — μετέστητε V.

2. πρὸς τό· Τράνωσον. — ζωηφόρου V. — πρῶτον V. — id. om. καὶ διπλοῦς. — πατέρες, καὶ μετὰ τέλους ἑτοιμ. V. — καὶ τόπον T, V. — διαιωνίζοντα ἔνθα sic V.

II.

α'. Τῶν ἐπιγείων καὶ φθαρτῶν τὴν ἀπόλαυσιν * καταφρονήσαντες σοφῶς, παμμακάριστοι, * τὴν τῆς ἐρήμου οἴκησιν ἡγήσασθε * κόσμου εὐπρεπέστατον * καὶ τρυφῆς τῆς προσκαίρου· * ὅθεν ἠξιώθητε * οὐρανῶν βασιλείας· * διὸ βοῶμεν πάντες ἐκτενῶς· * Ἐκ τῶν κινδύνων * ἡμᾶς διασώσατε.

β'. Ἐπέστη σήμερον ἡμῖν * σωτήριος ἡμέ-

1. Terrestribus et corruptis bonis frui despicientes, o beatissimi, indubie æstimavistis deserti mansionem esse multo præstabiliorem mundo et caducis deliciis; inde digni reputati estis regno cœlorum, ideoque vobis omnes instanter clamamus : E periculis nos eximite salvos.

2. Advenit hodie salutifera dies cele-

II. 1. πρὸς τό· Ὁ ὑψωθείς, ἦχ. πλδ', vid. p. 77 et 507. Typi mensuram excedunt duo priores v. f. τῶν γηΐνων et καταπτύσαντες, quæ rhythmo aptissima. — ἐντεῦθεν ἠξ. T, iterum extra orbitam. Nisi valde mutilum hoc esset, clarius de Sinaïtis ageretur. — ἡγήσασθαι T. Plura id genus consulto omittuntur.

2. πρὸς τό· Τῇ Γαλιλαίᾳ.

ρα * τοὺς ἄθλους τῶν μαρτύρων * ὑμνῆσαι ἐπαξίως, * οὓς ἐπὶ γῆς θεοπρεπῶς * ἤνυσαν ἀσκήσει * καὶ ἐγκρατείᾳ πολλῇ, * ἀθλήσει δὲ τὸ δεύτερον· * ἐντεῦθεν καὶ τὸ στέφος ἀπέλαβον * τὸ τῆς ἀφθαρσίας, * σὺν ἀγγέλοις ἐπαξίως * χορεύοντες ἀεὶ εἰς αἰῶνας, * αἰτούμενοι Χριστὸν, * πταισμάτων δοθῆναι * ἱλασμὸν τοῖς εὐσεβῶς * ἀνευφημοῦσιν * μνήμην τὴν αὐτῶν, * βοῶσιντε ἀσιγήτως· * Ἐκ τῶν κινδύνων...

γ'. Ἰὸν ἐξέχεεν ἡμῖν * τῆς αὐτοῦ κακουργίας * ὁ πρὶν ἐν παραδείσῳ * Ἀδὰμ ἐξαπατήσας * διὰ τῆς Εὔας δολερῶς· * τούτου δὲ τὴν κάραν * τὴν ὑπερήφανον στεῤῥῶς, * πατέρες, συνεθλάσατε, * διὸ καὶ ὀδυρόμενος ἔλεγεν· * Οἴ μοι! τί ποιήσω; * αἱ δυνάμεις μου εἰς τέλος * ἐξέλιπον, καὶ γέλως ἐδείχθην, * ὧν πρὶν βασιλικῶς * ἐδέσποζον ὅλως· * ὁ Χριστὸς γὰρ σαρκωθεὶς * ἔδειξε πᾶσιν * τρίβον ἀπλανῆ * τοῖς θέλουσιν αὐτῷ μέλπειν· * Ἐκ τῶν κινδύνων * ἡμᾶς διασώσατε.

brandi martyrum certamina, ut par est, quæ in terra per ascesin Deo gratam exercuerunt semel, iterumque in acie athletarum; unde sertum prehenderunt immarcescibile, cum angelis merito choreas agentes æterna in sæcula, a Deo exorantes veniam pro pie celebrantibus eorum memoriam et clamantibus perpetuo : E periculis eripite nos.

3. Venenum in nos suæ pravitatis evomuit, qui prius in paradiso per Evam decepit Adamum fraudulenter; cujus vos, o patres, arrogans caput potenter contrivistis : unde ingemiscens aiebat : « Heu mihi! quid « agam? Demum mihi potestates meæ « defecerunt, sannisque derideor. Christus « enim caro factus omnibus ostendit viam « tutam volentibus illi canere : E pericu« lis nos educite salvos. »

3. οἴμοι. Eadem habes p. 646. — οὓς πρὶν βασ. T. — αὐτὸν μέλπειν T. Dramatica vetus ævum sapiunt.

III.

α'. Ἀρετῶν ταῖς ἀκτῖσι * προαυγασθέντες, * ἀθανάτοις στεφάνοις * κατακοσμεῖσθε· * ἐν γὰρ ἀσκήσει ὡς κρίνα ἀνθήσαντες, * μυροδοτεῖτε τῶν ἄθλων τὰ σκάμματα, * τῶν πατέρων οἱ ἄριστοι· * διὸ ὑπὲρ ἡμῶν * δυσωπεῖτε τὸν Κύριον.

β'. Πεφευγότες ἀπὸ κόσμου, * καὶ Θεῷ ἐν τῇ ἐρήμῳ * ἑαυτοὺς ἀναθέντες, * μονοτροπικῶς ὥσπερ ἄγγελοι * ἄλλοι ὤφθητε τῆς

1. Fulgoribus virtutum irradiati, immortalibus ornamini coronis; in campo enim ascetico ut lilia florentes, odore perfunditis arenæ stadia, o patrum optimi : ideo pro nobis exorate Dominum.

2. A mundo extorres, ac Deo in solitudine vosmet voventes, anachoretica vita visi fuistis ut angeli, Edeni incolæ alteri, o

III. Extat poema longiusculum cum hac corsinii epigraphe : Μηνὶ ἰανουαρ. ιδ' τῶν ἁγίων πατέρων τῶν ἐν Ῥαϊθοῦ ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων, φέρον ἀκροστιχίδα· Πάτρασιν, f. 45. Unde si primum carmen recentioribus, secundum vero antiquioribus dicatum est, superest ut hoc mediis tribuatur qui ἐν Ῥαϊθοῦ abbates fuisse referuntur. Melodum vero esse Theodorum, quis dubitabit, cum in uno hoc poemate incredibilem rariorum dictionum messem collegerit : προαυγασθέντες, μυροδοθεῖτε, μονοτροπικῶς, ἀθλοπάτορες, πυκτεύμασιν, ἀναθρώσκοντες, νεκροπαθείᾳ, καρτερόαθλοι, ἀκυμάστου, λιμενεύματος, κομποτάραχον, πανδαμάτορες, θεοδορκοῦντες, ἀγαθουργίας χωνευτήριον, οὐρανόφρονες, σελασφόροι, καλλιπάτορες, ἀλληλόσταθμοι, ἰσοῤῥόπως, ne alia aut rara aut insolentia congeram.

1. πρὸς τό· Τῷ Θεῷ ἀπὸ μήτρας, ἦχ. β'.

2. πρὸς τό· Τὸν φωστῆρα. — f. pro rhythmo ὀμφῆ τε παθῶν. — v. 3 variatur in accentu; dum v. 6 alias decasyll. nunc enneasyll. est, haud sine me-

Ἐδὲμ * οἰκήτορες, ἀθλοπάτορες, * ἀτρώτους καρποὺς * τῆς ἐγκρατείας δρεπόμενοι, * καὶ ὀμφὴν παθῶν * ἀπονεκροῦντες πυκτεύμασιν· * δι' ὧν τοῦ ξύλου τῆς ζωῆς * ἐν ἀπολαύσει γεγόνατε. * Ἀλλὰ ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε.

γ'. Ἀμβροσίᾳ ἐντρυφῶντες * ἐξ ἐσθλῶν ἐννοημάτων, * ὧν ἐγεωργήσατε * ἀναθρώσκοντες τὰ οὐράνια, * ἀπρὶξ φύλακες ἐντολῶν * γεγόνατε, παμμακάριστοι, * χρυσὸν ὡς πηλὸν * τῇ ἀκτησίᾳ ἡγούμενοι, * τρυφὴν ὡς ποινὴν * νεκροπαθείᾳ τιθέμενοι, * ἓν ἔργον ἔχοντες ὡς Ἀδὰμ * μὴ ἁλῶναι τῷ βρώματι, * διὸ ὑπὲρ...

δ'. Τίς τοὺς πόνους θριαμβεύσει, * οὓς κρυφῇ διετελεῖτε, * τῷ ἐνατενίζοντι * ἅπαντα Θεῷ φανερούμενοι, * τήξει σώματος τὴν ψυχὴν * λιπαίνοντες, καρτερόαθλοι; * ἐντεῦθεν στεῤῥῶς * ἀντικατέστητε πάθεσιν, * ἀσάρκους ἐχθροὺς * νενικηκότες ἐν σώματι, * καὶ βίον ἕλκοντες γλυκερὸν * ἐν ἀπαθείας ἡδύτητι, * διὸ ὑπὲρ...

ε'. Ῥοὴν βίου ἐκδραμόντες * γαληνῶς ἐν τῇ ἐρήμῳ, * ὡς ἐπὶ ἀκυμάντου * καθωρμίσθητε λιμενεύματος, * κομποτάραχον τῶν παθῶν * καθελόντες, πανδαμάτορες· * σιγῆς γὰρ βυθοῖς * θεοδορκοῦντες ἀπόῤῥητα, * νοὸς ἁρπαγῇ * τοῖς ἀσωμάτοις συνθέοντες, * τὴν γῆν ὡς ἕτερον οὐρανὸν * ᾠκεῖτε διατρίβοντες, * ἀλλὰ ὑπὲρ ἡμῶν...

ς'. Ἀριδήλως τὰς ἐρήμους * τῶν παθῶν κλείσαντες πύλας, * τὸ τῆς ἀγαθουργίας * διηνοίξατε χωνευτήριον, * πόλιν δείξαντες τοῦ Θεοῦ * τὴν ἔρημον, οὐρανόφρονες, * ὡς

athletæ patres, innocua temperantiæ poma decerpentes, vocemque voluptatum pugilatu enecantes; propterea arbore vitæ delectari vobis contigit. Agite, pro nobis exorate Christum.

3. Ambrosia dulcedine pasti per sublimes meditationes, quas ad cœlestia enitentes excoluistis, tenaces mandatorum custodes effecti, fortunatissimi, aurum pro luto in egestate habentes, delicias ut pœnam arbitrati ob enectas passiones; unum opus habuistis, cibo non pessumdari, ut Adamus, ideo pro nobis...

4. Quis palam ostentabit labores quos clam absolvistis, conspicui Deo omnia intuenti, dum macie corporis saginatis animam, robusti heroes; inde gnaviter voluptatibus restitistis, incorporeos hostes in corpore debellantes, suavemque degentes vitam in impassibili dulcedine; ideo pro nobis...

5. Vitæ cursum in deserto pacate emensi, quasi in portum a fluctibus securum appulistis, represso passionum tumultu, ab omnibus triumphatores : nam ex abysso silentii inaccessa Dei acute suspicientes, mentis raptu inter angelos congressi, tellurem veluti cœlum alterum viventes incoluistis. Ideo...

6. Clausis desertisque manifeste libidinum foribus, aperuistis bonorum operum conflatoriam officinam, Dei urbem erigentes in solitudine, o viri cœlestium mentium;

lodi consilio, ut videtur. — τοῦ ξύλου olet corruptelam, cum syllaba desit : f. δι' ὧν αἰωνίας τῆς ζ. vel ξύλου τοῦ τῆς ζ.

3. ἀμβροσίας C. — ὡς ὁ Ἀδὰμ C. Etiam postularit cum justa serie rhythmus accuratior : ὡς Ἀδὰμ μὴ ἀπατεῖσθαι βρώματι.

4. Θριαμβεύσει. Cum Theodorus exquisita affectare soleat, abs re non sit Zonaram accersere, in lexico sic θριαμβεύοντι interpretatum : φανεροῦντι, κατάδηλον ποιοῦντι, καὶ ὁ ἀπόστολος, et adducit II Cor. II, 14, alios secutus exegetas Chrysost. Theodoret. Œcumenium, quibus Noster adhæret, mox addens πάντα Θεῷ φανερούμενοι, ut apostolus l. l: ὀσμὴν τῆς γνώσεως φανεροῦντι. — ἀντεκαστ. τοῖς πάθ. C male.

5. ῥοὴν τοῦ βίου C. — κόμπον τάραχον C. — f. ἀκύμονος.

6. Argutam Theodori seriem et continuam in tr. 6 et 7 adverte et ubique consimiles v. 6, cf. Exod. XXXIII, 11.

δόμους χρυσοῦς * ὑμεῖς καλύβας πηξάμενοι, * Θεὸν ἐν αὐταῖς * σὺν τοῖς ἀγγέλοις ξενίζοντες, * πρὸς μόνον μόνοι ἐρωτικῶς * ὁρῶντες καὶ ὁρώμενοι· * ἀλλὰ ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε.

ζ'. Σελασφόροι γεγονότες * ἀρετῶν ταῖς λαμπηδόσι, * τοὺς ἐν τῇ οἰκουμένῃ * καταυγάζετε, ἥπερ ἥλιος, * ζόφον λύοντες νοητῶς * ἁμαρτιῶν, καλλιπάτορες, * ἀγάπης θεσμοῖς * συνδεσμούμενοι τῷ πνεύματι, * καὶ φθόνου βολὰς * ἐν ταῖς ἁμίλλαις συντρίβοντες, * ἀλληλόσταθμοι πρὸς ἀρετὴν * καὶ ὄντες καὶ ὑμνούμενοι, * διὸ...

η'. Ἰσοῤῥόπως τοῖς ἀγγέλοις * ἐπὶ γῆς βεβιωκότες, * τὴν ὑπερουράνιον * ἐκληρώσασθε ἀγαλλίασιν, * κόσμου ἅπαντα τερπνὰ * παριδόντες, πολυύμνητοι, * Χριστοῦ δὲ ἀεὶ * τὴν τερπνότητα προβλέποντες, * καὶ πόθου ἀεὶ * κατεντρυφῶντες ἀκόρεστα, * αὐτῆς ἐλάθετε, ὡς εἰπεῖν, * τῆς φύσεως ὑπομνήσκεσθαι, * διὸ ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε.

aureas vobis ædes in tuguriis compaginantes, in quibus cum angelis Deum hospitem habuistis, soli ad solum, amantium instar, aspicientes et aspecti : agitedum pro nobis exorate Christum.

7. Lumina jaculantes a scintillis virtutum, mortalium orbem, ut sol, illuminatis, invisibili flatu dissipantes caliginem peccatorum, o patrum ornamenta, constricti in mente charitatis legibus, invidiæ tela æmulatione confringentes, æqualis virtutum norma invicem effecti, eodemque hymno celebrati; ideo...

8. Absque ullo discrimine similes angelis in terra viventes, supercœleste jubilum sortiti estis, omnibus mundi deliciis prætermissis, o vos multo hymno celebrandi; Christi vero semper dulcedinem prospicientes, amorisque perpetui pasti dapibus inexhaustis, obliti estis, ut sic dicam, naturam recordari; ideo pro nobis Christum exorate.

7. ἥπερ ἥλιον C. — f. ἀγάπης δεσμοῖς συνδεσμ. nisi ταυτολογεῖν horreret Theodorus.

8. ἐλάθετε retineo pro ἐλάθεσθε, ut p. 598 tr. 2. — f. in fine μιμνήσκεσθαι.

LVII.

DE S. GREGORIO THAUMATURGO.

α'. Ὁ πολὺς ἐν θαύμασιν * θαυματουργὸς ἀνυμνείσθω, * ὡς πιστὸς διάκονος * τῶν τοῦ Χριστοῦ μυστηρίων· * πίστιν γὰρ ἐτράνωσεν * ἐνθεεστάτην· * δόγμασιν ἐκράτυνε * τὴν ἐκκλησίαν, * ὀρθοδόξως καταγγέλλων * Τριάδα μίαν τιμᾶν ἀχώριστον.

β'. Ἀρετῶν ἀστραπῇ * ἔφανας ἐν τοῖς πέρασι, * δαδουχῶν ταῖς βολαῖς * τῶν ἱερῶν

1. Summus in prodigiis, thaumaturgus hymnis celebretur, ut fidelis minister Christi mysteriorum : fidem enim declaravit afflatu divinissimo; dogmatibus confirmavit Ecclesiam, recte doctrinam professus, colendam esse unam Triadem individuam.

2. Fulgure virtutum coruscavisti, usque in fines orbis, facem ostentans, in scintillis

LVII. Multa in hoc poemate resonant fulgentque. Agedum, quid sine Theodoro coruscat, strepitve? Etenim ut plura Studitas olfaciunt, sic tamen recole frustula cod. taurin. quæ Josepho adscripsimus, p. 393, ejusdem nimirum et toni et moduli et argumenti. Nostra vero extant in corsin. f. 18 ad XVII nov.

1. πρὸς τό· Ἡ Παρθένος. — ἐκθαύμ. C. — πιστῶς C. — ἐνθεεστάτην Studii ex officina proficiscitur.

2. πρὸς τό· Τὴν Ἐδέμ. ἦχ. γ'. — Ἀρετῶν ἀστραπῇ,

λογίων σου, * κηρύττων Τριάδα, * Γρηγόριε μάκαρ, * καὶ ἐπιστρέφων * πρὸς θείαν πίστωσιν * λαοῦ τὰ συστήματα, * καὶ ἄγων πάντας * πρὸς τὴν ἐπίγνωσιν, * λύων τὴν ἀχλὺν * τῆς ἀθεότητος * νευραῖς τῶν λόγων * τῶν ὀρθοδόξων, * στῖφος αἱρέσεων δεινῶν * διασκεδάζων κραταιῶς, * καταγγέλλων, διδάσκων * τὸ σὸν ποίμνιον ἐν πίστει * Τριάδα μίαν τιμᾶν...

γʹ. Σοῦ εἰς πᾶσαν τὴν γῆν * φθόγγος νῦν ἐξελήλυθε, * καὶ ῥημάτων βολαὶ * ἅπαντα περιήχησαν * τὰ πέρατα, μύστα * Θεοῦ ἀποῤῥήτων· * μεμυημένος * γὰρ τὰ ἀπόκρυφα * ἐνθέως, Γρηγόριε· * σὺ δὲ ἐτράνους * τρία συνάναρχα, * ὁμότιμα, * σύνθρονα, Πατέρα * καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, * μίαν οὐσίαν * τρισὶ προσώποις * διῃρημένην ἰδικῶς, * μοναδικὴν δὲ ἐν ταὐτῷ · * εἷς Θεὸς τὸ κατ' ἄμφω * ἡ Τριάς, γνωριζομένη * Τριάδα...

δʹ. Μεμηνότες ποτὲ * οἱ ἀσεβεῖς ἀλάστορες, * κατὰ σοῦ φθονερῶς * μῶμον προστρῖψαι, ἤνεγκαν * κόρην φατριῶσαν * σοῦ τὴν πολιτείαν · * ἣ παραυτίκα * θᾶττον κατέπεσεν * εἰς γῆν καὶ συντέτριπται, * τῷ δαιμονίῳ * συνεχομένη δεινῶς · * ἀλλὰ τῇ πολλῇ * μακροθυμίᾳ σου * ἀνεξικάκως * ἰάσω ταύτην, * καὶ λίμνην ἔψυξας, δεινὴν * φιλονεικίαν ἀδελφῶν, * καὶ ποτάμια ῥεῖθρα * σὺ διέστειλας τιμώντων * Τριάδα μίαν ἀχώριστον.

tuorum sacrorum oraculorum; quibus Trinitatem prædicasti, beate Gregori, et convertisti divinam ad fidem populorum cœtus, omnesque provocasti ad sublimem scientiam, dum dissolveres impietatis caliginem nervosis rectæ fidei sermonibus, turmam sævarum hæreseon forti brachio dissipans, evangelium docens, erudiens fidelem tuum gregem unam colere Trinitatem individuam.

3. In omnem terram exivit sonus tuus; et verborum jacula per omnes insonuere fines, o interpres Dei arcanorum. Absconditis enim a Deo initiatus es, Gregori; declaravisti tria coæterna, æqualia honore et throno, Patrem et Filium et Spiritum sanctum, unam substantiam in triplici hypostasi, specie distinctam simulque unicam, unum Deum nec non et Triadem agnoscere, unam adorare Trinitatem individuam.

4. Delirantes olim impii impostores, ut invidiose contumeliam tibi impingerent, puellam induxerunt in mores tuos conspirantem : quæ statim in humum ruit, et discerpta fuit, a dæmonio dire possessa; tu vero pro tua ingenti humanitate, clementer eam sanasti. Stagnum exsiccasti, sævum inter fratres dissidii fontem; et flumina divisisti inter colentes unam Trinitatem individuam.

ut supra ἀρετῶν ἀκτῖσι in eodem loco, et adde Theodoro placere ᾆσμα in acrostichide. — Nota πίστωσιν haud ita tritum. — καὶ διδάσκων C contra metrum.

3. ἅπαντα περιήχησαν sic C, et forte melodus, pro insolentia Studitarum, maxime si βοαὶ pro βολαὶ legeris. Hic vero famosum Thaumaturgi symbolum a vero theologo graphice describitur.

4. φατριῶσαν pro φρατρ. recentiorum est; Zonaræ in lexico φατρία est κακοθελὲς διαβούλιον, συμφωνία ἐπὶ πράξεσι φαύλαις. Quæ quidem facinora hic relata, neque etiam synaxaria prætermisere.

LVIII.

DE S. THEODOSIO COENOBIARCHA.

I.

α'. Φυτευθεὶς ἐν τῷ οἴκῳ * τῷ τοῦ Κυρίου, ἐξανθεῖς ἐγκρατείᾳ * τὰς ἀρετάς σου, * ὁ τῆς ἐρήμου * πολίτης παγκόσμιος, * ὁ ἀγελάρχης * τῶν θείων ἐπαύλεων, * σημειουργὲ Θεοδόσιε, * Χριστὸν ὑπὲρ ἡμῶν * ἀπαύστως ἱκέτευε.

β'. Τῆς ἑῴας τὸν λαμπτῆρα, * τὸν σοφὸν ψυχαγελάρχην, * Θεοδόσιον πάντες * μακαρίσωμεν τὸν τρισόλβιον · * αὐτὸς ἤστραψεν ἀρεταῖς * καὶ θαύμασιν εἰς τὰ πέρατα · * τιμάτω αὐτοῦ * τὴν θείαν μνήμην ἡ Αἴγυπτος, * τὰ τῶν μοναστῶν * ἑορταζέτω συστήματα, * καὶ ὀρθοδόξων ἅπας χορὸς * βοάτω ἐπάδων αὐτῷ · * Χριστὸν...

γ'. Ὡσιώθης ἀπὸ βρέφους, * ἐραστὰ τῆς εὐσεβείας, * ἐξ ἀγαθῆς ἀνθήσας * ῥίζης, ἀληθῶς εὐθὲς βλάστημα · * ὅθεν ἅπαντα παριδὼν, * τῷ Κυρίῳ κατηκολούθησας. * Ἀπαίρεις ἰδεῖν * Ἱεροσόλυμα ἅγια · * λαμβάνεις εὐχὴν * ἐν τῇ παρόδῳ ἐπάξιον * πρὸς τοῦ λαμπτῆρος Συμεὼν * τοῦ στυλίτου, βοῶν αὐτῷ · * Χριστόν...

δ'. Ὑποκλίνεις τὸν αὐχένα * ταπεινώσεως Κυρίου * μιμήσει, τῷ Λογγίνῳ * καθυποταγεὶς ἐννομώτατα · * ὅθεν ἄρχεσθαι ἐκμαθὼν, * εἰς τὸ ἄρχειν ἄλλων προβέβηκας · * τὸν δό-

1. In domo Domini satus, temperantia florere virtutes tuas facis, solitudinis ornatissime incola, summe pastor sacrorum ovilium, signorum opifex, Theodosi, Christum pro nobis exora sine fine.

2. Orientis hoc sidus, sapientem illum pastorem animarum, Theodosium omnes beatum dicamus ac felicissimum; coruscavit ille virtutibus et prodigiis ad ultimas oras. Ægyptus sacram ejus memoriam veneretur, festo concelebrent monachorum cœnobia, et cunctus orthodoxorum chorus canoro cantu dicat : Christum...

3. Innocens fuisti a pueris, tu pietatis amasius, ex optima stirpe floruisti, vere præcox surculus; unde omnia despiciens, Dominum prosecutus es. Profectus ut videas sacra Solymorum, benedictionem inter eundum opportunam accipis ab illo sidere Simeone Stylita, ad eum clamans : Christum...

4. Collum submittis, imitans Domini humilitatem, Longini te legibus subdens omnino; inde parere discens, ut aliis imperares ascendisti. Singulari enim certamine

LVIII. I. Versamur adhuc inter Studitas, neque alius fortasse latet in acrostichide τοῦ πτωχοῦ, quam Theodorus, vel etiam tono dextere temperato, ut de alio facilius cogitetur. Adde quod etiam dissimulatur acrostichis in hac præpostera codicis serie 1, 2, 3, 4, 7, 8, 11, 6, 9, 5. Omittitur 10, quidni alia, ubi lectum Στουδίτου? nonne sat erit, ut alias, unicam emicare primam nominis litteram τοῦ πτωχοῦ Σ.....? Extat in corsin. f. 44 sub lemmate: Μηνὶ ἰανουαρ. ιβ', κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιμανδρίτου ἐρήμου Ἱεροσολύμων Θεοδοσίου, ἦχ. β'.

1. πρὸς τό · Τῷ Θεῷ ἀπὸ μ. p. 338.

2. πρὸς τό· Τὸν φωστῆρα, p. 377. Recole quæ supra notantur de v. 3 et 6, p. 606. — ψυχαγελάρχην Studium olet. — οὕτως C.

3. εὐθὲς pro εὐθὺ cum LXX. — τὰ ἅγια C, facile retinendum cum elisione. — ἐπαξίαν C.

4. ταπ. Χριστοῦ C. — Λογγ. τῷ ὁσίῳ C. — σὺν in fine add. — ὑπέψαλλεν C.

λιον γὰρ * μονομαχήσας κατέαξας· * λοιπὸν ἀρχηγὸς * στρατοῦ ἁγίου γεγένησαι, * μονὴν ἐγείρασθαι ὅτι χρηστὸν, * ἐν ᾗ σὺν σοὶ ὑπέψαλλον· * Χριστόν...

ε'. Πῶς ἐξείπω τοῦ ὁσίου * τὸ φρικτὸν τῆς ἐγκρατείας; * καὶ γὰρ δι' ἑβδομάδος * ἅπαξ ἤσθιε τροφὴν σχέδιον· * χλωροὺς, φοίνικας, ὄσπρια· * ἔστι δὲ καὶ ὅτε ὀστᾶ ἁπαλόβρεκτα· * τρὶς δέκα ἔτη * ἄρτου μηδόλως γευσάμενος, * καὶ πιὼν ποτὸν * τὸ νηφαλέον ὑδάτιον, * ἐν οἷς θαυμάζοντες οἱ αὐτοῦ * φοιτηταὶ ᾖδον, λέγοντες· * Χριστόν...

ϛ'. Τίς ἐκείνου μὴ θαυμάσῃ * τὸ πολὺ τῆς ἀγρυπνίας, * τοὺς κρυφῇ κρεμαστῆρας, * ἐν οἷς ἀγρυπνῶν ἐστηρίζετο, * στάσιν ἄμετρον ἐκτελῶν, * ἐξ ἧς αὐτῷ βουβώνων ἄλγημα; * τίς δὲ τὸ αὐτοῦ * ἀείψαλτον οὐκ ἀγάσαιτο, * εὐχῆς καθαρὸν, * καὶ τῶν δακρύων τὸ πλούσιον, * τὴν ἄλλην ἅπασαν ἀρετὴν, * δι' ἧς αὐτῷ ἐπᾴδωμεν· * Χριστόν...;

ζ'. Ὡς δὲ ταῦτα ἐπετέλει, * τοῖς αὐτοῦ προστάσσει τέκνοις * μνῆμα κατασκευάσαι, * τὸ τοῦ Ἀβραὰμ ἐκμιμούμενος· * εἶτα γίνεται καὶ φρικτὸν * ἐκτελεῖται τερατούργημα· * ἐν τούτῳ γὰρ ζῶν * πατροκελεύστως ἐνθάπτεται * Βασίλειός τις * καὶ ἐκβιώσας ὀπτάνεται * τῷ Ἀετίῳ σὺν τῷ πατρὶ, * ὡς εἶδεν καὶ ὑπέψαλλεν· * Χριστόν...

η'. Χρεὼν φράσαι τοῦ ἁγίου * τὴν θερμὴν πρὸς Θεὸν πίστιν· * ἐπέστη γὰρ τὸ Πάσχα, * καὶ οὐκ ἦν τροφὴ μεταλήψεως, * ὄντων δώδεκα ἀδελφῶν, * οὐδ' ἄρτος μυσταγωγήσιμος, * καὶ ἄφνω Θεὸς * παρέσχε ξένα ἀμφότερα, * ἡλίου δυσμὰς, * τινὸς ἐλθόντος καὶ φέροντος * πεφορτωμένον ζεῦγος κτηνῶν, * καὶ ταῦτα συγκραυγάζοντος· * Χριστόν...

perfidum hostem conculcasti. Deinceps exercitus sacri dux factus es, quia præstabat ut excitares monasterium, in quo tecum succinebant : Christum...

5. Quomodo enarraverim stupendam sancti viri abstinentiam? Semel enim in hebdomade edebat cibum imparatum, herbas, palmæ fructus, legumina; interdum etiam lupinos madidos. Per triginta annos non gustavit panem, potum bibens puram lympham; quæ mirabundi canebant discipuli, dicentes : Christum...

6. Quis non mirabitur quomodo vigilaverit, absconditis se pendulisque fulcris erigens, stationem prolixam perennans, ex qua ipsi molesta ulcera creverunt? Ecquis non stupeat perpetuum psalterium, puras preces, fletuum thesauros, omnem cæteram virtutem, ob quam illi demus hymnum : Christum...?

7. His peractis, suis jubet filiis monumentum erigere, Abrahami exemplo; tum fit et absolvitur insolitum prodigium : in eo si quidem vivus, paterno ex mandato, sepelitur Basilius quidam nomine, defunctusque conspicitur ab Aetio et patre, vidente et psallente : Christum...

8. Dicere oportet sancti viri flagrantem ad Deum fidem. Contigerat enim pascha, deerat vero panis eucharisticus, cum duodecim fratres adessent, neque etiam erat eulogia præsanctificata. At statim Deus concessit, solis ad occasum, duo miracula, veniente quodam homine ac vehente onustum ductumque bigis carrum, et canere suggerente : Christum...

5. τρεῖς δι ἔτος C. — πίνων C. — ἴδον λέγ C.

6. βομβῶνων sic C duplici mendo. — τίς δὲ αὐτοῦ τὸ C minus bene. — ἀείψαλτον, vox est Studitarum et consuetudo Acœmetorum.

7. ζῶντα C.

8. Χρ. φθάσαι sic C. — μυσταγωγήσιμος adde lexicis. — ξένα ipsi nos add. si minus placet, f. εὐθὺς παρ. ἀμφότερα — f. δυσμαῖς. — πεφορτομένως C plurimo vitio. — ταῦτα κραυγάζοντα C, ac si jumenta clamaverint.

θʹ. Οἷον ξένον ἀπεντεῦθεν * ἐκτελεῖν ὁ πατὴρ ἤρχεται, * μονὴν γὰρ προθέμενος * ἀνοικοδομεῖν, ὡς ἐδίσταζεν, * βάλλει κάρβονας πλὴν πυρὸς * εἰς ἅγιον θυμιατήριον, * ποιεῖται εὐχὴν * πρὸς τὸν Κύριον εὐήκοον, * καὶ οὗτοι εὐθὺς * μετ' εὐωδίας ἀνήφθησαν· * ὃ θεασάμενοι, πρὸς αὐτὸν * οἱ μαθηταὶ ἀνέκραζον· * Χριστόν...

ιʹ. Υ... ιαʹ. Σιών, χαῖρε, ἡ ἁγία, * οἰκιστὴν σχοῦσα τοιοῦτον, * τὸν πολλὰ τὰ τέκνα σου * διὰ πνεύματος πληθυνάμενον. * Χαῖρε μάλα δὲ ἡ πατρὶς * ὁσίου, Καππαδόκων ἔδαφος· * ἡ τούτου μονὴ * ὡς κεκτημένη προπάτορα * τοιοῦτον, ἀεὶ * περιέποντα τὰ τέκνα σου * ἐκ πάσης βλάβης πρεσβευτικῶς, * κραυγάζουσα καὶ ᾄδουσα· * Χριστόν...

9. Inde jam quam insolitum peragere cœpit pater prodigium! monasterium erigere sibi proponens cum anxius esset, sine igne carbones ponit in sacro thuribulo, orationem Domino dirigit exaudienti, ac subito cum suavi odore accenduntur prunæ; quod videntes disciputi, ad eum clamabant: Christum...

10. Lætare, Sion o sancta, quæ talem acquisieris hospitem, a quo tui plurimi filii spiritu aucti sunt. Gaudeas vero tu in primis, sancti viri patria, o Cappadociæ solum. Salve, cœnobium, talem adeptum patriarcham, qui filios tuos protegit ab omni labe suffragiis suis, dum clamas et canis: Christum pro nobis exora semper.

9. μονὴν προθ. C. — κάρβονας sic C, aliunde idem notum, quum metro aptetur ἄνθρακας.

11. ἔχουσα τοιοῦτον C. — τοῦ ὁσίου C. — in fine καὶ ἐπᾴδ. C. Theodoro sane digna coronis est.

II.

αʹ. Πεφυτευμένος...

βʹ. Ἄνθρωπος...

γʹ. Βλέμματι ἀεννάῳ * ἀτενίσας, θεόφρον, * τοῦ κόσμου τὰς ματαίας φροντίδας, * καὶ τὴν σύγχυσιν, τὴν ἐξ αὐτῶν * γενομένην ψυχῇ, * σεαυτὸν ἥρπασας * ἐκ τούτων, πανοίδιμε, * μονάσας εὐσεβῶς καὶ ψάλλων. * Χαῖρε, πάτερ Θεοδόσιε.

δʹ. Γνώμην ἱερωτέραν * ἐκτιθέμενος, πάτερ, * τὰ ἅγια ἰδεῖν ἐπεπόθεις * Ἱεροσόλυμα, ἃ ἰδὼν * παρὰ τοῦ ἱεροῦ * Συμεὼν ἔλαβες * εὐχὴν τὴν ὑπερθαύμαστον· * διὸ καὶ παρ' ἡμῶν ἀκούεις·

1. *Mæneor.* Januar. XI, p. 104.

2. *Ibid.*

3. Perenni intuitu penetrasti, vir Dei, inanes mundi curas et tumultum inde animæ obortum: ex quibus proripuisti te, generosissime, pius solitarius ac psallens. Salve, Theodosi pater...

4. Sanctiori consilio suasus, sacram Hierusalem videre anhelabas, qua lustrata, recipis ab illo sacro Symeone benedictionem admiratione majorem; unde a nobis hæc audis:

II. De Sergio nemo cogitabit, nisi acathisti gratia memorandi. Vix dubium quin et celebrem typum melodiæ et superius canticum præ oculis habuerit qui hanc cantilenam effudit. Extat in taurin. f. 63.

1, 2. ἦχ. πλδʹ, πρὸς τό· Τῇ ὑπερμάχῳ. Cf. p. 250. Totum fere trop. quale editum est, ad verbum, mutato metro, in superiore cantico extenditur.

3. τῇ ψυχῇ T. — Incuria librarii pro solemni ephymnio ἀλληλούϊα, plausus in ore sancti patris ponitur, nisi prolixus exciderit χαιρετισμός, qualis superest post 4.

4. ἅπερ ἰδὼν T. f. ἃ πρὶν ἰδεῖν. — μοναδικοῦ συστ. T, contra metrum. — φοβερώτατος T.

Χαῖρε, Θεοῦ
πρὸς ἀνθρώπους δόσις.
Χαῖρε, ἐχθροῦ
ἀοράτου πτῶσις.
Χαῖρε, ἀγελάρχα
λογικῶν προβάτων σου.
Χαῖρε, ταξιάρχα
μοναχῶν συστήματος.
Χαῖρε, ὅτι τὸν αὐχένα σου
καθυπέκλινας πατρί.
Χαῖρε, ὅτι πάσας ἔμαθες
τὰς ἐκείνου ἀρετάς.
Χαῖρε, ὀρθοδοξίας
ἀμετάβλητε κανών.
Χαῖρε, κακοδοξίας
φοβερώτατε πέλυξ.
Χαῖρε, δι' οὗ
ὁ κόσμος ἀγάλλεται.
Χαῖρε, δι' οὗ
ἡ πλάνη κατήργηται.
Χαῖρε, πιστῶν
ὁ ἀκλόνητος πύργος.
Χαῖρε, τερπνῶν
ἀρετῶν ὁ ταμίας·
Χαῖρε, πάτερ Θεοδόσιε.

Salve, Dei donum hominibus factum. Salve, invisibilis hostis strator. Salve, dux tuarum spiritualium ovium. Salve, instructor aciei monasticæ. Salve, quia collum tuum patri submisisti. Salve, qui ab illo omnes didicisti virtutes. Salve, orthodoxiæ immutata regula. Salve, pravæ doctrinæ formidolosissima securis. Salve, per quem mundus lætatur. Salve, per quem error expellitur. Salve, fidelium inexpugnabilis turris. Salve, suavium virtutum thesaurarius. Salve, pater Theodosi.

LIX.

DE S. NICOLAO.

α'. Τῇ ὑπερμάχῳ, * κραταιᾷ ἀντιλήψει σου, * ὡς λυτρωθέντες * διὰ σοῦ, πάτερ, τῶν θλίψεων, * χρεωστικῶς σοι προσφέρουσι χαριστήρια· * ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον, * ἐκ παντοίων με κινδύνων * ἐλευθέρωσον, ἵνα κράζω σοι· * Χαῖρε, προστάτα θερμότατε.

β'. Ἅγιε θεοφόρε, * τῶν ἁγίων ἡ δόξα, * καὶ τῶν ἀρχιερέων τὸ κλέος, * παμμακάριστε Νικόλαε, * τοῦ πόθῳ γεραίρειν τὴν θείαν *

1. Invicto, potenti tuo præsidio, utpote per te, o Pater, ab ærumnis vindicati debita gratiarum cantica ad te proferunt. Agedum, tu qui fiduciam habes apud Dominum, ab universis me periculis eripe, ut clamem tibi : Salve, protector amantissime.

2. Vir sancte theophore, justorum gloria, pontificum decus, longe beatissime Nicolae, ut amanter recolam tuam memoriam, tuis

LIX. Hæc libenter aut omiseram aut neglexeram inter ultima, nisi e re nostra esse videretur etiam juxta exquisitissima, qualis est Sergii acathistus, similia aliquatenus, sed reluctante Minerva, male concepta, infauste nata, vix ab umbilico rescisa, adhibere. Sic linguæ peritiam ex cacographia, quam aiunt, acquirunt. Ex cod. taurin. f. 26 accepi sequentia, quæ melodus, ne hirmus lateat, audacter a primis acathisti verbis incœpit, sub tono VIII. Sed quum id genus canticum oporteat esse contextum tropariis quæ duobus acathisti proœmiis respondeant, et salutationibus ornari quæ sive binæ et binæ inter se aptantur, sive ad proximum alterum troparium singulæ singulis cohærent, hic nulla omnino lex servata fuit.

1. Syllaba una deficit in v. 2, 6; abundat vero una in v. 5, 7, 8, ne de accentibus loquar.

2. Rhythmus postulat θείαν με, suppresso τήν. Salutationes ab initio se referre videntur ad se-

μνήμην σου * πρεσβείαις σου καταύγασον, * καὶ φώτισον τοῦ μέλπειν οὕτως·

Χαῖρε λαμπτὴρ * ἀληθείας, μάκαρ. * Χαῖρε, ὁ καὶ ἔργῳ καὶ πράξει Νικόλαος. * Χαῖρε, τῶν Χριστοῦ θαυμάτων τὸ τέμενος. * Χαῖρε, πάντιμε, παμπόθητε * καὶ πανάγαστε πάτερ. * Χαῖρε, πάντων ἀγαλλίαμα * καὶ χαρὰ ἀνέκλειπτος. * Χαῖρε, ὅτι ὑπάρχεις * σκέπη θεία τῶν πιστῶν. * Χαῖρε, ὅτι φυλάττεις * ἐκ κινδύνων τοὺς βροτούς. * Χαῖρε, λιμὴν καὶ τεῖχος ἀπόρθητον. * Χαίροις, ὁ μέγας ἐν πᾶσιν ἐπίκουρος. * Χαῖρε, δι' ὧν προστατεύεις καὶ σώζεις. * Χαῖρε, δι' ὧν πάντας ἐπισκέπεις. * Χαῖρε, προστάτα θερμότατε.

γ'. Βάθος θείων θαυμάτων * ἀπορρήτων καὶ ὕψος * ἐν σοὶ τῇ θείᾳ χάριτι ὁρᾶται, * παμμακάριστε Νικόλαε, * ὁ λόγῳ καὶ ἔργῳ καὶ πράξει [νικητής]· * ὅθεν ἀξίως μέλπω σε, * ὡς τὸν Θεοῦ πιστὸν θεράποντα, * ἀλληλούϊα.

δ'. Γέγονας τοῖς ἐν θλίψει * συμπαθὴς διαθέσει, * ὥσπερ πατὴρ φιλόστοργος, παμμάκαρ, * τοῖς μὲν ἐν ἀνάγκαις βοηθὸς * καὶ τοῖς ἐν κινδύνοις λυτρωτὴς * τάχιστος, * τοῖς πᾶσι πάντα γέγονας, * καὶ πάντες σοι πιστῶς μέλπομεν·

Χαῖρε, ποιμὴν καὶ λιμὴν καὶ σκέπη. * Χαῖρε, πάτερ, εὐθυμία πάντων. * Χαῖρε, τῶν ἀπεγνωσμένων ἡ βοήθεια. * Χαῖρε τῶν καταπονουμένων ὁ πρόμαχος. * Χαῖρε, καύχημα καὶ στήριγμα * τῶν αἰτούντων σε πιστῶς. * Χαῖρε, σκέπη καὶ ἀντίληψις * ἀπροσμάχητος, στεῤῥά. * Χαῖρε, ὅτι ὑπάρχεις * τῶν βροτῶν καταφυγή. * Χαῖρε, ὅτι πραΰνεις * πᾶσαν ζάλην καθ' ἡμῶν. * Χαῖρε, λαμπτὴρ ὁ φωτίζων τοὺς ἐν[σκότει]. * Χαῖρε, κρατὴρ * ἐνθέου εὐφροσύνης. * Χαῖρε, πιστῶν ἀγαλλίαμα θεῖον. * Χαῖρε, ψυχῶν καὶ σωμάτων ὁ φύλαξ. * Χαῖρε, προστάτα θερμότατε.

illumina me suffragiis, facemque præbe, ea ut canam :

Salve, veritatis jubar, o beate. Salve, et opere et re populi victor. Salve, miraculorum Christi sanctuarium. Salve, totus honor, totus amor ac sacer totus, o pater. Salve, omnium exultatio et lætitia inexhausta. Salve, quia tutela divina fidelium es. Salve, quia custodis mortales in periculis. Salve, littus et murus inexpugnabilis. Salve, magnus in omnibus auxiliator. Salve, quia protegis et salvas. Salve, quia omnes liberas. Salve, protector amantissime.

3. Divinorum prodigiorum quæ vocem superant, abyssus et altitudo in te cernitur ope gratiæ Dei, felicissime Nicolae, victor verbo et opere et effectu; unde merito te cano ut fidelem Dei famulum, alleluia.

4. Factus es oppressis sponte compatiens, ut pater filiorum amans, beatissime, positis in necessitate propitius, periclitantium promptus sospitator, omnibus omnia factus es, omnesque cum fide tibi canimus :

Salve, pastor et portus et refugium. Salve, pater, lætitia omnium. Salve, desperatorum auxilium. Salve, defensor colluctantium. Salve, gaudium et robur te confidenter invocantium. Salve, tutamen et præsidium invictum, firmiter manens. Salve, quia tu es mortalium asylus. Salve, quia serenam facis omnem procellam nostram. Salve, sidus, illuminans jacentes in nocte. Salve, poculum divinæ lætitiæ. Salve, fidelium exultatio sacra. Salve, animarum et corporum custos. Salve, protector amantissime.

quens trop. Deinde binæ junguntur, sed in utroque casu ruptis sæpe et rhythmo et metro.

3. Syllaba una abundat in v. 5, 7, tres deficiunt in v. 5.

4. Syllaba una abundat in v. 3. Idem ac supra in salutationibus notandum.

LX.

DE S. HILARIONE.

α'. Ἱερῶς ἀπὸ βρέφους * ἐντεθραμμένος, * γονικὴν ἐβδελύξω * κοσμολατρείαν, * τοῦ Ἀντωνίου * φυτεία γενάμενος· * ταῖς ἀρεταῖς σου πυκάζεις τὰ πέρατα, * Ἱλαρίων, πάτερ ἡμῶν· * διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β'. Ὁ τυφλόνους πῶς αἰνέσω * σὲ τὸν νοῦν τὸν ἑωσφόρον, * τὸν πρωΐθεν τῆς αὐγῆς * ἀνατείλαντα; εἰς τὰ πέρατα * κόσμου ἤστραψας ἀρετάς, * Ἱλαρίων θαυμασιώτατε, * τὸν ἀσκητικὸν * ἤνυσας δρόμον, μακάριε, * καὶ νικητικὸν * ἐκ Θεοῦ στέφος ἀπείληφας. * Ἀλλ' οὖν χορεύων ἐν οὐρανοῖς, * βοήθει τοῖς ἐπᾴδουσιν· * διὸ ὑπὲρ ἡμῶν...

γ'. Τὴν ὁσίαν πολιτείαν * τοῦ πατρὸς ἀνακηρύττων, * κατὰ μέρος ἅπαντα, * ὡς ὑπάρχουσι, διηγήσομαι· * οὗτος ἔρωτι πτερωθεὶς, * πρὸς τὸν μέγαν ἧκεν Ἀντώνιον· * ἐκεῖνος αὐτὸν * τὸ θεῖον σχῆμα ἠμφίασεν· * αὐτὸς ὡς υἱὸν * πρὸς τοὺς ἀγῶνας ὑπήλειψεν, * Σωτῆρι πέμπων πάλαι στεῤῥῶς * κραυγάζοντα, ἐπᾴδοντα· * διὸ ὑπὲρ...

δ'. Ὑπεισῆλθες τῷ σπηλαίῳ * ἐν χαρᾷ, καὶ ἧς ἐν τούτῳ * ὡς θαλαμευόμενος * εἰς βασίλεια, παμμακάριστε, * ἔχων ἔνδυμα ἐκ τριχῶν, * ὥσπερ χιτῶνα πορφυρόχροον, * τροφὴν δὲ τρυφῶν * πεντεκαίδεκα συκίδια, * ποτὸν γλυκερὸν * τὸ νηφαλέον ὑδάτιον· * ἐν οἷς ὁρῶντές σε οἱ λαοὶ, * κραυγάζοντες ἐπῆδόν σοι· * διὸ...

1. Sacra doctrina a pueris innutritus, parentum sprevisti mundanos ritus, factus Antonii surculus, tuis virtutibus adornas terrarum fines, Hilarion, noster pater; ideo pro nobis exora Dominum.

2. Vir ego mente cæcus, quomodo canam te, mentem luciferam, quæ ante auroram in terra exorta es? Usque in fines orbis fulgura virtutum emisisti, Hilarion maxime stupende : dum cursum asceticum perfecisti, et victoriæ coronam a Deo recepisti. Agedum in cœlis exultans, protege clamantes ad te : ideo...

3. Sacrum vitæ institutum hujus patris enarrans, cuncta singulatim, uti extant, referam. Is amoris penna raptus, ad magnum venit Antonium. Ille cum sacro habitu vestivit; ille cum ut filium unxit ad certamina, palam salvatori dedicatum, strenue clamantem et aientem : ideo...

4. Tu in antrum ingrederis hilaris, manesque in eo, uti sponsus in regio thalamo, beatissime, pilis vestitus pro purpurea veste; pro cibo delicato sumens quinque et decem exiguas ficus; pro suavi potu, puræ lymphæ paululum; quæ quum populi viderent, clamabant et dicebant : ideo...

LX. Omni procul dubio ὁ τυφλόνους Theodorus est, nec melius quam nova illa dictione sculpere nomen suum poterat : ex quo etiam inferre lubet ejusdem esse poemata quorum acrostichis a prima voce tota deducitur. Extat in corsin. f. 5, jam detrito, cui resarciendo in primis tropariis suppetias præstitit cryptoferr. A. 2.

1. Corsin. πρὸς τό· Ἐν σαρκὶ τοῖς. Idem videtur ac supra p. 377, modulus, et procem. ἐν σαρκὶ, quæ tamen ab altero τῷ Θεῷ ἀπὸ μήτρας differunt, sed tantum in tribus ultimis versiculis quorum duo sunt dodecasyllabi, penultimus autem octosyllabus. Cf. p. 338. — γενάμενος more byzantino, ut alibi.

2. πρὸς τό· Τὸν φωστῆρα, v. p. 377. Superius vidimus n. XXXIX, XL acrostichidem in primo v. contineri, ex Theodori more. — προΐθεν αὐγῆς sic C. — ὁρ. ἦν. C. — v. penultim. in archetypo deest.

3. κραυγ. καὶ ib.

4. ὡς χιτῶνα πορφυρόχρωον C. — νηφάλαιον C. — σε om. in fine C et habet barbare κραυγάζουν καὶ ἐπᾴδουν. Cf. cum LVIII tr. 5.

ε΄. Φεῦ! τοῦ φθόνου τοῦ Βελίαρ! * εὐθὺς γὰρ ἤρξατο βρύχειν * κατὰ τοῦ φιλαρέτου * ὁ μισόκαλος, ἐπαφεὶς αὐτῷ * βέλη ἔμπυρα ἡδονῶν, * ἵνα ῥήξῃ τὸν ἀθλητὴν Χριστοῦ· * ὁ δὲ πρὸς αὐτὸν * ταῖς ἱκεσίαις ὡπλίζετο, * καὶ στηθοχρουστῶν * ἐφυγάδευσε τὸν δόλιον· * αὐτῷ βοήσωμεν ὡς νικητῇ * τοῦ Βελίαρ ἐπάδοντες· * διὸ ὑπὲρ...

ς΄. Λέξαι, ἔφη ὁ γενναῖος * ἀθλητὴς πρὸς σοφὸν σῶμα· * οὐ κριθὰς ψωμίσω σοι, * ἀλλ' ἄχυρα, δίψει δὲ τήξω σε, * κρύει, καύσωνι θλίψω σε, * ἵνα μήπως * ἀπολακτίζῃς με. * Διὸ τριήμερον * ἐν ταῖς βοτάναις τρεφόμενος, * ξηρὰ τὰ ὀστᾶ * μόνον ἔφερεν ὁ ὅσιος, * πρὸς ὃν βοήσωμεν ἐκτενῶς· * Βοήθει τοῖς ἐπάδουσιν· * διὸ...

ζ΄. Ὀλολύζων κατεπέστη * ὁ Σατὰν τῷ πατρὶ αὖθις, * δείματα φρικτὰ αὐτῷ * φανταζόμενος προσεφόβησεν, * θρήνους ἔθετο γυναικῶν * καὶ θηρῶν βρυγμὸν ἀπειρότατον. * Ὁ δὲ σφραγισμῷ * κατεσίγασε τὸν θόρυβον, * καὶ ψάλλων Θεῷ * ἀπενίκησε τὸν δόλιον· * ὃν τοῖς ἐγκωμίοις στέψωμεν, * καὶ εἴπωμεν ἐπάδοντες· * διὸ...

η΄. Νῦν ἐξῆλθεν τοῦ σπηλαίου * ὁ πατήρ, σκηνὴν ποιήσας * ἑαυτῷ ἐν τῇ χώρᾳ, * καλύβην στενὴν ὡς ἐντάφιον * ταύτην ᾤκησε· μὴ προβὰς * ὁ ἅγιος ἐν πέντε ἔτεσιν, * τὴν στρωμνὴν ἀεὶ * χαρακόπλεκτον ἐκέκτητο· * χιτὼν αὐτῷ ἦν, * ὡς χρυσόνημα, τὸ τρίχινον, * παρ' Ἀντωνίου τοῦτο λαβὼν * τοῦ μεγάλου, ᾧ ἔμελπεν· * διὸ ὑπὲρ...

θ΄. Ὄντος ἔτους δισενάτου * τοῦ σοφοῦ καὶ θεοφόρου, * τῶν λῃστῶν τὴν ἔφοδον * οὐκ ἀπέπτηξεν..... * ἀλλ' ἔλεγε φόβητρα * αὐτῷ ἐμποιοῦσιν, ὡς δέδεικται· * Γυμνὸς ὡς ἐγὼ * οὐ πεφόβηται λῃστεύοντας, * διὰ γὰρ Χριστὸν * εἰμὶ ἕτοιμος τεθνήξεσθαι. * Ὃν οὖν θαυμάζοντες οἱ λαοί, * ἐκραύγαζον ἐπάδοντες· * διὸ ὑπὲρ...

5. Eheu! quanta Belialis invidia! statim enim rugire incipiens in virtutis sectatorem iste boni osor, impegit illi ignea tela voluptatum, ut frangeret Christi athletam. Is vero adversus eum precibus armabatur, pectusque cædens, fugavit perfidum, ut Belialis victori clamemus, cantica promentes: ideo...

6. « Quiesce, inquit generosus athleta « astuto corpori suo : grana non amplius « dispertiam tibi, sed paleas; siti te mace« rabo; frigore, æstu conteram te, ne mihi « unquam recalcitres. » Triduum ergo herbis nutritus, sicca tantum ossa vir sanctus præ se tulit; cui instanter clamemus : Auxiliare te canentibus, ideo...

7. Ejulans assurrexit iterum Satan adversus patrem; tetra terriculamenta in eum effingens, ad metum incutiendum, lamenta subdit mulierum et belluarum rugitus immensos. Is vero signo crucis silere fecit tumultum, Deoque psallens, vicit impostorem. Encomiis coronemus eum, et dicamus cum hymnis : ideo...

8. Nunc vero pater progreditur ex antro, sibi parans in hoc loco tabernaculum; sanctus se angustum in tugurium recepit, velut in sepulcrum, nec recedens inde per quinque annos; stragulum cannis contextum adhibuit, quod pro lecto illi fuit; tunica hirta ut aurea fila illi erat, quam a magno Antonio recepit, cui canebat : Exora...

9. Bis novem annos cum vir sapiens ac Deum spirans attigerat, latronum non formidavit incursus, sed ait illis tremenda minitantibus, ut didicimus : « Qui nudus « ut ego est, non timet prædones, propter « Christum enim ego mori paratus sum. » Quem ergo mirantes populi, ad eum clamabant : ideo...

5. ῥήξει C. — στηθοχρ. cusum a Studitis. f. στηθοχροτῶν.

6. Nota λέξαι more homerico, nisi præstet λῆξαι. — τὸ σοφὸν C, mox δὲ om. — ἐλακτίζῃς με C.

7. βρ. ἄπειρον C.

8. ὁ πατὴρ fere evanuit in C. — ἐν χώρᾳ C.

9. ὄντος, non obstante verbo finito ἀπέπτηξεν. — ἐμποιούντων C.

ι'. Ὡς οὖν ταῦτα ἐκτελέσας, * ἱερὲ, καὶ ἐγχωρήσας * πρὸς ζωὴν τὴν ἀγήρω, * τοῦ ἀπολαβεῖν γέρας πόνων σου, * μνήσκου πρώτιστα τοῦ οἰκτροῦ * καὶ ταπεινοῦ ἐπαινέτου σου, * τοῦ κόσμου παντὸς, * τῶν μοναζόντων ἐξαίρετον, * τῶν πόθῳ θερμῷ * ἐπιτελούντων τὴν μνήμην σου, * σωθῆναι πάντας ἐκ πειρασμῶν, * καὶ μέλπειν σοι ἐπᾴδοντας· * διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

10. Quæ quum peregeris, vir sacer, et jam admissus in vitam perpetuam, ut accipias laborum tuorum præmia, memento in primis miselli et humilis tui præconis, tum totius orbis, monachorumque præsertim, et omnium cum caldo amore recolentium tuam memoriam, ut salvi omnes sint a periculis et canticum tibi modulentur : Ideo pro nobis exora Dominum.

10. ἀγείρω C. — μνήσκου sic codd. et rhythmus pro μιμνήσκου.

LXI.

DE S. THEODORO SYCEOTA.

α'. Ὡς πυρίνῳ ἅρματι * ταῖς ἀρεταῖς, θεοφόρε, * ἐπιβὰς ἀνέδραμες * εἰς οὐρανίους οἰκήσεις· * ἄγγελος * μετὰ ἀνθρώπων * συμβιοτεύων, * ἄνθρωπος * σὺν τοῖς ἀγγέλοις * περιχορεύων· * διὰ τοῦτο ἀνεδείχθης * θαυμάτων θεῖον δοχεῖον, Θεόδωρε.

1. Igneo velut in curru tuis, o deifer, virtutibus ascendens, ad superas cucurristi sedes : qui angelus inter homines vixisti, tu homo cum angelis exultans : idcirco effectus es palam divina prodigiorum arca, Theodore.

β'. Θεία νῦν τοῖς πιστοῖς * πρόκειται καὶ εὐφρόσυνος * πανδαισία, * φαιδρὰν ἔχουσα τὴν ἀπόλαυσιν, * ἡ τοῦ θεοφόρου * μνήμη, συγκαλοῦσα * μεγαλοφώνως· * Δεῦτε, κραυγάζουσα, * τροφὴν ἀδαπάνητον * τῆς εὐωχίας * τῶν χαρισμάτων μου * πάντες δαψιλῶς κατατρυφήσατε, * καὶ τοῦ κρατῆρος * τῶν ἰαμάτων, * τῇ συνειδήσει καθαρᾷ, * ἐμφορηθέντες τὰς ψυχὰς, * ἐκβοήσατε πίστει· * Ἀληθῶς συ ἀνεδείχθης * θαυμάτων...

2. En divina, hilarisque prostat fidelibus mensa convivii, lautas præbens delicias, nempe theophori viri memoria, quæ grandi voce convocans : « Adeste omnes, clamat, « inexhausta in hoc convivio dulcedine « mearum gratiarum opipare fruamini, et « cum pura animarum conscientia, im- « pleamini poculo sanationum, et cum fide « vociferamini : Vere tu factus es divina « prodigiorum arca, Theodore. »

γ'. Δῶρον τοίνυν Θεοῦ * ἐπὶ τῆς γῆς ὁ ὅσιος * ἐκ σπαργάνων εὐθὺς * θείᾳ ἐδείχθη

3. Et Dei donum terræ apparuit justus, statim ab incunabulis, divina gratia favente,

LXI. *Theodqri* totum nomen in acrostichide lectum fuisse ne dubita, et dole mecum tam pauca superesse eximii operis, quod cæteris proximis nedum impar dixerim, præstantius mihi et antiquius est. De Romano cogitarem, nisi quid turgeret et infinita quædam cumularentur. Extat in taurin. f. 104. Cf. Bolland. xxii april. t. III, p. 32.

1. πρὸς τό· Ἡ Παρθένος. Hoc solum trop. ex duobus poematibus in Menæa exulat. — ἐμβιοτεύων σὺν τοῖς δύλοις T. Vix alibi elegantius vidi procemium, in quo nota quam argute distincti sint et concinne oppositi duo versiculi 5, 8, ἄγγελος, ἄνθρωπος.

2. Iterum πανδαισία, de qua jam ad Joannem, p. 485, hic vero grandior assurgit et πρόσωπον agit, nec parum confert ad dramaticam melodorum historiam. Melodus tamen noster, utpote serior, veteres agapas non nisi metaphorice respicit.

3. ἐδείχθη θείᾳ χαρ. T. — τελειοτάτης, scilicet ἡλικίας de qua ellipsi cf. Bos. v. 172. — σὺ in fine add.

χάριτι, * ἐμφαίνων τοὺς τρόπους * τοὺς τῆς εὐσεβείας, * καὶ προδεικνύων * τῆς ἀρετῆς αὐτοῦ * τὰ σύμβολα ἅπασιν, * καὶ προκηρύττων * ἐν τῇ νεότητι * τῆς τελειοτάτης τὰ παράδοξα, * ἀεὶ μελέτῃ * ἔχων τὰ θεῖα, * καὶ τὰ ἐντάλματα Χριστοῦ * ἀποπληρῶν ὡς ἀληθῶς· * διὰ τοῦτο ἀξίως * σὺ ὑπάρχεις, ἐκβοῶμεν, * θαυμάτων...

cunctis patefaciens virtutis suæ signa, jamque in juventute auspicatus perfectioris ætatis prodigia, semper meditationi habens res divinas, et Christi præcepta sine defectu adimplens : Tu ergo merito, clamamus, factus es, o Theodore, divina arca prodigiorum.

δ'. Ὄντως, πάτερ σοφὲ, * σὺ ποταμὸς τῆς χάριτος * ἀνεδείχθης τῇ γῇ * ὑπὸ Θεοῦ, Θεόδωρε, * θαυμάτων προχέων * τὰ ῥεῖθρα ἐν κόσμῳ, * καὶ κατευνάζων * πάθη ἀνίατα, * καθαίρων καὶ πταίσματα * καὶ ἀπελαύνων * πνεύματα ἅπαντα * τὰ τῆς πονηρίας θείῳ πνεύματι· * διὸ καὶ στάντες * ἐν τῇ σορῷ σου, * ὡς ἰατρείῳ ψυχικῷ, * παρεστηκότες σοι πιστῶς, * ἐκβοῶμεν ἀπαύστως· * Ἐκ Θεοῦ σὺ ἀνεδείχθης * θαυμάτων...

4. Vere, pater sapiens, tu fluvius gratiæ super terram ostenderis, favente Deo, o Theodore, prodigiorum fluctus in orbem effundis, finem desperatis morbis imponis, peccata repurgas, et omnes averruncas nequitiæ spiritus, spirituali virtute; unde tuo loculo circum astantes, sicut in medica animarum officina, ad te cum fide clamamus semper : Deo jubente, tu factus es, Theodore, divina arca prodigiorum.

4. ὡς ἰατρεῖον ψυχικὸν T. An melodus respexit ad epigraphen foribus bibliothecæ alexandrinæ præfixam : ἰατρεῖα ψυχῶν? Ultima melodum ipsum Syceotam fuisse suadent.

Monitum de S. Joanne Therista.

Vix alius est in aureo illo Calabriæ sanctæ decimo sæculo, qui celebriorem meruerit memoriam, quam Joannes ille *Messor*, sive *Therista*, de quo in *Actis sanctorum* die febr. XXIV, t. III, p. 484, disputat Godofredus Henschenius. Genitus enim ex patre, in Saracenorum irruptione ad Calabriam occiso, in Sicilia natus est, matre tum in captivitatem et in prædonum ducis thalamum abducta : quæ fidei tenax filium in Calabriam direxit, ut baptismum reciperet. Nec christianus tantum, sed monachus et abbas factus, insignes socios habuit, inter quos Nilum et Bartholomæum Cryptoferratenses. Negat quidem Henschenius, qui post ambos conditores monasterii romani Joannem ait floruisse circa a. 1118. Sed frustra, cum ex canone, quem totum descripsimus, nomine Bartholomæi inscriptum, immo ex actis ab Henschenio relatis, ubi dicitur Joannes obiisse, vivente Guiscardo, duce Normannorum, palam sit Theristam vixisse ante medium sæculum XI; et cum jam grandævus fuisse videatur, decimo sæculo, tot sanctorum fecundo, ut diximus, jure restituitur. Hic nos parumper morari jubemur, grati animi memoria, cum ex monasterio Stylitiano S. Joannis Theristæ plures vaticani codices nobis obtigerint, inter quos sub num. 2008 unicum est et insigne tropologii veteris fragmentum. Ea vero quæ ex hoc in primis proferimus, tam pronum est Bartholomæo simul et Leoni Stylitiano, amborum canonum auctoribus, ascribere, quam ab altero utroque eadem auferre arduum et ambiguum esset. Quin condakii primum trop. et alia f. excidisse videntur, quibus inerat acrostichis Ἰωάννης, an sancti, an melodi latentis nomen retinens? An vero is Leo idem sit qui supra p. 437 lætas claudit cantilenas αἱ ἀγγελικαὶ, quis expiscabitur, cum etiam in Calabria alius sit Leo argenteæ ætatis scriptor, quin et Photii amicus, ut testantur quas manibus teneo litteras, ut puto, anecdotas?

LXII.

DE S. JOANNE THERISTA.

ΚΟΝΔΑΚΙΟΝ.

α'. Ὥσπερ ἐν ἄλσει ἔρνος ἐλαίας, * ὡς μῆλον ἐν τῷ δρυμῷ, * κρίνον ἐν τῷ ἀγρῷ, * ὡς ἐν ἀκάνθαις ἡδύπνοον * ῥόδον, εὑρόν σε τὸ θεῖον Πνεῦμα, * ἐξ ἀπίστων ἐξῆξε σοφῇ προνοίᾳ, * καὶ φωτισμῷ * τοῦ βαπτίσματος ὅλον ἐλάμπρυνε· * ἐντεῦθεν ἦρας ἐπ' ὤμοις * τὸν σταυρὸν, καὶ ὁσίως ἐμόνασας, * σκιρτῶσαν σάρκα κατέτηξας, * Ἰωάννη, ὁσίων τὸ καύχημα· * διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β'. Ἄριστος ὢν καὶ πρὸ τοῦ μονάσαι, * ἐξ οἰκείων ἱδρώτων * καὶ καυσώδους κόπου * τοὺς πεινωμένους διέτρεφες, * ἀσύγκριτον ποιῶν ἐργασίαν * ἐν τῷ θέρει, ὡς ἄλλος οὐδεὶς ἐν βίῳ * ὀνομαστὸς, * καὶ ἐπωνομασμένος ἐκ τούτου φανείς· * πρὸς τούτοις πόσει καὶ δίψει, * προσευχῇ καὶ δεήσει ἐγκαρτερῶν, * ναὸν σαυτὸν ἐπετέλεσας * καθαρὸν, καὶ δοχεῖον τοῦ Πνεύματος· * διὸ...

1. Sicut olivæ fruticem in luco, pomum in querceto, lilium in agro, sicut suaveolentem rosam inter spinas te cum invenisset divinus Spiritus, ex infidelibus eduxit, provida sapientia, atque baptismatis splendore totum te illustravit : inde sustulisti crucem in humeros, ac monasticen pie vovens, lascivientem emaciasti carnem, o Joannes, justorum gloria; ideo pro nobis, exora Dominum.

2. Optimus jam ante monasterium, tuis sudoribus et æstu laboris inopes nutriebas, promiscuam in messe operam navans, ut alius nemo in vita nobilis, tu qui ex hoc cognominatus esse videris : in potu præterea et siti, in oratione et precibus perstans, temet effecisti purum, ac Spiritus receptaculum : ideo...

ΤΡΟΠΑΡΙΟΝ.

γ'. Τὴν λαμπρὰν κατέλειψας νῆσον Σικελῶν, * ἐπαρχίαν ὄλβιον πατρὸς, * καὶ ταῖς μητρὸς πιστῆς παραινέσεσι, * τὴν Καλαβρίαν δὲ ἁγίαν κατέλαβες, * Ἰωάννη πάτερ ἡμῶν· * διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

3. Claram reliquisti Siculorum insulam, felicem patris eparchiam, piaque matre hortante, in sacram appulisti Calabriam, Joannes pater noster; ideo pro nobis deprecare Dominum.

1. Ex vatic. 2008 f. 174 et vat. 2069 f. 150. Hirmus solemnis est τράνωσον. — ἐν τῷ ἰδρυμῷ in utroque cod. sic, nec refragatur rhythmus. f. ἐνὶ δρυμῷ. — ἔξαξε vat. 1, ἐξῆξε vat. 2. ut apud Roman. VIII, 8. Cf. Lob. l. l. 73. — σκιρτώσασα sic codd.

2. θέρει. Fuse describitur in actis miraculosa messis, qua non solum cognominatus, sed depingi solitus est cum œnophoro, falce et buccellato, inquit biographus vit. n. 11. — f. pro rhyth. κόπων τε καυσωδῶν. — ποιούμενος ἐργ. codd. — φανεὶς om. vat. 2. — πόσει v. 1, πίνει v. 2. Plura rhythmo repugnantia negleximus.

3. Aliud troparium sive ἀπολυτίκιον, cujus initium est : Μωϋσέως Δαυΐδ τε, extat in iisdem codd. Sed eadem omnino verba sunt, quæ de S. Nilo Cryptoferratensi vulgantur in die XXVI sept. cf. Horolog. Romæ a. 1677, p. 272; Liturgic. a. 1683, p. 321, Horol. a. 1772, t. II, p. 500. — σικηλὸν codd.

ΚΑΘΙΣΜΑ.

δ'. Ἐν σκηναῖς οὐρανίαις * ἡ καθαρὰ καὶ ἄμωμος * ψυχή σου χοροβατεῖ * σὺν ἀγγέλοις, ὅσιε, * καὶ σὺν πᾶσιν ἁγίοις, * καὶ ἐπὶ γῆς καὶ πάντιμος * σορὸς τῶν λειψάνων σου * ἐκτελεῖ παράδοξα * τοῖς πίστει προστρέχουσι· * δόξαν ἐκομίσω * παρὰ τοῦ στεφηδότου * ἀξίαν τῶν πόνων σου, * εἰληφὼς τὴν ἀντάμειψιν, * Ἰωάννη μακάριε· * πρέσβευε Χριστῷ τῷ Θεῷ * τῶν πταισμάτων τὴν ἄφεσιν.

4. In tentoriis cœlestibus pura et innocens anima tua choros exercet cum angelis, juste vir, cumque omnibus sanctis, dum etiam in terris famosa tuarum exuviarum arca prodigia perficit fidelibus illuc accurrentibus : comparavisti a coronarum judice gloriam tuis congruam laboribus, mercede recepta, o beate Joannes : supplicare Christo Deo pro peccatorum venia.

ΣΤΙΧΗΡΑ.

ε'. Ὤφθης * ἀπὸ βρέφους ἀγαθὴν, * πάτερ, ἐκλεξάμενος ὄντως * μερίδα φίλος Θεοῦ, * πατρικὴν ἀσέβειαν * ἀπαρνησάμενος, * μητρικὴν δὲ εὐσέβειαν * ποθήσας ἐμφρόνως· * Ὅθεν συγχορεύεις νῦν * τῶν πρωτοτόκων σκηναῖς· * ἔνθα * μνημονεύων μὴ παύσῃ * τῶν ἐπιτελούντων σου πόθῳ * τὸ φαιδρὸν μνημόσυνον, μακάριε.

ς'. Θεῖον * προσκυνοῦντά σε σταυρὸν, * καὶ ταῖς ἐκκλησίαις, παμμάκαρ, * ἀεὶ σχολάζοντα, * καὶ φωτὸς δεικνύμενον * καὶ ἡμέρας υἱὸν, * οἱ τοῦ σκότους μὴ φέροντες * ἀπόγονοι βλέπειν, * τύπτοντες ἐμάστιζον, * καὶ σὲ κατηχίζοντα· * σὲ δὲ * διεφύλαττε χάρις * θεία εἰς πολλῶν σωτηρίαν, * ἀξιομνημόνευτε, πάτερ ἡμῶν.

ζ'. Λόγοις * πειθαρχήσας τῆς μητρὸς, * τὴν τῆς ἀσεβείας μητέρα * πόλιν κατέλιπες, * καὶ τὴν πρὸς εὐσέβειαν * φέρουσαν ἤνυες * ἄτραπον, παναοίδιμε· * ἐν ᾗ θείῳ

5. Sane ab infantia visus es, pater, Dei amicus, dum optimam elegisti partem, qui paternam repudians impietatem, pietatem matris ex animo amplexus es. Unde nunc cum primogenitis in eorum tabernaculis exultas, ubi memor esse ne desinas celebrantium cum amore tuam, o beate, memoriam.

6. Te divinam crucem cum adorares, et omnem tuam ad ecclesias curam conferres, o beatissime, te filium lucis ac diei ostendentem cernere non valuerunt noctis genimina, teque verberantes percutiebant, dum eos edoceres. Te vero custodivit divina gratia in multorum salutem, o pater, memoria commendabilis.

7. Sermonibus obediens matris, urbem impietatis fecundam deseruisti, eamque perrexisti semitam quæ ad religionem ducit, præclarissime : exempli porro Moysis,

4. Ton. VIII, juxta modulum : Τὴν σοφίαν, ex vatic. 2008, f. 73 et vat. 2060, f. 148. — ἀξίων τῶν πόνων v. 2. — στεφηδότου vox nova videtur. Καθίσματα canonibus ante condakion inseri solent.

5. Toni II, juxta modulum : Ὅτε ἐκ τοῦ ξύλου, ex iisdem codd. — ὤφθης, ut infra ἔνθα, duplex in tribus tropariis repetitum exemplum habes rarissimi versiculi dissyllabi, quod hactenus in toto volumine nondum repperimus. — Θεοῦ monosyll.

6. σταυρόν. Quædam hic innuuntur, de quibus acta silent, nisi quod referunt cruciculam fuisse a matre datam adolescentulo e Sicilia profecturo, qua persequentes Saracenos delusit.

7. πόλιν κατέλιπας vat. 2. Haud alia urbs illa est quam Messana, a Saracenis occupata usque ad annum 1060. Ante hunc igitur annum non

ζήλῳ, * ὥσπερ τὸν Αἰγύπτιον * πάλαι ὁ μέγας Μωσῆς, * οὕτως * καὶ αὐτὸς κατασφάξας * τὸν ἐχθρὸν καὶ βάρβαρον κύνα, * ἐκ θανάτου ἥρπασας ἀθώων ψυχάς.

olim Ægyptium pessumdantis, sic tu divino zelo actus infensum barbarumque canem perfodiens, a morte eripuisti innocentium animas.

ΚΑΝΟΝΕΣ.

Κανὼν ἦχ. α', φέρων ἀκροστιχίδα· Ἰωάννου μοι τὸ κλέος δοξασθήτω Θεριστοῦ, — ποίημα Λέοντος Στύλου.

Ὠδ. α', πρὸς τό· Ὡς ἐν ἠπείρῳ.

Ἱλασμὸν τῶν ἐπταισμένων * καὶ φωτισμὸν τῷ νοῒ παράσχου μοι * προθεμένῳ ἀνυμνεῖν, * ὁ Θεὸς, θεράποντα τὸν σὸν, * χορηγὲ τῶν ἀγαθῶν, * καὶ τῆς σοφίας πηγή.

Canon 1 toni, sub acrostichide : *Joannis Messoris decus a me commendetur,* opus Leonis Styliani.

Od. 1. Juxta modulum : *Ut in firma terra.*

Veniam delictorum et lumen menti concede mihi, o Deus, ineunti consilium celebrandi famulum tuum, o bonorum largitor et fons sapientiæ.

Ἕτερος κανὼν τοῦ ὁσίου, ἦχ. πλδ', ποίημα Βαρθολομαίου Ῥώμης, φέρων ἀκροστιχίδα· Σοὶ τοῦ Προδρόμου τῷ ἐπωνύμῳ κρότος.

Alius canon toni VIII, opus Bartholomæi Romani, sub acrostichide : *Tibi Prodromi nomen habenti plausus.*

Ὠδὴ α', πρὸς τό· Ἆσμα ἀναπέμψωμεν.

Σῶτερ, τοῦ ἐλέους ἡ πηγὴ, * ἡ τῆς σοφίας ἄβυσσος, * τῶν ἀγαθῶν ὁ δοτὴρ, * τὸ φῶς τὸ πρὸ αἰώνων, * φωσφόροις με φώτισον * τοῦ ὁσίου πρεσβείαις, * ὅπως τοῦτον φαιδρῶς ἀνυμνήσω.

Od. 1, juxta modulum : *Canticum offeramus.*

Salvator, misericordiæ fons., sapientiæ abyssus, bonorum dator, lumen ante sæcula, illumina me luculentis hujus sancti suffragiis, ut eum splendido hymno canam.

ΦΩΤΑΓΩΓΙΚΟΝ.

Ἄγγελοι τὴν μεγίστην ὑπομονήν σου * καὶ ἄνθρωποι ἐξίστανται ἐννοοῦντες, * δαι-

Mirantur angeli simul et homines, dæmonum vero turba cohorruit præ summa tua

solum Johannes obierat, sed jam carmina hæc in ejus laudem condita erant. — κατασφέξας v. 1, κατασφάγξας vat. 2.

Can. I. Unicum est Leonis Stylitiani opus, quod noverimus; vix enim ejusdem esse putem quæ in prooemio memini ex p. 436. — vat. 1 l. l. legitur de officio : Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου Θεριστοῦ τοῦ Στυλιτιανοῦ, sic cod.

Can. II. Ob secundum locum priore recentior videtur alter canon Bartholomæi, quem obiisse notum est a. 1060. — πηγὴ... ἄδυσσος... δοτὴρ, ut supra juxta veteres melodos.

Φωταγωγικόν. Sic constanter vocatur apud monachos Italo-Græcos quod cæteri extra triodium dicunt ἐξαποστειλάριον. Recitari solet post canones, fere absoluto officio matutino, quando lux exoritur. Respiciuntur ea quæ in vita sancti n. 8 referuntur. — ἢ ἀνθρώπων codd.

A Joanne nostro Therista discedere nolim, quin aliud adjiciam tam nomine quam opere barbarum, μεγαλυνάριον nempe (de quo vocabulo et carmine alias fusius), tantum in libris cryptoferratensium notum, effetæ prorsus et senescentis Græciæ fetus; metrum quidem affectat, modulumque in simili tropario de SS. Nilo et Bartho-

μόνων πλῆθὺς ἔφριττεν, * ὡς ἐτέλεις ἐν τῇ κρυμώδει λίμνῃ * στάσεις παννύχους, * αὐτοπροαίρετε μάρτυς, * καὶ μοναζόντων τὸ κλέος.

patientia, quales scilicet in frigido stagno integras stans transegisti noctes, o sponte tua martyr, monachorumque gloria.

lomæo. Cum igitur haud minus quam classica, etiam rudissima σχεδιάσματα ad accuratam melodiæ nostræ meditationem conferant, en quod habet Anthologion a. 1772, t. I, p. 631 :

Οὗτος ὁ Ἰωάννης ὁ Θεριστής,
υἱὸς κυβερνήτου,
ἐκ τῆς κώμης τοῦ Κυρσιανοῦ,
ἐκ τῆς βαρβαρίας
διῆλθεν εἰς τὸν Στύλον,
καὶ ἐπίσκοπος τοῦ Στύλου
ἔδωκε τὸ βάπτισμα.

LXIII.

DE S. SIMEONE IN MONTE MIRABILI.

α'. Τὰ ἄνω ποθῶν, * τῶν κάτω μεθιστάμενος, * καὶ ἄλλον οὐρανὸν * τὸν στῦλον τεκτηνάμενος, * δι' αὐτοῦ ἀπέστραψας * τῶν θαυμάτων τὴν αἴγλην, ὅσιε· * εἰς ἀεὶ Χριστὸν τὸν Θεὸν * ἀπαύστως δυσώπει ὑπὲρ πάντων ἡμῶν.

β'. Ἡ παμφαὴς τοῦ μάκαρος μνήμη * ἄλλη ὤφθη ἡμέρα * σωτηρίας ἡμῖν, * λαμπρότητι τῆς ἀσκήσεως * νύκτα βαθεῖαν παθῶν μειοῦσα, * καὶ πανάρετον πρᾶξιν φωτοβολοῦσα, * ἐν ᾗ φαιδρῶς * ὡς ἀστέρες φανέντες, πάντες πιστοὶ, * τοὺς ὕμνους ἐν εὐφροσύνῃ * Συμεὼν τῷ φωστῆρι προσάξωμεν· * ἐξ ὕψους γὰρ φωτίζει ἡμᾶς, * καὶ δίδωσιν εἰρήνην πᾶσιν ἡμῖν, * ἀπαύστως πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

1. Superna anhelans, inferis sublimior, et in alterum cœlum tuam fabricans columnam, inde fulgura splendidorum prodigiorum vibrasti, o sancte : in æternum sine fine Christum Deum pro nobis omnibus exora.

2. Luculenta beati memoria altera salutis dies nobis orta est, quæ ascetico splendore profundam passionum noctem minuit, omniumque virtutum praxi lucem ejaculatur : in qua nitide sicut sidera coruscantes, o fideles, hilares hymnos Simeoni jubari cuncti voveamus : ab alto enim despiciens nos illustrat, et dat pacem omnibus nobis, sine fine orans...

LXIII. Nonnullos tandem ex melodis, pro eorum modestia, post cæteros ponimus, nobile tamen sumens exordium ab illo Simeone a Monte mirabili dicto, cujus plurima extant in menæis vulgata, octobr. II et XXVI, decembr. XXV, jan. VI, mart. VI, quæ alias fortasse diligentius excutere juvabit. Colitur die XXIV maii, floruit annis 569-595, uno sæculo circiter post alterum ejusdem nominis stylitam. Acta extant apud Boll. maii t. V, p. 298; opera satis conspicua, in Patrol. gr. t. LXXXVII, p. II, col. 2965. Quæ hic damus, tenuia sunt, lectorique illum revocant bœoticum melodum, qui supra p. 210 laudes alterius Simeonis rudi stramine texit. Inscripta sunt in corsin. f. 112 : Μηνὶ μαίῳ ιδ' (sic) κονδ. τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστοῦ ὄρους, ἦχ. β'.

1. Ibid. πρὸς τό· Τὰ ἄνω ζητῶν, v. p. 210. — καὶ ἄλλον læderet metrum, nisi fieret elisio vel solita synalœphe ob compendium ουνον. correxit tamen anth. rom. καὶ ὡς οὐρανόν. — τῇ αἴγλῃ C. ven. — καὶ Χριστῷ τῷ πάντων Θεῷ πρεσβεύεις ἀπαύστως ὑ. π. ἡ. rom. ven. in quibus non plura.

2. πρὸς τό· Τράνωσον. — προσάξωμεν toties jam lectum, ab aoristo byz. ἦξα pro ἤγαγον, modo notatur in ἐξῆξε. — βλέπων ante φωτίζει interpol. C. — Pro rhythmo καὶ εἰρήνην ἡμ. δίδωσι.

γ'. Ὡς φοβερὰ τὰ ἔργα σου, πάτερ! * καὶ γὰρ σαφῶς ἐκ μήτρας * ἡγιασμένος Θεῷ, * τοῖς θαύμασι κεχρημάτικας, * Μάρθας τῆς ὄντως ἐσθλῆς ὁ γόνος * ἥ σε ἔτεκεν θείᾳ ἀποκαλύψει * ἄλλον Σαμψὼν, * ἀλλοφύλων δαιμόνων ὀλοθρευτήν· * ἐκεῖνος ἐξηπατήθη * ἡδοναῖς Δαλιδάδος καμπτόμενος· * αὐτὸς δὲ ἔχων τὴν θείαν ἰσχὺν, * τὸν δόλιον Βελίαρ ἐνίκησας, * ἀπαύστως...

3. Quam formidanda opera tua, pater! aperte enim ex utero a Deo sanctitati dicatus, ex miraculis nomen habuisti. Sane nobilis illius Marthæ filius es, quæ te ex divina revelatione peperit, ut alterum Samsonem, sed allophylorum istorum dæmonum exterminatorem. Ille deceptus est, Dalilæ libidinibus prostratus : tu vero divina virtute non destitutus, versipellem Belial vicisti, sine fine exorans...

δ'. Δρᾶμα φρικτὸν θηλάζων ἐδείκνυς· * θηλὴν ὄντως τὴν λαιὰν * οὐκ ἤθελες λαβεῖν· * καὶ γὰρ ψεκτὰ τὰ εὐώνυμα. * Ἀλλὰ γάλακτι σεπτῷ ἀμέλγει, * ἐξ οὗ ἔσχες βούτυρον τῶν ἀρετῶν σου· * ὅθεν τρυφῶν, * ἀπηρεύξω παντοίαν βρῶσιν σχεδόν. * Ὢ χάρις ἁγίου βρέφους! * ἀναλάμψας φιλάρετος ὢν.... * βρώσει μικρᾷ κακίαν παθῶν, * ἀσπάζῃ δὲ ἁγνείαν, ἐγκράτειαν, * ἀπαύστως πρεσβεύων...

4. Stupendum facinus lactans ostendisti : nutricis mamillam sinistram nolebas accipere : reproba enim sunt quæ sinistra. Verum lac mulsisti eximium, butyrum habebas tuarum virtutum, quibus delectatus, omnimodas fere dapes respuisti. O innocentis pueri gratia! virtutum amans, lucem effundens, ex tenui cibo libidinum flagitia [cohibuisti], amplexus autem castitatem, temperantiam, ora semper...

ε'. Ἡ πρὸς Θεὸν τελεία σου σχέσις * ἔτι ὄντα παιδίον * τοῦ τελείου ἀνδρὸς * τὰ ἔργα ἔχειν ἐδίδαξεν· * ὅθεν ἐρήμους τόπους ἀμείβων, * ὁδηγούμενος, μάκαρ, ὑπὸ ἀγγέλου, * ἰχνηλατῶν * τοῦ Προδόμου τὸν βίον καὶ Βαπτιστοῦ· * οὗτος καὶ προμεταστάντι * ἐκ Θεοῦ σοι ἐφάνη, τρισόσιε· * σὺν τούτῳ δὲ ἔχων τὴν πίστιν θερμὴν, * ὡς πρόβατον θηρίοις συνέζησας * ἀπαύστως πρεσβεύων...

5. Perfecta erga Deum tua vivendi ratio te puerum adhuc viri perfecti opera facere docuit; unde loca deserta petens, ductus ab angelis, o beate, premis vestigia Prodromi, vitamque tenes Baptistæ. Iste quoque tibi, ex hac vita migranti, Dei jussu apparuit, ter innocens; quocum pro fervida fide tua, ut agnus inter feras vixisti, sine fine orans pro omnibus nobis.

3. Plura rhythmo adversa parce imperito melodo, qui melius scripsisset καὶ σαφῶς γὰρ — tum contraxit ἁγιᾶσμ. aut Θεῷ fecit monosyll. neglexit σε. et f. creavit genitivum Δαλιλάδος pro Δαλιλᾶς. — αὐτ' οὖν C. — ἰσχὺν auget v. una syllaba, ut sæpe.

4. Melodus dicere debuit τὴν λαιὰν (λεὰν C) θηλὴν ὄντως et infra ἀλλὰ σεπτῷ, tum βούτυρον ἔσχες. — ἢ ἔθελες C contra rhythm. — ἐξ οὗ add. — ὅθεν τρυφὴν C. inconcinne — post ὢν verbum deest, f. κρατεῖς.

5. Malim ἰχνηλατεῖς — αὐτὸς γὰρ καὶ C. — omitte δὲ aut legerit melodus δ' ἔχων contra cæterorum consuetudinem. — τρισόσιε Studitas sapit. Pro mirabilis stylitæ honore potius quam melodi gratia, moras in notulis nexuimus. — Hoc adde cæteris supra odariis, sive undecimum, vix autem absolutum. XII ad calcem habes.

LXIV.

DE S. ATHENOGENE.

α'. Ἀνελθὼν ἐν τῷ ὄρει,
ὡς φῶς προῆλθες·
κατελθὼν ἐν τῇ μάνδρᾳ,
τέκνα οὐχ εὗρες·
καὶ τῷ σταυρῷ ἀνεβόας, μακάριε·
Ποῦ μου τὰ τέκνα,
σταυρὲ πανσεβάσμιε;
Ἀθηνόγενες πολύαθλε·
διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

1. Ascendens in montem,
ut lux procedebas;
descendens in cellam,
filios non repperisti.
Tum cruci clamavisti, o beate:
« Ubi filii mei sunt,
« o crux augustissima! »
Hæc tu, fortissime Athenogenes:
ergo pro nobis exora Dominum.

β'. Ὥσπερ φοῖνιξ, τὸ πρότερον * ἐν τῇ ἀσκήσει ἀνθήσας, * ἐν τοῖς ἄθλοις πάλιν δὲ, * καθάπερ κέδρος ὑψωθεὶς, ὅμιλον * μαρτύρων Χριστῷ προσῆξας * θείαις σου, μάκαρ, διδασκαλίαις, * μεθ' ὧν πίστει σε * τιμῶμεν, ἱερομάρτυς, * Ἀθηνόγενες σοφέ.

2. Ut palma, primum ascetico flore crescens, postmodum autem in prœliis ut cedrus in sublime ascendens, turbam martyrum Christo obtulisti, per tua, o beate, hortamenta; quibus cum sociis te in fide celebramus, sacer martyr, sapiens Athenogenes.

PHOTAGOGICA.

γ'. Μὴ πτήξας ὁ δεκάριθμος
χορὸς τῶν ἀθλοφόρων σου
τὰς ἀπειλὰς τῶν τυράννων,
Χριστὸν Θεόν σε κηρύττει,
καθυπομείνας θάνατον,

3. Nihil formidans decuplex
pugilum tuorum manipulus
minas tyrannorum,
te Christum esse Deum renuntiat,
sustinens mortem,

LXIV. Sicut compertum est ex Basilio Magno *De Sp. Sancto* c. 26 BB. t. IV, p. 62, prisco melodo et martyri Athenogeni veterem hymnum qui excidit, tributum fuisse, ita vix dubium quin falso eidem ascribatur hymnus vespertinus Φῶς ἱλαρὸν, de quo nos alias. Colitur Athenogenes die Julii XVI, et infra ut melodus invocatur.

1. Priora trop. accepi ex unico et raro Horol. crypt. a. 1677. Primum est juxta modulum τῷ Θεῷ ἀπὸ μ. Respicit ea quæ Metaphrastes refert, de mœrore Athenogenis ob captos decem ejus discipulos : « Adveniens vir Dei in monasterium, « non inventis fratribus, it in oratorium : flens « autem dicebat ei quæ illic stabat cruci : « Ubi « sunt fratres quos tibi commendavi? Quis con- « suetas preces mecum emittet etc. » Quæ acta Sollerius dure exagitat, ut quæque metaphrastica Bollandistæ. Sed hæc saltem ex arbitrio non videntur excogitari, nec parum faciunt ad annosam S. crucis venerationem. Quanto magis, si, ut quidam volunt, hic martyr esset sæc. II, Clementi Alexandrino æqualis. At unum esse martyrem sub Diocletiano igne passum docte evincit Sollerius ad Jul. t. IV, p. 216. Cf. Surius, t. IV, p. 223, Colon. 1579. — Ex duobus verbis cum abl. pro accus. seriorum opus proditur.

2. Tacetur iterum hirmus, quem tamen multum accedere putem ad notum τὸν φωστῆρα, cum præcedenti connecti solitum. — ἐν τοῖς ἄλλοις Horol. male. — τρισμάκαρ id.

3. Ex vat. 1839, f. 128. πρὸς τό· Γυναῖκες ἀκουτίσθητε. Caveat lector diligens, ne rarius existimet hoc carmen novem æqualium octosyllaborum, cujus nullum hactenus exemplar aliud datum est, cum photagogica non sint nostri argumenti. Post condakia enim et canones in coronidem, ut

στρεβλώσεις, πῦρ καὶ μάστιγας,
καθηγητὴν τὸν ἔνδοξον
Ἀθηνογένην πλουτήσας,
μεθ' ὧν σὺν σοὶ βασιλεύει.
δ'. Ὑψηγορίαις, πάνσοφε,
τῶν τερπνῶν σου ᾀσμάτων
τὰ τοῦ Χριστοῦ δραστήρια
ἐκελάδησας, πάτερ·
καὶ τῶν ἁγίων ἁπάντων
ἄθλους τε καὶ τοὺς βίους
μελουργικῶς κατέστεψας.
αὖθίς τε ἡμῶν μνημόνευε,
Ἀθηνόγενες μάκαρ.

torturas, ignem et flagella,
ut qui doctore egregio
Athenogene ditatus est,
quibuscum tecum regnat.
4. Sublimiori loquela, sapientissime,
tuorum amœnorum canticorum,
quanta Christus effecerit,
cecinisti, o pater;
sanctorumque omnium
certamina et vitas
melodicis coronasti encomiis :
rursus nostri quoque recordare,
beate Athenogenes.

dixi, officii matutini incidunt. Sed sexcenta trop. ejusdem moduli sive vulgata, sive neglecta, per totum annum occurrunt, neque alia in integro codice quodam vat. leguntur.

4. Ibid. πρὸς τό· Τοῖς μαθηταῖς. Non defuit olim curiosus lector, qui deoscularetur blandam de Virgine cantilenam : Ὅλη σεμνὴ ὑπέραγνος, ὅλη ὑπεραγία, quam primam in lucem misit *Hymnographia Eccl. gr.*, p. 17. Sed hoc tr. nec minus frequens quam superius singulis fere diebus est, neque inconcinnius, quum alternis similibus versiculis haud sine venusta varietate contexatur. Hic vero demum melodi Athenogenis poemata inexpectato lumine collustrantur, cum diserte memorentur et carmina de Christi miraculis, et martyrum encomia, et sanctorum omnium biographica monumenta : quæ quidem distinctius recensentur, quam ut ludus tantum sit lascivientis melodiæ. Sed quis talia fando unquam audivit? — Ex duplici porro photagogico, cum alterum non sit de more theotokion, inferre lubet, primum, in hac coronide officii solitos esse usurpari amœnissimos modulos, deinde prolixiora fuisse olim hæc poematia, quam nunc ex perpetua lege unicum in clausula ponendi (verbo sit venia) ἐξαποστειλάριον. — Quod spectat ad veterem hymnum φῶς ἱλαρὸν, adde quod notaverunt cl. viri anglicani : « Immo quod adduxit Basilius, antequam commemoraverat Athenogenem, quem aiunt Clementi Alexandrino σύγχρονον fuisse (Smith. *Misc.* I, 151), hunc hymnum, dictæ doxologiæ testem, ob antiquitatem ejus, idcirco vel etiam Athenogene vetustius aut saltem ejusdem ætatis carmen videtur habendum esse. Cavius autem in diss. de libris et off. Græcor. *Hist. litt.*, p. 27 hæc habet : « Addam quod ante me nota« runt Usserius et Fronto Ducæus, gentiles olim « talem quamdam formulam usurpasse. Certe « teste Varrone, de ling. lat. lib. V, p. 46, Græci « cum lumen affertur, solebant dicere : Φῶς « ἀγαθόν. Quid mirum igitur si haberent Chri« stiani quod Gentilibus opponerent, suum « nempe Φῶς ἱλαρὸν, in laudem Domini nostri, « qui ἀπαύγασμα τῆς δόξης Dei Patris ab Apostolo « dicitur. » Hæc Routhius in Reliq. sacr, ed. II, t. IV, p. 519, cf. *Proleg.* nostra art. III, § 3.

LXV.

DE S. ANDREA CRETENSI.

α'. Σαλπίσας τρανῶς * τὰ θεῖα μελῳδήματα, * ἐδείχθης φωστὴρ * τῷ κόσμῳ τη-

1. In tuba clare vibrans divinas melodias, mundo apparuisti jubar longe corus-

LXV. Ἦσα, *cecini*, inquit in acrostichide melodus qui hoc monumentum exegit, parvum quidem, sed integrum, affabre expolitum, dogmaticum, at post Iconomachos, fort. in Studitarum palæstra conditum. Eidem melodo hoc et duo sequentia facile tribuam. Extat in taurin. f. 126. S. Andreas Cretensis colitur die X Julii.

1. Ibid. πρὸς τό· Τὰ ἄνω, ἦχ. β'. Procemium so-

λαυγέστατος, * τῷ φωτὶ λαμπόμενος * τῆς Τριάδος, Ἀνδρέα ὅσιε, * ὅθεν πάντες βοῶμέν σοι· * Μὴ παύσῃ πρεσβεύων * τοῦ σωθῆναι ἡμᾶς.

β'. Ἥλιος ὤφθης τῇ οἰκουμένῃ, * ἐκ παστάδος ὡς γίγας, * τῆς νηδύος τῆς σὲ * τεκούσης ἐκπορευόμενος, * καὶ ἀμαυρῶν πᾶσαν γλωτταλγίαν * τῶν Χριστοῦ ἀθετούντων εἰκόνα θείαν, * καὶ τῆς αὐτοῦ * παναγίας μητρὸς, καὶ πάντων ὁμοῦ * τῶν πίστει καὶ ἀληθείᾳ * ἀθλησάντων ἁγίων ἐνδόξων αὐτοῦ, * ὁσίων τε καὶ ἱεραρχῶν, * δι' ὧν πίστει σε μέλπων, κράζω ἀεί· * Μὴ παύσῃ...

γ'. Σοῦ τὰ διδάγματα τίς ἐξείποι, * ἱεράρχα Κυρίου, * τῶν Κρητῶν ἡ κρηπὶς, * Ἀνδρέα θεομακάριστε; * ἤχησας γὰρ καθάπερ κιννύρα, * καὶ ἐδίδαξας πάντας διπλοῦν τῇ φύσει * σέβειν Χριστὸν, * ὡς Θεόν τε καὶ ἄνθρωπον τέλειον, * παθόντα μὲν κατὰ σάρκα, * ἀπαθῆ δὲ θεότητι μείναντα· * διὸ φρονοῦντες οὕτως σαφῶς, * ἐπαξίως σε μέλποντες, κράζομεν· * Μὴ παύσῃ...

δ'. Ἅπασα γλῶττα πρὸς εὐφημίαν * νῦν ἡττᾶται, Ἀνδρέα, * ἱεράρχα Χριστοῦ, * τῶν σῶν λογίων, θεσπέσιε· * ὥσπερ γὰρ φοῖνιξ οὐρανομήκης * ἐν τῷ οἴκῳ Κυρίου σαφῶς ἐδείχθης, * καρποδοτῶν * τοῖς πεινῶσι τὰ θεῖα διδάγματα, * καὶ πάντας ἀναβιβάζων * πρὸς τὴν θείαν ἀνάβασιν, ὅσιε· * διὸ καὶ νῦν ἀγαλλόμενοι * ἐπαξίως σε μέλποντες, κράζομεν· * Μὴ παύσῃ πρεσβεύων * τοῦ σωθῆναι ἡμᾶς.

cans, luce Triadis luminosum, Andrea sacer; unde cuncti ad te clamamus : « Ne desinas suffragiis tuis nos salvos facere. »

2. Sol apparuisti orbi, ut gigas e thalamo, exiens ab utero genitricis; et obscuravisti omnem garrulitatem insultantium sacræ imagini Christi, ejusque matris sanctissimæ, et omnium simul qui fide et gloriose certarunt, sanctorum ejus et pontificum, per quos te in fide canens, exclamo semper : Ne desinas...

3. Quanta docueris, quis enarrabit, pontifex Domini, Cretensium basis, Andrea in Deo beate? Insonuisti enim perinde ac cithara, et omnes erudivisti, ut adorent Christum in duplici natura, perfectum Deum sicut et hominem, patientem in carne, pati nescium divinitate; idcirco idem nos sentientes manifeste, justis te hymnis laudantes, clamamus : Ne desinas...

4. Nulla lingua est quæ non deficiat, si tua oracula laudaverit, Andrea, Christi pontifex, a Deo afflate; sicut enim palma usque ad cœlum sublimis, in domo Domini palam extitisti, pro fructu inopibus præbens tuas divinas doctrinas, omnesque promovens ad deificam ascensionem, o sancte; ideo et nunc gaudentes, merito te canentes, pangimus : Ne desinas tuis nos suffragiis salvos facere.

lum editi habent. Ad magnum Andreæ canonem, in quadragesima celebrem, hic et infra respicitur. — σαλπίσας pro σαλπίγξας vett. ut notat Lobeck, l. l. 191.

2. πρὸς τό· Τράνωσον. Cf. Ps. XVIII, 5. — τῆς σὲ insolito acc. ob rhythm. — τὴν θ. εἰκ T. Haud exigua hic memorantur Andreæ opera de ss. imaginibus, ex quibus tamen unum quod sciam superest tenue fragmentum, sat recenter in lucem editum a cl. Boissonade in *Anecd.* t. IV, p. 471.

Diem vero expectant, merenturque multa grandium canonum poemata, quorum Andreas aut primus aut inter primos conditor fuit præstantissimus. Plura suo tempore.

3. ἀπαθῆ τε T. — κράζωμεν bis T.

4. In melodis rara, sed nova non sunt οὐρανομήκης, καρποδοτῶν, ἀναβιβάζων, etc., quæ sane magis Studitis quam cæteris frequentia sunt. — Si nihil acrosticho deest sat raro, melodus uno verbo omnia eleganter cumulavit : ᾖσα, *cecini*.

LXVI.

DE S. THEODORO STUDITA.

α'. Τὸν ἀσκητικὸν * ἰσάγγελόν τε βίον σου * τοῖς ἀθλητικοῖς * ἐφαίδρυνάς σου πάθεσι, * καὶ ἀγγέλοις σύσκηνος, * θεομάκαρ, ὤφθης, Θεόδωρε, * σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ * πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

β'. Τῶν ἀσκητῶν τὸ ἔκλαμπρον κάλλος, * τῆς Χριστοῦ ἐκκλησίας * τὸ ἑδραίωμα, νῦν * Θεόδωρον εὐφημήσωμεν· * νέος γὰρ στῦλος πυρὸς ἐφάνη, * καταφλέγων τὰς δόξας αἱρετιζόντων, * τῶν δὲ πιστῶν * δᾳδουχῶν τὰς ψυχὰς πρὸς πίστιν ὀρθὴν, * εἰς θείαν πόλιν τὴν ἄνω, * Ἰσραὴλ ὥσπερ ἄλλον εἰσήγαγεν· * αὐτῷ συμφώνως βοήσωμεν· * Παμμακάριστε πάτερ, μὴ λάθῃ Χριστῷ * πρεσβεύων ἀπαύστως...

γ'. Ὄντως Θεὸν ἐξ ὅλης καρδίας * ἀγαπήσας, παμμάκαρ, * τὸν σταυρόν σου θερμῶς * ἀράμενος ἠκολούθησας, * κόσμον μισήσας καὶ τὰ ἐν κόσμῳ, * προσπαθείας σαρκός τε τὸν νοῦν ἐκσπάσας, * θεῖον εὐθὺς * καταγώγιον, πάτερ, τοῦ Πνεύματος * ἐδείχθης, ἠγλαϊσμένον * ἀρεταῖς, ταπεινώσει δὲ μάλιστα· * ἐντεῦθεν κράτος τῶν ἀρετῶν * τῇ ἀγάπῃ πλουτήσας ἐκράτεις, Θεῷ * πρεσβεύων ἀπαύστως...

δ'. Ὕψωσας βίον τῶν μοναζόντων, * τῶν ἐν τοῖς κοινοβίοις, * ἑαυτὸν τεθεικὼς * ὑπόδειγμα ἀκραιφνέστατον· * ὑποταγεὶς ἀόκνως ποιμένι, * εὐπειθείας καρπὸν τὴν ἡγεμονίαν * ἐκ τοῦ Θεοῦ * ἐπαξίως λαμβάνεις σῶν φοιτητῶν· * φανεὶς γὰρ δεξιὸς πάνυ, * τῷ κλεινῷ

1. In ascesi vitam angelis similem nobilitasti athletarum doloribus, et cœlestium hospes, in Deo beate Theodore, visus es cum illis coram Christo Deo supplex, eum non desinens orare pro omnibus nobis.

2. Ascetarum fulgens decus, Ecclesiæ Christi firmitatem, Theodorum nunc plausu excipiamus; nova enim columna ignis apparuit, comburens sententias hæreticorum, fidelium vero mentes, prætenta face, ducens ad fidem rectam, quos ad deificam civitatem supernam, sicut alterum Israel, provexit, cui concordi voce clamemus : Beatissime Pater, ne obliviscaris Christum sine fine exorare...

3. Vere Deum toto corde amans, beatissime, tuam crucem alacriter tollens, Christum secutus es; mundum odio habens et mundana, carnisque ab infirmitate mentem expediens, divinum statim factus es Spiritus receptaculum, o pater, amœne ornatum virtutibus, maxime humilitate; unde pollebas robore virtutum, charitatis ope ditatus, Deum non desinens...

4. Altius promovisti monachorum vitam cœnobia inhabitantium, tui ipsius proponens exemplum sublimissimum; impigre enim te pastori subjiciens, obedientiæ in præmium accipis a Deo ducatum tuorum discipulorum. Fulgens enim gratissimo de-

LXVI. Sunt quidem hic et infra multa Studitarum verba, sed deferbuit æstus, ingenii impetus occidit; neque absoluta videntur, cum præter melodi nomen, expectetur in acrostichide : Τοῦ ταπεινοῦ... Extat in corsin. f. 13.

1. πρὸς τό· Τὰ ἄνω, dein τράνωσον, ut supra. Tantum procemium in edd. superest. — σου codici add. ante πάθεσι.

2. ἐκλαμπροκάλλος sic C uno verbo.

3. τὸ κράτος C. — ἐκράθης C.

4. ἑαυτῶν τεθηκὼς C. — ὑποταγεὶς γὰρ ἀόκ. τῷ σῷ ποιμ. multum abundant in C. — τῶν σῶν φ. C. — δεξιῶς C. — ὡς στήριγμα ὅρους καὶ C. — λάθῃς C.

σου πατρὶ ὑποτίθεσαι, * στήριγμα ὅρου καὶ μίμημα, * τῶν βοώντων σοι πάτερ· Μὴ λάθῃ ἀεὶ * πρεσβεύων...

ε'. Τῷ νομοθέτῃ τῷ θεσπεσίῳ * τῆς Χριστοῦ ἐκκλησίας, * Βασιλείῳ, σοφὲ, * ἀκολουθήσας πανάριστα, * πόῤῥω τὰ νόθα τῶν ἀσκουμένων, * οἷον δοῦλον καὶ θῆλυ μὴ ἔχειν κτῆνος, * βίῳ τῷ σῷ * τὰς αὐτοῦ ὑποθήκας δεικνύων σαφῶς· * διόπερ δεύτερον πάντες * καὶ τῷ λόγῳ καὶ τρόπῳ Βασίλειον * κατέχομεν, οἱ μονάζοντες, καὶ βοῶμεν· * Μὴ λάθῃ...

ϛ'. Ἆθλον ἐν πρώτοις φιλοσοφίας * ἤνεγκας, ἐκμοχλεύων * ἐκ τῆς μοναδικῆς * τριάδος ἤθη κοσμότροπα· * ὃν ἂν ἐντεῦθεν εὕρηκας, πάτερ, * ἀντιπίπτοντά σοι καὶ ἀντιμαχοῦντα, * τὸν σὺν Θεῷ * ἐκνικήσας σὺν πόνοις καὶ θλίψεσι· * πατέρων θεῖαν, παμμάκαρ, * κατορθοῖς πολιτείαν πανάριστον, * τὰ πάλαι νέα ἀποδεικνὺς, * ἐκμαγεῖον σαυτὸν θεοείκελον· * πρεσβεύων μὴ λάθῃ ὑπὲρ πάντων ἡμῶν.

core, ab insigni patre præpositus es, ut regulæ fulcrum et exemplar, clamantium ad te pater : Ne desinas...

5. Legislatorem Ecclesiæque Christi doctorem divinum Basilium optime æmulatus, o sapiens, longe misisti quæ aliena monachis sunt, ut servum qualemcumque habere aut jumentum femineum, vita tua illius declarans regulas; alterum Basilium et sermone et opere nos idcirco te omnes monachi æstimamus, et clamamus : Ne cessa...

6. Ante omnia obivisti philosophiæ palæstram, ex triplici vita monastica expellens mundanas consuetudines; unde si quem invenisti obsistentem tibi, pater, et te oppugnantem, vicisti eum, Deo favente, per labores et ærumnas; patrum divina instituta ad pristinam, o beatissime, normam revocasti, antiqua in nova convertens, teque verum exhibens exemplar Deo simillimum: ne desinas orare pro omnibus nobis.

5. ὑποθῆκαι, vel ὑποτυπώσεις dicuntur quoque regulæ Theodori quas primus edidit Maius in Bibl. nov. PP. t. IV, p. 91 sqq.

6. τοῦ μοναδικοῦ C. — τριὰς dicitur monastica vita, sive ob triplex genus anachoretarum, cœnobitarum et mixtorum seu μιγάδων, de quibus pluries; sive ob triplex votum, cujus tamen formula ἀποδεικτικὴ recentior est. — ὃν σὺν Θεῷ C.

LXVII.

DE S. METHODIO PATRIARCHA CP.

α'. Ἐπὶ τῆς γῆς * ἠγώνισαι, μακάριε, * καὶ οὐρανοὺς * ἐκληρώσω, Μεθόδιε, * ὡς τρανώσας ἐν τοῖς πέρασι * τὴν τῶν εἰκόνων προσκύνησιν· * ἐν πόνοις γὰρ καὶ μόχθοις

1. In terra luctatus es, beate, et cœlos sortitus es, o Methodi, dum asseruisti in fines usque imaginum venerationem; in laboribus enim et ærumnis supra modum

LXVII. Ut liquet ab elencho operum S. Methodii, quæ fuse descripsimus inter *Jur. eccl. Græc. hist. et monum.*, t. II, p. 353, 354, multo nomine Methodius pertinet ad melodos, quorum inter veteres ultimus est qui canones iambicos sculpserit. Cave ne quadam sermonis similitudine hic Theodorum Studitam agnoscas, cum XX circiter annis ante S. Methodium obierit. — Cæterum potius Josephi quam cujusdam Studitæ, magistrum referentis, opus habemus, ex taurin. f. 116, ad diem XIV Junii, in quo menæa nudam memoriam S. patriarchæ referunt.

1. πρὸς τό· Τοὺς ἀσφαλεῖς, unde sequitur solitus hirmus τράνωσον. — διάγειν T. Nonnulla minus cohærent cum hirmo Romani. De S. Methodii agonibus cf. *Jur. eccl.* l. l.

περισσοτέρως * διάγων, οὐκ ἐπαύσω ἐν παῤῥησίᾳ * ἐλέγχων ἀθετοῦντας τὴν εἰκόνα Χριστοῦ.

versatus, non cessasti fortiter redarguere imaginis Christi contemptores.

β'. Ἁμαρτιῶν μοι λύσιν παράσχου, * τοῦ ὑμνῆσαι ἀξίως * τοὺς ἀγῶνας τοὺς 'σοὺς, * Μεθόδιε ὦ πανόλβιε· * λάκκῳ βαθεῖ γὰρ σὺ ἐνεβλήθης, * ἵνα πρώην ψυχάς, τὰς κατεχωσμένας * ἐν τῷ βυθῷ * τῆς ἀγνοίας, ἑλκύσας πρὸς ἔλλαμψιν * τῆς θείας φωτοχυσίας, * ἐκδιδάξῃς σαφῶς τὴν ὑφήλιον, * τὴν θείαν ὄντως καὶ ἄῤῥητον * τοῦ Χριστοῦ προσκυνεῖν ἀνατύπωσιν, * ἐλέγχων...

2. Peccatorum veniam concede mihi, ut digne tua canam certamina, longe fortunate Methodi. In foveam enim altam ejectus fuisti, ut animas in profundo ignorantiæ sepultas educens ad claritatem divinæ illustrationis, doceres splendide, ubique sub sole colendum esse divinum et ineffabile Christi ectypum, redarguens...

γ'. Νῦν καταυγάζει τοὺς ἐν τῷ σκότει * ἡ φωσφόρος σου μνήμη, * ὡς ἡμέρα φαιδρά, * ἀχλὺν τοῦ σκότους διώκουσα· * φῶς γὰρ δογμάτων σου ἀπαστράψας, * ἀπενέκρωσας πάντας τοὺς ἀθετοῦντας * τὴν εὐπρεπῆ * τῶν εἰκόνων καὶ θείαν προσκύνησιν, * ἣν βλέπων κρατυνομένην * Ἰαννῆς τὸ καθόλου ᾐσχύνετο, * Ἰούδας ἄλλος γενόμενος, * τὴν μορφὴν τοῦ Χριστοῦ ἀπωθούμενος· * ἐλέγχων...

3. Nunc jacentibus in umbra emicat lucifera tua memoria, ut clara dies, dissipans mortis caliginem. Lumen enim tuorum dogmatum vibrans ut fulgur, interemisti omnes contemptores sacræ ac venerandæ religionis erga icones; quam videns confirmatam, totus erubuit Jannes iste, alter Judas, Christi formam despectui habens: quem tu fortiter redarguis, imaginis Christi contemptorem.

2. ὦ add. — ἵνα τὰς πρ. T.
3. Ἰαννῆς. Alludit melodus ad Joannem, Iconomachorum antesignanum, de quo acerbe et contemptim multa scribit Methodius in litteris quas primus integras dedi l. l. p. 356. — Parenthesi possis includere ἣν βλέπων usque ad ἀπωθούμενος. — Tum sæpe ephymnia manent sine verbo finito suspensa.

Monitum de S. Leonida et VII virginibus.

LXVIII. Laudandus in primis melodus, qualiscumque sit, qui tam sobrie poetico genio indulsit, ut pedestri fere sermone historicum ageret. Inexpectatam enim et copiosam lucem affert in illud agmen martyrum et virginum, densis tenebris obsitum, quorum acta, immo nomina, vix ad nos pervenerunt. Nullibi, quod sciam, nisi in corsinio VII virginum memoria ad diem XI Decembr. recolitur. Sed diebus Januarii XXV, Aprilis X et XVI in fastis græcis et slavicis tumultuario nominantur; turbo mirum in modum crescit eundo per latina martyrologia, conflatus, ut opinor, ex Hieronymiano, cujus sibyllina folia dixeris, ad crucem interpretum, ludibrio ventorum exagitata. Dare satis erit solemnem epigraphen, quam Bollandiani ad diem XVI Aprilis suo commentario majusculis litteris præfixerunt : « De SS. *Callisto*, *Charisio*, Leonide, Christiana, Galla, Theodora, Lota, Tertia, *Caristo*, item *Chariessa*, Nice, Gallena, Nunechia, Basilissa, *Cali* mm. Corinthi in Achaia. » Nostrum non est tantas componere lites. Acta vetera præ oculis habuit melodus, qui vetustus satis, haud multum a Romano recedit. Extat in corsin. f. 24, sub hoc indiculo : Μηνὶ δεκεμβρ. ιά, κονδάκιον τοῦ ἁγίου μάρτυρος Λεωνίδη καὶ τῶν ζ' παρθένων, ἦχ. γ'. — Ex his vero gratum fiat exordium ad multa sanctarum virginum encomia, inde in sequentibus producenda; dolendum tamen librarii vitio, ut opinor, hic multa videri perturbate et incondite dicta.

LXVIII.

DE S. LEONIDA ET VII VIRGINIBUS.

α'. Ἡ φαιδρὰ πανήγυρις * τῶν θεοφόρων παρθένων * τοῦ Χριστοῦ τὴν γέννησιν * προδιαγράφει δηλοῦσα · * ἄγγελοι * μετ' εὐφροσύνης * πλέκουσι στέφη · * μάρτυρες * χοροστατοῦντες * ὑμνολογοῦσιν · * δι' αὐτῶν γὰρ τελειοῦνται * ἑπτὰ παρθένοι * σὺν Λεωνίδῃ ὁμοῦ.

β'. Τῆς σοφίας δοτὴρ, * καὶ χορηγὸς τῆς γνώσεως, * ἀκατάληπτος νοῦς, * ἄβυσσος θείων λέξεων, * βρυτὴρ νοημάτων, * λαμπτὴρ τῶν ἐν σκότει, * αὐτὸς παράσχου * λόγον καὶ ἔννοιαν, * ὑμνῆσαι τὸ κράτος σου, * καὶ εὐφημῆσαι * τοὺς ἀθλοφόρους σου · * δι' οὓς καὶ αὐτὸς * σάρκα ἐφόρεσας, * καὶ ἐκ Παρθένου * σαρκὶ ἐτέχθης, * σταυρὸν καὶ θάνατον σαρκὶ * θέλων ὑπέμεινας, σωτήρ · * διὰ σὲ οὖν καὶ οὗτοι * τὸν ἀγῶνα ἐκπληροῦσιν, * ἑπτὰ παρθένοι * σὺν Λεωνίδῃ ὁμοῦ.

γ'. Ὅτε πᾶσαν τὴν γῆν * ἔπλησεν ἡ δυσσέβεια, * κνίσσαι τε καὶ βωμοὶ * ἔχραινον κόσμον ἅπαντα, * ἀὴρ ἐμολύνθη, * τὸ φῶς ἐσκοτίσθη · * πολὺς ὁ φόβος, * μέγας ὁ κίνδυνος · * πιστοὶ ἐδιώκοντο, * καὶ ἠρευνῶντο * πόλεις καὶ ἔρημος, * σπήλαια πιστῶν * ἀνεσκαλεύοντο · * ἐν οἷς εὑρέθη * καὶ συνελήφθη * ὁ Λεωνίδης, καρτερῶν * σὺν πέντε ἄλλαις γυναιξίν · * αἷς κοινῇ συνεισῆλθεν * ἐν Κορίνθῳ, τοῦ ἀθλῆσαι * ἑπτὰ παρθένοι * σὺν Λεωνίδῃ ὁμοῦ.

δ'. Ὑπαχθεὶς ὁ στεῤῥὸς * ἤχθη, φησὶν, εἰς Κόρινθον, * καὶ ἐδέσμουν αὐτὸν * τρέ-

1. Hilaris panegyris virginum deiferarum Christi nativitatem prævio spectaculo renuntiat : angeli cum lætitia coronas plectunt ; martyres in ambitu chorum agentes hymnos cient, quibus suffragantibus consummantur septem virgines una cum Leonida.

2. Tu sapientiæ et scientiæ largitor magnificus, tu mens conceptu major, abyssus sacrarum dictionum, fons uberrime saliens cogitatuum, tu jubar caligantium, ipse præsta sermonem et intellectum, ad canendum robur tuum, faustisque vocibus victores tuos pugiles salutandum ; pro quibus tu quoque carnem suscepisti, et ex Virgine in carne natus es, carneque crucem et mortem sponte obivisti, o salvator : tui ergo etiam isti certamen consummarunt, septem virgines ac simul Leonidas.

3. Quando omnem tellurem implevit impietas, tunc mundum universum et nidores et aræ fumigantes infecerunt; aer pollui, lux obscurari ; multus pavor, periculum ingens; fideles exagitari, inquiri et urbes et deserta, effodique antra, credentium latibula; inter quæ inventus et deprehensus est Leonidas, fortem se gerens cum quinque aliis feminis, quarum socius una introivit Corinthum, ut pugnarent septem virgines cum Leonida.

4. Constrictus vir fortis agebatur, ut ferunt, Corinthum, et vinculis tenebant eum

1. Πρὸς τό · Ἡ παρθένος. — Προδιαγρ. ad vicina Christi natalia singulari respectu. — χοροστατοῦντες, p. 637 cf. similia. — Λεονίδης C constanter. — τελειοῦνται de martyribus *consummatis* notandum.

2. πρὸς τό · Τὴν Ἐδέμ. — βρυτὴρ a βρύω, facili t venusta, sed nova prorsus fabrica, digna Romano. — σαρκὶ ter, adversus priscas hæreses a vetere melodo, ut a Romano θέλων, proficiscitur.

3. Post tot alios de eodem argumento, nec vulgaris neque injucundus Noster est.

4. ὡς στεῤῥῶς C. — Τραγεΐανοπ. C. — De Trajanopoli ac fere de sequentibus silent pauca quæ ex actis supersunt. — εἰς πόαν τῆς χλόης, ibi clas-

χοντα καὶ προβαίνοντα * Τραϊανοπόλει, * εἰς πόαν τῆς χλόης, * πρὸς τὸ βραβεῖον * τῆς ἄνω κλήσεως * προθύμως ἐρχόμενον, * ὥστε θαυμάζειν * καὶ καταπλήττεσθαι * πάντας τοὺς λαούς, * καὶ τοὺς φρουροὺς αὐτοῦ, * καὶ δοῦναι χώραν * τοῦ διαδρᾶσαι * καὶ ἀνελθεῖν καὶ ἐκφυγεῖν, * ὅποι δ' ἂν βούληται αὐτός· * βουληθέντες καὶ..... * τοῦ σταδίου, ἔνθα ἤθλουν * ἑπτὰ παρθένοι...

ε'. Τὴν τοιαύτην βουλὴν * ὁ Λεωνίδης πέφευγεν, * στηριχθεὶς δὲ τὸν νοῦν, * ῥήμασι παρεσκεύασεν, * ἀλείφων τοῖς λόγοις * τοῦ Εὐαγγελίου * τὰ τῶν συνάθλων * θεῖα φρονήματα, * ἀντιπαρατάξασθαι * τῷ διαβόλῳ * καὶ τῇ βουλῇ αὐτοῦ· * ὑπῆρχον λοιπῶν * ἐν τούτων ἀριθμῷ * κόραι μὲν δύο * καθ' ἡλικίαν, * τὴν δύναμιν αὐτοῦ Χριστοῦ * Χάρισσα καὶ Νουνέχεια * κατὰ νοῦν δεδεγμέναι, * προθυμίᾳ συναθλοῦσιν * ἑπτὰ παρθένοι...

ς'. Ἅμα μὲν τοῖς τρισὶν * ἑτέραι δύο πάρεισιν * συναθλοῦσαι στεῤῥῶς, * ἄτρεπτον τὴν διάνοιαν * ἀεὶ κεκτημέναι, * ἡ Νίκη, Γαλήνη· * αἱ ἀνενδότως * ὕμνους καὶ δάκρυα, * ἀφ' οὗ συνελήφθησαν, * ἀπαύστῳ γλώττῃ * οὐ κατεσίγησαν, * ἕως τοῦ παθεῖν, * Θεὸν δοξάζουσαι· * ἦγε μὲν ταύτας * ὁ Λεωνίδης, * ὁ συνετὸς ὄντως ἀνήρ, * καὶ πρὸς τὴν τέχνην εὐφυής * ἐκ τοῦ οἴκου· αὐτὸς δὲ * παρθενεύει τὰς ὁσίας * ἑπτὰ παρθένους...

ζ'. Παρελάμβανεν οὖν * ὁ Λεωνίδης ἕωθεν * τὰς παρθένους Χριστοῦ, * ἐπὶ τὸ κοιμητήριον * τῶν πρώτων μαρτύρων, * ἀλείφων ἐκεῖσε * γραφαῖς ταῖς θείαις * καὶ

currentem et properantem usque Trajanopolim, per summa herbæ gramina, ut alacriter supernæ attingeret vocationis coronam : unde mirari omnes populi stupereque ejus custodes, ut locum ei darent abeundi et fugiendi, quo ipsi luberet, ut qui vellent eum quoque [amovere] a stadio, ubi certarunt septem virgines una cum Leonida.

5. Refugit hujusmodi consilium Leonidas, firmatoque animo, verbis sacris instruxit, et exacuit Evangelii sermonibus sacra commilitonum pectora, ut conserta acie diabolo ejusque consilio obsisterent. Quarum in numero fuerunt duæ, ætate quidem puellæ, mente vero ipsius Christi potestatem adeptæ, Charissa et Nunechia, quæ alacriter colluctantur, simul septem virgines cum Leonida.

6. Una cum his tribus, duæ adsunt aliæ egregie colluctantes, immota mente semper constantes, Nice, Galena; quæ ubi comprehensæ fuerunt, non cessarunt ab hymnis et lacrymis, lingua in Deo glorificando non silentes, usque dum ultima paterentur. Eas instituit Leonidas, vir vere providus et in ea arte sponte per se insignis, ut virginea integritate florerent septem virgines una cum Leonida.

7. Juxta se ergo Leonidas assumebat ab aurora virgines Christi, intra cœmeterium priorum martyrum, ac velut in palæstra, accingebat eas sacris scripturis et hortamen-

sica quædam memoria videtur. — ὅπου C. — Pendet intercisus v. βουληθέντες καὶ..., loco in cod. vacuo, nec liquet unde κλάσμα suppleatur.

5. ἀντιπαρατάξασθαι amplissime, ut in proximo melodo p. 640. — ὑπήρχων δὲ λοιπῶν ἐν ἀριθμῷ τούτῳ sic C, paulo obscurius. — δύναμιν αὐτοῦ χριτοῦ sic C. ineptissime, ad torquendum interpretem. — Χάρι καὶ Νουνεχία sic C. Χάρισσα ex trop. 8 emendatur, quod nomen alicubi usurpat Theodorus Prodromus.

6. Γαλίνη C. — f. κατεσίγασαν, nisi κατασιγᾶν active sumatur. Sed cum tersus melodus ab illa ταυτοεπείᾳ refugerit αἱ ἀνενδότως ἀπαύστῳ γλώσσῃ οὐ κατεσίγησαν, nec placeat ὕμνους καὶ δάκρυα κατεσιγ. legere præstaret ἀνενδότως ὕμνους ἐπᾴδουσαι. — ἐκ τοῦ οἴκου audio ut οἰκόθεν *sua sponte, suopte ingenio*. — αὐτῶν δὲ C. — παρθενεύειν C, gravi vulnere in isto ν pessime addititio; active autem sumitur, ut raro accidit, παρθενεύει.

7. κοιμητήριον, auro carior brevis versiculus,

παραινέσεσιν, * διδάσκων τὰ δέοντα * ἕως ἂν εἶδεν * ὅπερ ἐδέετο· * αἱ δὲ καρτερῶς * θάρσος ἐλάμβανον, * ἀποσκοποῦσαι * εἰς τοὺς προάθλους, * ὧν ταῖς βασάνοις καὶ πληγαῖς, * ὡς παραδείγμασιν, αὐταῖς * Λεωνίδης ἐχρῆτο, * καὶ προτρέπων μὴ ἐκκλίνειν * ἑπτὰ παρθένους...

η'. Ἐμμενόντων αὐτῶν * ταῖς προσευχαῖς πρὸς τὸν Χριστὸν, * τὸ παιδίον εὐθὺς * Χάρισσα κατενήνεκται * εἰς ὕπνον, καὶ εἶδεν * τὸ ἅγιον Πνεῦμα, * ἐξ οὐρανόθεν * νικηφοροῦν, αὐτὴν * στηρίζον πρὸς ἄθλησιν. * Καὶ στρατιῶται * ἀπὸ τοῦ ἄρχοντος, * καὶ ἔτι αὐτῆς * ἀπὸ τοῦ στόματος * τὸν λόγον οὕτως * ἐξηγουμένης, * σὺν Λεωνίδῃ, παρευθὺς * οἱ στρατιῶται φθάσαντες, * πρὸς τὸ βῆμα καθεῖλκον * ἡγεμόνι παραδοῦναι * ἑπτὰ παρθένους...

θ'. Ἰδοὺ δὴ ἅπαντας * συγκατασχόντες, ἤγαγον * ἄλλας δύο, φησὶν, * μίαν μὲν χήραν ἔντιμον, * τῇ κλήσει Καλλίδα, * τὴν δὲ Θεοδώραν, * ἀκμῇ ἀνθοῦσαν, * καὶ τῇ νεότητι αὐτῆς * τὸ κάλλος αὐξάνουσαν· * ἡ δὲ ὑπῆρχεν * παρθένος ἄφθορος· * καλὸν γὰρ εἰπεῖν * ταύτης διήγημα· * πρὶν ἐφειμένη * τῇ παρθενείᾳ, * τότ' ἐξεπλήρωσεν αὐτὴν * διὰ βασάνου ἀνοχῆς· * ὅθεν ταύτῃ συνέβη * ταῖς παρθένοις συναθλῆσαι, * ἑπτὰ παρθένοις * σὺν Λεωνίδῃ ὁμοῦ.

tis, docens quæ oportuit, donec actum videret quod deprecabatur. Illæ vero fortes animos sumebant, aspicientes in anteriores pugiles, quorum suppliciis et plagis Leonidas, tamquam exemplis, utebatur, excitans eas, ne declinarent septem virgines magis quam Leonidas.

8. Dum perseverant in orationibus ad Christum, ecce puellula Charissa subito corripitur somno, videtque sanctum Spiritum de cœlo delapsum, coronam victoriæ ferentem, ipsique robur addentem ad certandum. Et milites, dum adhuc puella ab ore suo somnium interpretaretur, jubente magistratu, militari impetu properantes, eas una cum Leonida traxerunt ad præsidis tribunal, ut traderentur septem virgines simul cum Leonida.

9. En vero dum omnes cogerent, alias exagebant duas, ut fertur, unam venerabilem viduam, nomine Callida, alteram Theodoram, venustate florentem et tenera ætate formosiorem : hæc vero virgo candida (pulchrum est ejus enarrare exitum) jam ornari se virginitate non satis habuit, quin per cruciatus palam eam explicaret; illi ergo contigit una cum virginibus colluctari, septem scilicet virginibus cum Leonida.

in quo parthenopæon juxta martyrum sepulchreta inter hymnos et paræneses instruitur, ut quondam et eodem fere tempore, in agro Verano juxta Urbem florebant Romanæ virgines. — προάθλους C, nec displicet, cum προαθλεῖν eleganter Asterius habeat, ac recipiatur σύναθλος a συναθλεῖν. — τὰς βασάνους καὶ πληγὰς τοῖς παραδ. αὐτοῦ C.

8. πρ. Χριστὸν C. — Χάρησα C. — νικηφοροῦν. Quid si puellæ dormitanti faverit pictura columbæ νικηφορούσης, hypogeo allita trajanopolitano, quæ toties in romanis martyriis usquedum affulget? — τοῦ λόγου C. — οἱ στρατιῶται bis positum, voxque adeo pedestris repetita inter sermonis flosculos, corruptelam in C male dissimulat.

9. Ἴδου δὴ τοὺς πάντας C, contra melodiam. — Καλλίδα, quæ in bollandiano lemmate, mutato sexu, fit *Callisto* f. et *Caristo*. — τῷ κάλλ. αὔξάν. C. — διηγ. ἐφιεμένην τῇ π. οὐκ ἐξεπλ. C. — ὅθεν ταύτας C. — Vix non erit classica quædam affectatio in nomine heroico *Leonida*, toties inter ultimos plausus resonante. Tum ut alia omittam, duplex elegantia attica est, e palæstra sumpta, in dictione ἀλείφειν, bis in trop. 5 et 7 inserta. Ut enim athletæ luctaturi ἀλείφονται πρὸς τοὺς ἀγῶνας, sic VII virginum pectora verbis sacris *incitantur* et unguntur.

LXIX.

DE SS. TIMOTHEO ET MAURA MM.

α'. Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες, * καὶ τοὺς στεφάνους ἐκ Θεοῦ εἰληφότες, * ὑπὲρ ἡμῶν πρεσβεύσατε, μακάριοι, * μνήμην τὴν πανέορτον * τὴν ὑμῶν ἐκτελούντων, * μέγιστε Τιμόθεε, * τῷ Χριστῷ, σὺν τῇ Μαύρᾳ, * τοῦ εἰρηνεῦσαι πόλιν καὶ λαόν· * αὐτός ἐστι γὰρ * πιστῶν τὸ κραταίωμα.

β'. Τὴν τῶν λειψάνων σου σορὸν * καὶ θήκην τὴν ἁγίαν * ὑμνῶ, καὶ μεγαλύνω * τοὺς πόνους καὶ τοὺς ἄθλους, * οὕσπερ ὑπέστης καρτερῶς· * ὅθεν δυσωπῶ σε, * ἐξιλέωσαι κἀμοὶ * Χριστὸν τὸν ἀθλοθέτην σου, * τοῦ παρασχεῖν μοι λόγον ἐν χάριτι, * ἵνα ἐξισχύσω * σοὺς ἀγῶνας εὐφημῆσαι· * εὐλόγως γὰρ * οὐδεὶς ἐν ἀνθρώποις * δυνήσεται ὑμνεῖν * τὰς σὰς ἀριστείας, * πῶς εἰσῆλθες ἀνδρικῶς * ἐν τῷ σταδίῳ, * φρένας χαμερπεῖς * ἐλέγξας τὰς τοῦ τυράννου· * ἔστι Θεὸς γὰρ * πιστῶν τὸ κραταίωμα.

γ'. Οὐκ ἔστιν ὅλως ἐξειπεῖν * τὰ τέρα σου, παμμάκαρ, * πῶς ἔστης ἐν σταδίῳ * ἐν νέᾳ ἡλικίᾳ, * ἐλέγχων τούς σου δυσμενεῖς· * ὅθεν σου τὸ θράσος * ἐκθαμβούμενοι, δεινῶς * πρὸς θυμὸν ἐξεμάνησαν, * καὶ τύπτοντες ἠρώτουν τοῦ θύειν σε * λίθοις ἀναισθήτοις, * τεχνουργήμασι δαιμόνων· * αὐτὸς δὲ οὖν * ἵστασο ἀτρέμας, * βοῶν· Ἐν οὐρανοῖς * ἐστὶν ὁ Θεός μου, * τούτῳ θύω, καὶ εὐχὰς *

1. Sexcentos cruciatus sustinentes, coronasque a Deo adepti, pro nobis solemnissimam agentibus memoriam vestram, o beati, maxime Timothee una cum Maura, deprecamini Christum, ut in pace statuat urbem et populum : ipse enim est fidelium potens auxilium.

2. Feretrum tuarum exuviarum et arcam sacratam cano, et simul magnifico labores et certamina quæ fortiter sustinuisti ; unde, precor te, propitium mihi redde Christum, tui prælii arbitrum, ut det mihi gratiæ sermonem, unde valeam tuos agones referre ; decenter enim nemo hominum valebit hymnis æquare tua facinora, quo nempe vigore stadium ingrediaris, redarguens tyranni sensus humi repentes : Deus enim est credentium robur.

3. Nullo prorsus modo dicere fas est, beatissime, tua mire gesta, quomodo steteris in stadio, adhuc juventute recens, confutans perversos ; unde tuam constantiam demirati, valde exarsere, et verberando urgebant te ad immolandum saxis inanimis, dæmonum opificiis. Tu vero stetisti intrepidus, clamans : « In cœlis est Deus meus, ipsi sacri« fico et voveo, ipsi promptus offero cor-

LXIX. Sensim delabimur ad seriora, et venimus, opinor, ad Josephum, placido puroque adhuc amne fluentem, sed inter humiles valles, non sensu, sed æstu χαμερπῆ. Piget vero mancam esse poematis partem S. Mauræ reservatam, quæ post XX dies nuptiarum, cum sponso ad certamina cucurrit, atque atrocem necem una cum cœlesti thalamo commutavit.

1. In taurin. f. 107, ἦχ. δ', πρὸς τό· Ὁ ὑψωθεὶς. vid. supra p. 77. Omisere omnes edd. ven. hoc procemium, quod tamen insertum est in veneti Horologii menologion, ad diem III maii. — πρεσβ. πρὸς Κύριον μ. τ. πανίερον edd. — Τιμ. καὶ ἀοίδιμε Μαῦρα. ib. — αὐτὸς γάρ ἐστι ib. I.

2. πρὸς τό· Τῇ γαλιλαίᾳ, p. 16. — Χριστῷ τῷ ἀθλοθέτῃ T. — τοὺς ἀγ. T. — τὰ τοῦ τυρ. Θεὸς γὰρ T.

3. τὰ γέρα sic T, sed vix non pro attico τέρα, nisi mavis γέρα, *præmia*. — καὶ om. T. f. τύπτ. ἐκρότουν? — πρὸς χόλον acc. requirit. — τεχνουργήματα T.

τούτῳ προσφέρω, * σῶμα καὶ ψυχὴν * προθύμως, ἀεὶ καὶ ψάλλω· * Ἔστι Χριστὸς γάρ...

δ'. Νυμφῶνα τὸν ἐν οὐρανοῖς * ποθήσας, ἀθλοφόρε, * οὐχ ἔθελξέ σε πόθος * γονέων καὶ συζύγου, * οὐ φίλων, οὔτε συγγενῶν· * ὅλον γὰρ τὸ ὄμμα * ἀτενίζων ἐν Χριστῷ, * αὐτῷ καὶ ἠκολούθησας· * δι' οὗ καὶ τὰς βασάνους ὑπέμεινας, * στέρησιν ὀμμάτων, * τοῦ πυρός τε καταφλέξεις, * βουνεύρων τε * σφοδρῶν τὰς ἐπάρσεις, * αἱμάτων ὀχετοῖς * σοῦ τῶν μακαρίων * κατακλύζων τοὺς ναοὺς * τοὺς τῶν εἰδώλων, * φρένας χαμερπεῖς * ἐκπλήττων τὰς τῶν τυράννων· * ἔστι γὰρ Χριστὸς * πιστῶν τὸ κραταίωμα.

« pus et animam, semperque psallo : Chris« tus est... »

4. Ad thalamum cœlestem anhelans, victoriose vir, te non illexit amor parentum et uxoris, neque amicorum aut propinquorum; totum enim oculum figens in Christo, ipsum porro secutus es. Ideo cruciatus tulisti, oculorum amissionem, ignis incendia, nervorum vehementium lanienas, beati tui sanguinis rivis submergens templa idolorum, stupidos effecisti sensus tyranni humi repentes : Christus enim est potens credentium robur.

4. ποθήσας nom. absol. — ἐπάλξεις αἱμ. οἰκέτους T, solita incuria ac sensu perverso.

LXX.

DE S. MARINA.

α'. Στεῤῥῶς τὴν ψυχὴν, * Μαρίνα, καθοπλισθεῖσα, * αὐτὴ δὲ σαφῶς * τὸν δόλιον κατέτρωσας, * καὶ Χριστῷ προσέφερες, * πανόλβιε, πλοῦτον ἀσύλητον * σεαυτὴν, βοῶσα αὐτῷ· * Σὲ μόνον, σωτήρ μου, ἐπεπόθησα.

β'. Μύρον εὐῶδες ὑπάρχων, Λόγε, * μύρισόν μου τὰς φρένας * (μύρον γὰρ ἡ Γραφὴ * σαφῶς σε ὑπεξεφήνατο), * ἵνα εὐφήμως ἐγκωμιάσαι * ἐξισχύσω Μαρίναν τὴν ἀθλοφόρον, * ἵνα αὐτὴν, * ὡς θυσίαν δεκτὴν, προσκομίσω ἀεὶ, * συννόμῳ τῷ μαρτυρίῳ * ὡς καλῶς τὸν ἀγῶνα τελέσασαν· * αὐτῆς γὰρ ὄντως ἡ δύναμις * σὺ ὑπάρχεις, πρὸς ὃν καὶ ἀνέκραγε· * Σὲ μόνον...

γ'. Ἅπασα γῆ φαιδρύνεται ὄντως * σήμερον, ὑμνῳδίαις, * ὦ Μαρίνα σεπτὴ, * τὴν

1. Forti armatura, o Marina, animam corroborans, per te palam perfidum hostem confodisti, et te ipsam Christo obtulisti, o fortunata multum, opes a nemine violatas, illi clamans : « Te unum, salvator, adamavi. »

2. Tu unguentum suave, o Verbum, unge sensus meos (odor fragrans enim tu manifeste in scriptura ostenderis), ut fausto plausu laudare valeam Marinam ovantem athletam, unde illam ut hostiam acceptam semper habeas, ut quæ rite peracto martyrio, bonum prælium exsecuta est; ipsius enim tu vere virtus es, cui clamavit : Te solum, salvator, in deliciis habui.

3. Omnis terra exultat hodie, dum hymnis, veneranda Marina, festivam tuam reco-

LXX. Ad hoc epithalamium reducem habere videmur Theodorum, quem plura, si quis altera ejus poemata evolverit, sat aperte produnt. Extant in corsin. f. 134 : μηνὶ Ἰουλίῳ ιζ', κονδ. τῆς ἁγίας Μαρίνας. Quæ colitur die XVII Jul.

1. πρὸς τό · Τὰ ἄνω, ἦχ. β'. — Μαρίνα, sic cod. constanter; apud Suidam f. alibi Μαρῖνα, quod nomen in acrostichide aperte includebatur. — Series exposcit καθωπλίσθης σου, vel αὐτή τε, dein rhythmus, invitis grammaticis, suaderet πανολβία.

2. πρὸς τό · Τράνωσον. — ὑπεφήνατο C. Theodoro non est insueta emendatio nostra. — post αὐτῆς add. γάρ.

3. σὲ ante ἐπόθησα add. — τῷ om. χρ. ἀνεκραύγαζες καὶ ὀξείᾳ σπουδῇ κατοπίσω C, pergit idem tumultus τοῦ θανεῖν ἢ γὰρ ζῆσαι.

μνήμην σου ἑορτάζουσα· * σὲ γὰρ ἐλάμπρυνε παραδόξως.* ὁ ὡραῖος νυμφίος σου, ὃν ποθοῦσα· * Πίστει θερμῇ * καὶ προθύμῳ ψυχῇ μου σὲ ἐπόθησα, * τῷ Χριστῷ ἀνακραυγάζεις, * καὶ ὀξὺ σπεύδομαι κατοπίσω σου, * τῷ σῷ φλεχθεῖσα νῦν ἔρωτι· * τὸ θανεῖν γὰρ ἢ ζῆσαι προέκρινα· * σὲ μόνον...

δ'. Ῥήματα ἔργοις ἐπικυροῦσα, * Πνεύματι τῷ ἁγίῳ * καὶ εὐχῇ ἑαυτὴν, * Μαρίνα, κατοχυρώσασα, * ὅθεν τῷ κάλλει τοῦ σοῦ προσώπου * τῆς ψυχῆς ἐσέμνυνας τὴν ἀκτῖνα· * ὁ κατιδὼν * ὁ δεινὸς καὶ παράφρων Ὀλύβριος, * προσήγετο κολακείαις, * ἀπατῆσαί σε δῆθεν οἰόμενος· * ᾐσχύνθη οὖν ὁ μισόκαλος, * τῷ Κυρίῳ αὐτὴ γὰρ ἐκραύγαζες· * Σὲ μόνον...

ε'. Εἶξας οὐδ' ὅλως ταῖς συμβουλίαις * τοῦ ἀνόμου τυράννου, * ὡμολόγησας δὲ * ἐν παῤῥησίᾳ τὸν Κύριον· * πᾶσαν τὴν σὴν γὰρ ἔφεσιν, κόρη, * ἐν αὐτῷ ἐσχηκυῖα, πολλὰς βασάνους * σώφρονι νῷ * λογισμῷ τε στεῤῥῷ καθυπέμεινας, * ἀνδρείᾳ τε καὶ συνέσει * τὴν καρδίαν εὐθύμως στομώσασα, * στεῤῥὸν τὸ φρόνημα ἔδειξας· * διὸ δὴ καὶ προθύμως ἀνέκραζες· * Σὲ μόνον...

ϛ'. Ὢ τῆς ἀφάτου κηδεμονίας * τοῦ Θεοῦ καὶ σωτῆρος, * ὅτι πλούσιος ὢν * ἑκὼν πτωχεῦσαι ἠνέσχετο! * ποίοις οὖν χείλεσι προσενέγκω * ἱκεσίαν τῷ οὕτω τετιμηκότι * φύσιν ἐμὴν, * τὴν σαθρὰν καὶ εἰς γῆν ἀναλύουσαν; * Ἀλλ' ὅμως οἰάπερ χαίρων, * σὲ ἐξαιτούμενον μὴ παρίδῃς με, * εἰ καὶ πολλοῖς συνέχομαι πταίσμασιν, * ἀλλὰ φεῖσαι λιταῖς τῆς τεκούσης σε. * Σὲ μόνον, σωτήρ μου, ἐπεπόθησα.

lit memoriam : te enim insueto more exornavit formosus sponsus tuus, cui clamabas : « Te ardenti fide diligens, et alacri animæ « impetu exardescens, post te prompta « cucurri, tuo succensa amore; mori potius elegi quam vivere : te solum, salvator, adamavi. »

